δὲ Ῥωμαϊκῆς ἀπαγγελίας καὶ τάχους αἰσθάνεσθαι, καὶ μεταφορᾶς ὀνομάτων καὶ ἁρμονίας καὶ τῶν ἄλλων οἷς ὁ λόγος ἀγάλλεται, χάριεν μὲν ἡγούμεθα καὶ οὐκ ἀτερπὲς, ἡ δὲ πρὸς τοῦτο μελέτη καὶ ἄσκησις οὐκ εὐχερὴς, ἀλλ' οἷς τισι πλείων τε σχολὴ καὶ τὰ τῆς ὥρας ἔτι πρὸς τὰς τοιαύτας ἐπιχωρεῖ φιλοτιμίας.

γʹ. Διὸ καὶ γράφοντες ἐν τῷ βιβλίῳ τούτῳ, τῶν παραλλήλων [1] βίων ὄντι πέμπτῳ, περὶ Δημοσθένους καὶ Κικέρωνος, ἀπὸ τῶν πράξεων καὶ τῶν πολιτειῶν τὰς φύσεις αὐτῶν καὶ τὰς διαθέσεις πρὸς ἀλλήλας ἐπισκεψόμεθα. Τὸ δὲ τοὺς λόγους ἀντεξετάζειν, καὶ ἀποφαίνεσθαι πότερος ἡδίων ἢ δεινότερος εἰπεῖν, ἐάσομεν. Κἀκεῖ γὰρ (ὥς φησιν ὁ Ἴων) δελφῖνος ἐν χέρσῳ βία. Ἣν ὁ περιττὸς ἐν ἅπασι Καικίλιος ἀγνοήσας, ἐνεανιεύσατο σύγκρισιν τοῦ

[1] [βίων]

περ νέφος. Quorum admiranda de celeritate vide Long. περὶ ὕψους cap. 39. et celeberrimum Clarke ad Iliad. B. 537. B.

Τάχους] Videtur *numerum oratorium* significare, si recte habet. Verum hic vocabulo ἁρμονίας potius designatur. Num ergo τόνου, an βάθους, est legendum. REISK.

Οὐκ εὐχερὴς, ἀλλ' οἷστισι] Puto addendum, ἀλλ' ἢ οἷστισι, *non nisi iis, qui:* aut certe, οὐκ εὐχερὴς, scilicet, ἡμῖν, ἀλλὰ, &c. WOLF.

Ἐπιχορεῖ φιλοτιμίας] F. A. ἐπιτήδειος, S. ἡ μελέτη καὶ ἄσκησις. IDEM.

γʹ. Κἀκεῖ γὰρ] Du Soul putat legendum κακὴ γὰρ—ἡ δελφῖνος, et (eodem notante) Grotius κεῖται γὰρ &c. quod magis probo. Notum interea est hoc genus ῥήσεις fere semper mutilas efferri, utpote adagia omnibus nota.—Quod proverbium attinet, notat Xylander simile esse istud T. Livii, *Cantherium in fossa.* B.

Κἀκεῖ] Bene habet. *Etiam hic, etiam hoc in negotio, usu venit illud Ionis: Delphin in terra continente.* h. e. homo versans in negotio, seu sponte sua, seu jussu et coactu alieno, cujus negotii est ignarus. h. e. ἀπορῶν καὶ ἀμηχανῶν. REISK.

Ἴων] Ion, Poeta et Philosophus Chius, Odas scripsit et Tragœdias. Bibax erat supra modum. vid. Ælian. V. H. 2. 41. Æschylo notus erat, juvenis seni; siquidem floruit circa Olymp. 82. De eo accuratissime disseruit, et fragmenta ejus collegit Bentleius in Ep. ad Millium p. 50. B.

Δελφῖνος ἐν χέρσῳ βία] Proverbium in eos dici, qui commoditatibus suis destituti, in rebus sibi alienis versantur atque incommodis, facile intelligitur. Delphinus enim in mari velocissimus, extra aquas expirat cito. Ion, auctore Suida, Chius poeta tragicus fuit, idemque Lyricus et philosophus. WOLF.

Ὁ ἐν ἅπασι περιττὸς Καικίλιος] Περιττὸς, hoc loco, περίεργος, πολὺς, ἀργὸς, κενὸς ἐκ προσθήκης. Cum enim Cæcilium hunc, quisquis fuit (is fortasse ad quem extat Ælii Dionysii Halicarnassei epistola) νεανιεύεσθαι dicat, καὶ μὴ γνῶναι ἑαυτὸν, utique vituperat, non laudat. Refert Varinus versum ἀδέσποτον τὰ μὲν περισσεύοντα τῶν λόγων ἄφες, *supervacaneis verbis supersedeto.* Idem aliquando laudis esse affirmat, ut apud Synesium, περιττοὶ σοφίαν Αἰγύπτιοι, hoc est, ποικίλοι καὶ εὔποροι. τὰ περιττὰ καὶ ἀναγκαῖα, sæpe opponuntur, ut περιττὰ sint τὰ εἰς φιλοτιμίαν μᾶλλον ἢ εἰς χρείαν ἀνήκοντα. qua de re disputatio est apud Quintilianum, τὰ ἄρτια, quæ et σύζυγα, ut δύο, τέσσαρα, ἓξ et περιττὰ, καὶ ἄζυγα, ut ἓν, τρία, πέντε, apud Arithmeticos opponi, satis notum est. IDEM.

Καικίλιος] Cæcilius Calantianus (est autem Calantis urbs Siciliæ) primus, teste Suida, Demosthenis et Ciceronis comparationem descripsit. Floruit sub Augusto, fuitque Dion. Halicarnasseo familiaris, religione Judæus, sicut ille Q. Cæcilius, in quem exstat Ciceronis Divinatio. Scripsit cum alia multa Rhetorica, tum περὶ ὕψους libellum, in quo multa vituperat

Δημοσθένους καὶ Κικέρωνος ἐξενεγκεῖν. ἀλλὰ γὰρ ἴσως εἰ παντὸς ἦν τὸ Γνῶθι σαυτὸν ἔχειν πρόχειρον, οὐκ ἂν ἐδόκει πρόσταγμα θεῖον εἶναι. Δημοσθένη γὰρ καὶ Κικέρωνα [1] ὁ αὐτὸς ἔοικε πλάττων ἀπ' ἀρχῆς ὁ δαίμων, πολλὰς μὲν ἐμβαλεῖν εἰς τὴν φύσιν αὐτῶν τῶν ὁμοιοτήτων, ὥσπερ τὸ φιλότιμον καὶ φιλελεύθερον ἐν τῇ πολιτείᾳ, πρὸς δὲ κινδύνους καὶ πολέμους ἄτολμον· πολλὰ δ' ἀναμίξαι καὶ τῶν τυχηρῶν. Δύο γὰρ ἑτέρους οὐκ ἂν εὑρεθῆναι δοκῶ ῥήτορας, ἐκ μὲν ἀδόξων καὶ μικρῶν ἰσχυροὺς καὶ μεγάλους γενομένους, προσκρούσαντας δὲ βασιλεῦσι καὶ τυράννοις, θυγατέρας δ' ἀποβαλόντας, ἐκπεσόντας δὲ τῆς πατρίδος, κατελθόντας δὲ μετὰ τιμῆς· ἀποδράντας δ' αὖθις, καὶ ληφθέντας ὑπὸ τῶν πολεμίων· ἅμα δὲ παυσαμένῃ τῇ τῶν πολιτῶν ἐλευθερίᾳ τὸν βίον συγκαταστρέψαντας. ὥστε εἰ γένοιτο τῇ φύσει καὶ τῇ τύχῃ καθάπερ τεχνίταις ἅμιλλα, χαλεπῶς μὲν ἂν διακριθῆναι πότερον αὕτη τοῖς τρόποις, ἢ τοῖς πράγμασιν ἐκείνη τοὺς ἄνδρας ὁμοιοτέρους ἀπείργασται. Λεκτέον δὲ περὶ τοῦ πρεσβυτέρου πρότερον.

δ'. Δημοσθένης ὁ πατὴρ Δημοσθένους ἦν μὲν τῶν κα-

[1] τὸν αὐτὸν

Longinus. B.

Τὸ γνῶθι σαυτὸν] *Cognosce te.* non est opus addere *ipsum*, Græci enim, ἐμαυτοῦ, ἑαυτοῦ, σεαυτοῦ, sæpe loco simplicium usurpant. Wolf.

Τὸν αὐτὸν ἔοικε πλάττων ἀπ' ἀρχῆς ὁ δαίμων] Feliciani editio habet, ὁ αὐτὸς, *idem genius cum formaret Demosthenem.* vel *cum genius* (sic vel divinam providentiam, vel τὴν φυσικὴν δύναμιν, καὶ τὸ γενέθλιον θέμα, nominare videtur) *eundem formaret Demosthenem*, &c. Nominativus magis placet. quia τὸν αὐτὸν πλάττειν plus est, quam πολλὰς ὁμοιότητας ἐμβαλεῖν. Idem.

Ὁ αὐτὸς] Codd. impressi (præter unam editionem Feliciani) habent τὸν αὐτὸν, quæ mea quidem sententia (etiamsi per Ellipsin duriusculam τρόπον intelligas) locutio a Græcæ linguæ consuetudine aliena est, et aliquod majus innuit, quam ea, quæ sequuntur, πολλὰς ὁμοιοτήτων &c. Locum ita emendandum viderunt etiam Wolfius et Du Soul. B.

Τὸν αὐτὸν] Bene habet. Bartonus ejus loco dedit ὁ αὐτὸς, non sentiens ille, hoc cui probetur, ei articulum ὁ a vocabulo δαίμων esse tollendum. Mihi videtur scribendum esse: Δημοσθένει γὰρ καὶ Κικέρωνι (in dativo) νοῦν τὸν αὐτὸν, *numen, vel genius, qui Demosthenem, quique Ciceronem primitus formavit, eandem ambobus mentem videtur confinxisse, vel indidisse a se conformatam.* Reisk.

Πότερον αὕτη τοῖς τρόποις] Sententia postulat ut αὕτη καὶ τρόποι ad φύσιν, ἐκείνη καὶ πράγματα ad τύχην (quæcunque sit harum particularum collocatio) referantur. Wolf.

Αὕτη] Natura. et infra ἐκείνη fortuna. Illud pronomen h. l. ad remotius, hoc ad propius redit, ut interdum usurpavit Plutarchus. Reisk.

δ'. Πατὴρ—τῶν καλῶν καὶ ἀγαθῶν] Πατὴρ τριήραρχος, χρυσέα κρηπίς· οὐ γὰρ ἦν Ἀθήνησι λαμπρότερον τιμήματος τριηραρχικοῦ. Lucian. in Encom. Demosth. τούτῳ πατὴρ ἦν —ἀνὴρ ἐλεύθερος. Æsch. in Ctes. cap. 56. Recte notat Xylander per voces καλῶν καὶ ἀγαθῶν non tam vitæ, quam ordinis in republica rationem indicari, et Ciceronem *optimum quemque* vocare eum qui hic est καλὸς καὶ ἀγαθός. *Ex quo, inquit, evenit, ut alii populares, alii studiosi optimi cujus-*

λῶν καὶ ἀγαθῶν ἀνδρῶν, (ὡς ἱστορεῖ Θεόπομπος) ἐπεκαλεῖτο δὲ Μαχαιροποιὸς, ἐργαστήριον ἔχων μέγα, καὶ δούλους τεχνίτας τοῦτο πράττοντας. Ἃ δ' Αἰσχίνης ὁ ῥήτωρ εἴρηκε περὶ τῆς μητρὸς, ὡς ἐκ Γύλωνός τινος ἐπ' αἰτίᾳ προδοσίας φυγόντος ἐξ ἄστεος ἐγεγόνει, καὶ βαρβάρου γυναικὸς, οὐκ ἔχομεν εἰπεῖν εἴτ' ἀληθῶς εἴρηκεν, εἴτε βλασφημῶν καὶ καταψευδόμενος. Ἀπολειφθεὶς δ' ὁ Δημοσθένης ὑπὸ τοῦ πατρὸς ἑπταέτης ἐν εὐπορίᾳ (μικρὸν γὰρ ἀπέλιπεν ἡ σύμπασα τίμησις αὐτοῦ τῆς οὐσίας πεντεκαίδεκα ταλάντων) ὑπὸ τῶν ἐπιτρόπων ἠδικήθη, τὰ μὲν νοσφισαμένων, τὰ δ' ἀμελησάντων· ὥστε καὶ τῶν διδασκάλων αὐτοῦ τὸν μισθὸν ἀποστερῆσαι. Διά τε δὴ τοῦτο τῶν ἐμμελῶν καὶ προσηκόντων ἐλευθέρῳ παιδὶ μαθημάτων ἀπαίδευτος δοκεῖ γενέσθαι, καὶ διὰ τὴν τοῦ σώματος ἀσθένειαν καὶ θρύψιν, οὐ [1] προϊεμένης τοῖς πόνοις τῆς μητρὸς αὐτὸν, οὐδὲ προσβιαζομένων τῶν παιδαγωγῶν. Ἦν γὰρ ἐξ ἀρχῆς κάτισχνος καὶ νοσώδης, καὶ τὴν λοιδορουμένην ἐπωνυ-

[1] ª προσιεμένης

que videantur, pauci universorum. De Off. 1. Apud Plutarchum certe καλοὶ καὶ ἀγαθοὶ sæpe opponuntur τῷ δήμῳ. Sic in Pericle p. 158. B. οὐ γὰρ εἴασε τοὺς ΚΑΛΟΥΣ ΚΑΓΑΘΟΥΣ καλουμένους — συμμεμίχθαι πρὸς τὸν ΔΗΜΟΝ &c. Vide etiam infra in Cicerone p. 82. v. 27. et p. 86. v. 6. B.

Γύλωνος] Gylon Ceramensis Demosthenis avus maternus capitis damnatus, quod Nymphæum hostibus prodidisset, profugit ad Bosporum, ubi Scythicam mulierem magna cum dote uxorem duxit. Ea duas peperit filias, quarum alteram (Cleobulen) uxorem habuit Demosthenes Pater. Vid. Æsch. in Ctes. cap. 56. et περὶ παραπ. cap. 11. et 24. Idem.

Ἐγεγόνει] Rectius fortasse γεγόνει, ut in MS. Bodl. Idem.

Ἀπολειφθεὶς] Pro καταλειφθεὶς, *orbatus et quasi destitutus a patre.* Wolf.

Πεντεκαίδεκα ταλάντων] Nostræ monetæ 2906l. 5s. nam talentum Atticum valet 193l. 15s. Vide totam rem apud Demosth. in Aphob. 1. qui scribit tutores suos, cum rem quatuordecim talentûm tractassent, et deberent ei adulto ex emolumentis triginta reddere, solas septuaginta minas (226l.) tradidisse. B.

Τῶν ἐμμελῶν καὶ προσηκόντων ἐλευθέρῳ μαθημάτων] Intelligendæ sunt non tam αἱ ἐλευθέριοι, *artes liberales*, philosophiæ et literarum studia (hæc enim illi minime defuerunt) quam τὰ γυμνάσια. ut servus apud Terentium, [Eun. 3. 2. 23.] *Fac, inquit, periculum in literis, Fac in palæstra, in musicis: quæ liberum Scire æquum est adolescentem, solertem dabo.* Battali quoque convicium ad corpus potius, quam ad ingenium pertinet. Wolf. Addo verba ipsius Demosthenis. Ἐμοὶ τοίνυν ὑπῆρξεν — παιδὶ μὲν ὄντι φοιτᾶν εἰς τὰ προσήκοντα διδασκαλεῖα. περὶ στεφ. cap. 78.—MS. Bodl. habet ἐν ἐλευθέρῳ. B.

Ἐπωνυμίαν τὸν Βάταλον] De origine hujus vocis, ambigente Plutarcho, minime nos decet certi aliquid statuere. Sed veritati propius videtur, dictum fuisse in vestitum Demosthenis, si non prorsus muliebrem (ut Scriptor vit. 10 Rhetorum et Suidas putant) molliorem tamen et nimis elegantem. Habeo auctorem locupletissimum Æsch. in Timarch. Ed. Francof. p. 280. περὶ τῆς Δημοσθένους ἐπωνυμίας, οὐ κακῶς (ὑπὸ τῆς φήμης, ἀλλ' οὐχ ὑπὸ τίτθης) Βάταλος προσαγορεύεται, (ipse nimirum Demosthenes adblandientis pusioni suo nutricis ὑποκόρισμα esse dixit) ἐξ ἀνανδρίας τινὸς καὶ κιναιδείας ἐνεγκάμενος τοὔνομα· εἰ γάρ τις σοῦ τὰ κομψὰ ταῦτα χλανίσκια περιελόμενος καὶ τοὺς μαλακοὺς χιτωνίσκους — δοίη εἰς τὰς χεῖρας τῶν δικαστῶν, οἶμαι ἂν

μίαν τὸν Βάταλον εἰς τὸ σῶμα λέγεται σκωπτόμενος ὑπὸ τῶν παίδων λαβεῖν. Ἦν δὲ ὁ Βάταλος (ὡς μὲν ἔνιοί φασιν) αὐλητὴς τῶν κατεαγότων· καὶ δραμάτιον εἰς [1] τοῦτο κωμῳδῶν αὐτὸν Ἀντιφάνης πεποίηκεν. Ἔνιοι δέ τινες ὡς ποιητοῦ τρυφερὰ καὶ παροίνια γράφοντος τοῦ Βατάλου μέμνηνται. Δοκεῖ δὲ καὶ τῶν οὐκ εὐπρεπῶν τι λεχθῆναι τοῦ σώματος μορίων παρὰ τοῖς Ἀττικοῖς τότε καλεῖσθαι βάταλος. Ὁ δ᾽ Ἄργας (καὶ τοῦτο γάρ φασι τῷ Δημοσθένει γενέσθαι παρώνυμον) ἢ πρὸς τὸν τρόπον ὡς θηριώδη καὶ

1 * τοῦτον

αὐτοὺς — ἀπορῆσαι, εἴτε ΑΝΔΡΟΣ, εἴτε ΓΥΝΑΙΚΟΣ, εἰλήφασιν ΕΣΘΗΤΑ. Et Gell. Noct. Att. l. 1. c. 5. *Demosthenem tradunt vestitu sincero et cultu corporis nitido venustoque et nimis accurato fuisse — Hinc turpibus indignisque in eum verbis non temperatum, quin —* PARUM VIR *diceretur.* Perquam apposite Schol. in Aristoph. Plut. v. 1012. τὰς μικρὰς θηλείας βατόλους (f. βατάλους) ἔλεγον. ubi vide notam Cl. Bentleii. IDEM.

Αὐλητὴς τῶν κατεαγότων] Scilicet, εἷς, sicut dicitur, εἷς τῶν πολλῶν, et Theocritus, εἷς ἀπὸ τῶν πολλῶν εἰμὶ Συρακοσίων. Paulo post, eadem ἐλλείψει utitur, ὡς τῶν λεγόντων καὶ αὐτὸς ἐσόμενος. *Tibicen e fractorum seu effœminatorum numero.* in quem Antiphanes, ad ejus molliciem exagitandam, fabellam Comicam, hoc est, comœdiam, edidit. malo εἰς τοῦτο, τὸ κατεαγὸς, κωμῳδῶν legere, ut habet editio Bebeliana, quam εἰς τοῦτον. Hesychius κατεαγότα, κατενηνεγμένα, κατατεθλασμένα, κεκλασμένα. Quærendum utrum metaphorice, an proprie sic dicatur, cui spina dorsi in pueritia fracta fuerit, quo esset agilior? ut ferunt nunc quoque facere saltatores. κατεαγὼς τὰ ὦτα καὶ διεφθαρμένος τὴν διάνοιαν, pugilis epitheton, qui Theocrito dicitur, τεθλασμένος οὔατα πυγμῇ. κατεαγὼς τῆς κεφαλῆς ἢ τοῦ κρανίου, *cui calva confracta est aut vulnerata,* ἀττικὴ ἔλλειψις τῆς κατά. WOLF.

Βάταλος αὐλητὴς] Hujus meminit Lucian. πρὸς ἀπαιδ. et Libanius in vita Demosthenis ita scribit. Ἱστόρηταί τινα Βάταλον Ἐφέσιον αὐλητὴν γενέσθαι, ὃς πρῶτος ὑποδήμασι γυναικείοις ἐπὶ τῆς σκήνης ἐχρήσατο, καὶ μέλεσι κατεαγόσι, καὶ ὅλως τὴν τέχνην ἐμάλθαξεν. B.

Εἰς τοῦτον] In mascul. *in hunc Batalum;* sic de meo dedi, pro vulgari εἰς τοῦτο. REISK.

Τινες] Num delendum est, an ἔνιοι cum τινὲς copulari solet? IDEM.

Τρυφερὰ καὶ παροίνια γράφοντος] *Qui carmina lasciva et petulantia scriptitaret.* alioqui πάροινος, usitatius est, quam παροίνιος. Varinus, πάροινον, exponit, μέθυσον, ὑβριστὴν, λοίδορον, ἔκλυτον, παροινικώτατον et μακροπαροίνιον, nescio ex quo autore describit, his verbis, εὐθὺς ὡς ἐπέπληστο πολλῶν ἀγαθῶν, ἀνήλατ᾽, ἐσκίρτα, ἀπεπόρδει, κατεγέλα. παροίνιος, Aristophanis interpres exponit, μέθυσος, ὑβριστής. WOLF.

Παροίνια] Num πάροινα. nam adj. πάροινος novi, non item παροίνιος. REISK.

Γράφοντος] Post γράφοντος videtur ᾄσματα deesse. IDEM.

Δοκεῖ δὲ καὶ τῶν] Varinus. Battali nomen a veteribus in eos usurpatum videtur, qui suam pudicitiam prostituissent. Unde βατταλίζεσθαι, est *molliter et flagitiose vivere.* WOLF.

Ἄργας] Suidas Battali cognomen adolescenti Demostheni ob molliciem, Argæ propter asperitatem in senectute fuisse inditum scribit. IDEM.

Ἄργας] Ἀργὴς apud Hippocratem de morb. vulg. l. 5. est nomen serpentis, quem in os adolescentis irrepsisse memorat, uti notat Dacierius. Et in Pausaniæ Lexico Mercurius dicebatur Ἀργειφόντης, non quod Argum occidisset, sed quod esset ὀφιοκτόνος, teste Eustathio ad Il. B. Edit. Basil. 1560. p. 138. Vid. Harpocr. et Hesych. in vocibus Ἄργας et Ἀργής. B.

Πρὸς τρόπον, ὡς θηριώδη] Veteres amaram et morosam indolem serpenti comparare soliti sunt. Demosth. in primo κατ᾽ Ἀριστογ. πικρὸν καὶ ἜΧΙΝ τὴν φύσιν ἄνθρωπον. Aliam hujus cognominis causam excogitavit Palmerius Exercit. p. 281. *Fabula,* inquit, *nos docet serpentem gelu constrictum et fere mortuum a viatore acceptum et proprio sinu fotum, eum statim momordisse. Ideo Rhetor, qui tutores suos, statim ac vir factus est, accusavit, ita dictus est.* De

πικρὸν, ἐτέθη, (τὸν γὰρ ὄφιν ἔνιοι τῶν ποιητῶν ἄργαν ὀνομάζουσιν) ἢ πρὸς τὸν λόγον, ὡς ἀνιῶντα τοὺς ἀκροωμένους. Καὶ γὰρ Ἄργας τοὔνομα ποιητὴς ἦν νόμων πονηρῶν καὶ ἀργαλέων. Καὶ ταῦτα μὲν ταύτῃ κατὰ Πλάτωνα.

έ. Τῆς δὲ πρὸς τοὺς λόγους ὁρμῆς ἀρχὴν αὐτῷ φασὶ τοιαύτην γενέσθαι. Καλλιστράτου τοῦ ῥήτορος ἀγωνίζεσθαι τὴν περὶ Ὠρωποῦ κρίσιν ἐν τῷ δικαστηρίῳ μέλ-

fabula nihil moror; sed actionem in tutores ansam dedisse huic appellationi confirmat Æsch. περὶ παραπ. cap. 31. ἐκ παίδων ἀπαλλαττόμενος καὶ δεκαταλάντους δίκας κατὰ τῶν ἐπιτρόπων λαγχάνων Ἄργας ἐκλήθη. Idem.

Καὶ γὰρ Ἄργας τοὔνομα ποιητὴς ἦν νόμων πονηρῶν καὶ ἀργαλέων] *Etenim quidam Argas nomine poeta fuit, modis in canendo uti solitus improbatis et molestis.* νόμος, significat hoc loco *modos musicos*, non leges civitatum. ὁ κιθαρῳδικὸς τρόπος τῆς μελῳδίας, ἁρμονίαν ἔχων τακτὴν, καὶ ῥυθμὸν ὡρισμένον: id est, νόμος, est *modus Citharœdicus melodiæ, compositione ordinata et numero finito.* Wolf.

Ἄργας ποιητὴς] Argas et Telenicus, secundum Phaniæ Eressii lib. contra sophistas apud Athenæum Deipn. lib. 14. c. 9. ποιηταὶ μοχθηρῶν ὄντες νόμων, πρὸς μὲν τὸν ἴδιον χαρακτῆρα τῆς ποιήσεως εὐπόρουν· τῶν δὲ Τερπάνδρου καὶ Φρυνίδος νόμων οὐδὲ κατὰ μικρὸν ἠδύναντο ἐπιψαῦσαι. Ibidem citat de eodem Arga Alexin et Anaxandridam comicos; sed quæ ex ultimo attulit videntur ad Demosthenem pertinere. B.

Καὶ ταῦτα μὲν δὴ ταύτῃ, κατὰ Πλάτωνα] *Et hæc quidem hactenus.* hæc de his dixisse sufficiat. Aristophanes, καὶ ταῦτα μὲν δὴ ταῦτα. Est formula transitionis. κατὰ Πλάτωνα, *ut verbo Platonis utar*, in Latino recte omittitur, cum non sententia, sed loquendi modus ex eo citetur. Extat autem in Cratylo, καὶ ταῦτα μὲν δὴ ταύτῃ (falso enim ταύτης in Aldino legitur) ὡς παρὰ μηδὲν εἰδότων, εἰρήσθω. Wolf.

έ. Καλλιστράτου] Callistratus Aphidnæus, Callicratis filius, circa pugnam Leuctricam floruit, orator sui temporis præstantissimus, in accusando præcipue acerbus. Dem. κατὰ Μειδ. p. 535. Nepos in Epam. 92. Æsch. περὶ παραπ. c. 40. Athen. Deipn. l. 4. c. 19. Tandem communi oratorum Atheniensium fato in Macedonia exulavit, et urbem in Thracia condidit. Isocr. de Pace p. 275. Demosth. adv. Polcyl. p. 1221. Senec. de Benef. l. 6. c. 37. Delphico oraculo deceptus Athenas rediit, sed cum populus ab asylo templi abreptum morte affecit. Lycurg. κατὰ Λεωκρ. Ed. H. Steph. p. 155. B.

Τὴν περὶ Ὠρώπου κρίσιν] Oropus Urbs erat in Euripi littore sita, Atticæ et Bœotiæ media. Hanc Themison Eretriensis et Theodorus collecta exulum manu occuparunt, et cum se ab Atheniensibus expulsos fore viderent, Thebanorum auxilium imploravere. Athenienses autem, jure potius quam armis decernendum rati, oppidum Thebanorum fidei, tanquam depositum, commendaverunt, donec in publico Græcorum consilio res judicaretur. Thebani urbe potiti eam reddere recusarunt. Chabriam ergo accusavit Callistratus, ejus perfidia aut negligentia oppidum ab Atheniensibus ereptum fuisse causatus. Dem. περὶ στεφ. c. 29. et Schol. in locum. κατὰ Μειδ. 535. cum Schol. Xenoph. Ἑλλ. l. 7. Ed. Paris. 1625. p. 632. Dicta est hæc causa Olymp. 103. An. 3. cum Demosthenes ætatis annum ageret decimum sextum. Vid. etiam Gell. Noct. Att. l. 3. c. 13. Idem.

Τὴν περὶ Ὠρωποῦ] Hæc civitas in confinio Atticæ et Bœotiæ sita, multas inter Athenienses et Thebanos controversias peperit. ἀγωνίζεσθαι κρίσιν, reus potius videtur, quam patronus aut accusator. proinde verterem: *Cum Callistratus causam de Oropo dicturus esset*: nisi Suidas scriberet, Καλλίστρατον θεασάμενος τὸν ῥήτορα ὑπὲρ Ὠρωπίων λέγοντα. *Cum spectasset Callistratum oratorem pro Oropiis dicentem*, id est, defendentem Oropios. Ὠρωπὸν autem Suidas dici ait, παρὰ τοὺς τοῦ Ὥρου ὦπας. *quod Orus quidam oculos ibi amiserit.* Sed ipse Demosthenes omnium optime hunc locum declarat in oratione Midiana, nisi quod ibi pro Callistrato, Philostratus legitur. Verba ejus hæc sunt: πάλιν Φιλόστρατον πάντες ἴσμεν τὸν κολωνῆθεν Χαβρίου κατηγοροῦντα, ὅτ' ἐκρίνετο τὴν περὶ Ὠρωποῦ κρίσιν θανάτου, καὶ πάντων τῶν κατηγόρων πικρότατον γιγνόμενον καὶ μετὰ ταῦτα χορηγοῦντα παισὶ διονύσια καὶ νικῶντα· καὶ Χαβρίαν οὔτε τύπτοντα, οὔτε ἀφαρπάζοντα τὸν στέφανον, οὔθ' ὅλως προσιόντα, ὅποι μὴ προσῆκεν αὐτῷ. Quo loco Ulpianus, Χα-

λοντος, ἦν προσδοκία τῆς δίκης μεγάλη, διά τε τὴν τοῦ ῥήτορος δύναμιν, ἀνθοῦντος τότε μάλιστα τῇ δόξῃ, καὶ διὰ τὴν πρᾶξιν οὖσαν περιβόητον. Ἀκούσας οὖν ὁ Δημοσθένης τῶν διδασκάλων καὶ τῶν παιδαγωγῶν συντιθεμένων τῇ δίκῃ παρατυχεῖν, ἔπεισε τὸν ἑαυτοῦ παιδαγωγὸν δεόμενος καὶ προθυμούμενος, ὅπως αὐτὸν ἀγάγοι πρὸς τὴν ἀκρόασιν. Ὁ δ' ἔχων πρὸς τοὺς ἀνοίγοντας τὰ δικαστήρια δημοσίους συνήθειαν εὐπόρησε χώρας, ἐν ᾗ καθήμενος ὁ παῖς ἀδήλως ἀκούσεται τῶν λεγομένων. Εὐημερήσαντος δὲ τοῦ Καλλιστράτου καὶ θαυμασθέντος ὑπερφυῶς, ἐκείνου μὲν ἐζήλωσε τὴν δόξαν, ὁρῶν προπεμπόμενον ὑπὸ τῶν πολλῶν καὶ μακαριζόμενον· τοῦ δὲ λόγου μᾶλλον ἐθαύμασε τὴν ἰσχὺν πάντα χειροῦσθαι καὶ τιθασσεύειν πεφυκότος. Ὅθεν ἐάσας τὰ λοιπὰ μαθήματα, καὶ τὰς παιδικὰς διατριβὰς, αὐτὸς αὐτὸν ἤσκει καὶ διεπόνει ταῖς μελέταις, ὡς τῶν λεγόντων ἐσόμενος. Ἐχρήσατο δὲ Ἰσαίῳ πρὸς τὸν λόγον ὑφηγητῇ, καίπερ Ἰσοκράτους τότε σχολάζοντος, εἴτε (ὥς τινες λέγουσι) τὸν ὡρισμένον μισθὸν

ϐρίας, inquit, ἔπειθε Θηβαίοις βοηθῆσαι Ἀθηναίους, ὅτε ἐκινδύνευον. εἶτα σωθέντες ἀπέσπασαν τὸν Ὠρωπὸν, χωρίον ἐν τοῖς ὁρίοις κείμενον. ὑπωπτεύθη γοῦν ὁ στρατηγὸς, ὡς συνειδὼς, καὶ προδοσίας ἐκρίθη. Interpretationem qui volet, e nostra conversione petat, quæ cum his annotationibus adjungenda sit: non est operæprecium onerare lectorem verborum multitudine. Callistratum oratorem Demosthenes in oratione contra Timotheum vocat, τῷ τε πράττειν καὶ τῷ εἰπεῖν δυνάμενον, et περὶ ἐπιτριηραρχήματος· μέλλεις, ἔφη, ἄγειν ἄνδρα φυγάδα, οὗ Ἀθηναῖοι θάνατον δὶς κατεψηφίσαντο, Καλλίστρατον. et Isocrates de Pace, Callistratum exulem urbes in Thracia condidisse scribit. Wolf.

Πρὸς τοὺς δημοσίους] S. δούλους, de quibus Ulpianus. Idem.

Πολλῶν] Bryanus mavult πολιτῶν, sed nihil opus. B.

Ἐθαύμασε] Duo Codd. MSS. addunt καὶ κατενόησε. Idem.

Ὡς τῶν λεγόντων ἐσόμενος καὶ αὐτὸς] *Quasi et ipse orator futurus.* τῶν λεγόντων, id est, ῥήτωρ. Sic Olynthiaca 1. (111.) οἱ λέγοντες, id est, οἱ ῥήτορες. Wolf.

Ἐχρήσατο δ' Ἰσαίῳ] Isæus Demosthenis præceptor et hoc maxime nomine illustris, Chalcide, ut quibusdam videtur, oriundus, rhetor erat Athenis, unusque ex illis decem. Floruit post bellum Peloponnesiacum ad imperium usque Philippi. Dion. Halic. ἐν τῶν ἀρχ. κρίσει. Exstant ejus orationes decem. B.

Τότε σχολάζοντος] *Scholas habente, profitente Rhetoricam.* alias est σχολὴν ἄγειν. Paulo post, συνεσχολακέναι Πλάτωνι, *in Platonis schola versatum.* Cic. 1. Offic. "Equidem existimo et Demosthenem, si illa quæ a Platone didicerat, tenuisset, et pronunciare voluisset, ornate splendideque facere potuisse." Quanti autem Platonem fecerit Demosthenes, declarant ejus verba in epistola ad Heracleodorum. Wolf.

Σχολάζοντος] Sententia postulat ἀκμάζοντος, *florente*; nisi si σχολάζειν h.l. significare contendamus *scholam aperire, profiteri rhetorem, vacare studiis tironum erudiri cupientium.* Id quod non improbabile. Et e v. 5. p. ccxlii. videtur colligi posse, frequentatum fuisse verbum σχολάζειν de magistro ludum vulgante, συσχολάζειν de tirone operam illi magistro dante. Reisk.

Τὸν ὡρισμένον] Vide apud Plutarchum vitam Isocratis, ubi hoc tractatur. Wolf.

Μισθὸν—μὴ δυνάμενος] Δημοσθένην ἔτι ῥητορεύοντι, φασὶ, μετὰ σπουδῆς προσελθεῖν αὐτῷ (Isocrati) καὶ χιλίας μὲν ἃς μόνας εἰσεπράττετο οὐκ ἔχειν φάναι παρασχεῖν, διακοσίας δὲ δώσειν, &c. Scriptor Vit. 10.

Ἰσοκράτει τελέσαι μὴ δυνάμενος, τὰς δέκα μνᾶς, διὰ τὴν ὀρφανίαν· εἴτε μᾶλλον τοῦ Ἰσαίου τὸν λόγον, ὡς δραστήριον καὶ πανοῦργον, ἐπὶ τὴν χρείαν ἀποδεχόμενος. Ἕρμιππος δέ φησιν ἀδεσπότοις ὑπομνήμασιν ἐντυχεῖν ἐν οἷς ἐγέγραπτο τὸν Δημοσθένη συνεσχολακέναι Πλάτωνι, καὶ πλεῖστον εἰς τοὺς λόγους [1]ὠφελεῖσθαι. Κτησιβίου δὲ μέμνηται λέγοντος, παρὰ Καλλίου τοῦ Συρακουσίου, καί τινων ἄλλων τὰς Ἰσοκράτους τέχνας καὶ τὰς Ἀλκιδάμαντος κρύφα λαβόντα τὸν Δημοσθένη καταμαθεῖν.

ς'. Ὡς γοῦν ἐν ἡλικίᾳ γενόμενος τοῖς ἐπιτρόποις ἤρξατο δικάζεσθαι, καὶ λογογραφεῖν ἐπ' αὐτοὺς, πολλὰς διαδύσεις καὶ παλινδικίας εὑρίσκοντας, ἐγγυμνασάμενος κατὰ τὸν Θουκυδίδην ταῖς μελέταις, οὐκ ἀκινδύνως οὐδ' ἀργῶς

[1] ὠφελῆσθαι

Rhet. in Isocrate. Idem tamen *in Isæo* ita sui oblitus est, ut dicat Demosthenem centum minas dedisse Isæo, quem prius dixerat ne decem habere, quas daret Isocrati. B.

Δέκα μνᾶς] 32*l.* 5*s.* 10*d.* Mina Attica valebat 3*l.* 4*s.* 7*d.* IDEM.

Ἕρμιππος] Hermippus historicus, Smyrna oriundus, sub Euergete Ptolemæo floruisse creditur. Vitas hominum scripsit, quemadmodum hic noster, sed non tam rebus gestis, quam eruditione insignium. Citantur libri ejus de Isocratis discipulis, de Aristotele, de Theophrasto, &c. Voss. de Hist. Græcis. IDEM.

Συνεσχολακέναι Πλάτωνι] Constat hoc e M. Tull. de Off. l. 1. ejusdem Bruto, aliisque quam plurimis. Adi ipsius Demosth. Epist. ad Heracl. et, qui Hermippum pariter auctorem habet, Gell. l. 3. c. 13. Ridicula sunt, quæ ex Schol. in Aristot. Rhet. 3. citat Fabricius Biblioth. Græc. vol. 2. p. 57. Πλάτων ἀπεδίωκε τῆς αὐτοῦ διατριβῆς τὸν Δημοσθένην, ὡς θηρολέξην. IDEM.

Κτησιβίου] Ctesibii ætas incerta est. Ultra centum annos vixisse testatur Lucian. in Macrob. Scripsit περὶ φιλοσοφίας. IDEM.

Λέγοντος παρὰ Καλλίου] Reddit Interpres Anglicanus hoc sensu. *Ctesibius retulit id quod a Callia aliisque scriptum accepit, Demosthenem* &c. quod omnino probarem, (vix enim ratio temporum patitur, ut Callias iste Syracosius, qui res gestas Agathoclis descripsit, possit esse Demostheni puero familiaris) nisi vulgatam interpretationem confirmaret Scriptor Vit. 10. Rhet. in Demosthene. ὡς Κτησίβιος φησὶν ἐν τῷ περὶ φιλοσοφίας, διὰ Καλλίου τοῦ Συρακουσίου πορίσας τοῦ Ζήθου (f. Ζωΐλου) τοῦ Ἀμφιπολίτου λόγους, διὰ δὲ Χαρικλέους τοῦ Καρυστίου τοὺς Ἀλκιδάμαντος. IDEM.

Ἀλκιδάμαντος] Alcidamas Eleates, Isocratis æqualis, quem Plato Palamedem appellavit, artem Rhetoricam scripsit. Quinctil. Inst. Or. l. 3. c. 1. Exstant sub ejus nomine oratiunculæ duæ.—Ii, per quos Demosthenes in eloquentia profecit, secundum Lucian. in Encom. sunt Callistratus, Alcidamas, Isocrates, Isæus, Eubulides, Aristoteles, Theophrastus, Xenocrates, Plato. IDEM.

ς'. Ὡς γοῦν ἐν ἡλικίᾳ] Ἡνίκα τὰς δίκας ἔλαχον τῶν πατρῴων τοῖς ἐπιτρόποις, μειρακύλλιον ὢν κομιδῇ. Demosth. κατὰ Μειδ. p. 539. ed. Reisk. IDEM.

Ἐγγυμνασάμενος κατὰ τὸν Θουκυδίδην ταῖς μελέταις] Omnes, quos vidi, Interpretes vertunt, tanquam ἐγγυμνασάμενος ταῖς μελέταις esset loquendi formula a Thucydide desumpta. Sed nihil tale apud eum reperio, adeoque in suspicionem incidi, locum ita legi debere, ἐγγυμνασάμενος ταῖς εἰς τὸν Θουκυδίδην μελέταις, ut hic nimirum Plutarchi sensus sit, *Demosthenem, quo tempore tutores in judicium vocavit, summo studio in Thucydidis scriptis versatum fuisse.* Oratorem quippe nostrum octies sua manu Thucydidem descripsisse testatur Lucian. πρὸς ἀπαίδ. et Arsenius apud Fabr. Bibl. Græc. vol. 1. p. 871. scribit: ἐζήλωκε μάλιστα τῶν πρὸ αὐτοῦ τὸν συγγραφέα Θουκυδίδην, καὶ τὰ πλεῖστα

κατευτυχήσας, ἐκπρᾶξαι μὲν οὐδὲ πολλοστὸν ἠδυνήθη μέρος τῶν πατρῴων. Τόλμαν δὲ πρὸς τὸ λέγειν καὶ συνήθειαν ἱκανὴν λαβὼν, καὶ γευσάμενος τῆς περὶ τοὺς ἀγῶνας φιλοτιμίας καὶ δυνάμεως, ἐπεχείρησεν εἰς μέσον παριέναι, καὶ τὰ κοινὰ πράττειν. Καὶ, καθάπερ Λαομέδοντα τὸν Ὀρχομένιον λέγουσι καχεξίαν τινὰ σπληνὸς ἀμυνόμενον, δρόμοις μακροῖς χρῆσθαι, τῶν ἰατρῶν κελευσάντων εἶθ' οὕτως διαπονήσαντα τὴν ἕξιν, ἐπιθέσθαι τοῖς στεφανίταις ἀγῶσι, καὶ τῶν ἄκρων γενέσθαι δολιχοδρόμων· οὕτως τῷ Δημοσθένει συνέβη, τὸ πρῶτον ἐπανορθώσεως ἕνεκα τῶν ἰδίων ἀποδύντι πρὸς τὸ λέγειν, ἐκ δὲ τούτου κτησαμένῳ δεινότητα καὶ δύναμιν, ἐν τοῖς πολιτικοῖς ἤδη καθάπερ στεφανίταις ἀγῶσι πρωτεύειν τῶν ἀπὸ τοῦ βήματος ἀγωνιζομένων πολιτῶν. Καίτοι τὸ πρῶτον ἐντυγχάνων τῷ δήμῳ, θορύβοις περιέπιπτε, καὶ κατεγελᾶτο δι' ἀήθειαν τοῦ λόγου συγκεχύσθαι ταῖς περιόδοις καὶ βεβασανίσθαι τοῖς ἐνθυμήμασι πικρῶς ἄγαν καὶ κατακόρως δοκοῦντος. Ἦν [1] δή τις (ὡς ἔοικε) καὶ φωνῆς ἀσθένεια, καὶ γλώττης ἀσάφεια, καὶ πνεύματος κολοβότης, ἐπιταράττουσα τὸν νοῦν τῶν λεγομένων, τῷ διασπᾶσθαι τὰς περιόδους. Τέλος δ' ἀποστάντα τοῦ δήμου, καὶ ῥεμβόμενον ἐν Πειραιεῖ δι' ἀθυμίαν Εὔνομος ὁ Θριάσιος ἤδη πάνυ γέρων θεασάμενος ἐπετίμησεν, ὅτι τὸν λόγον ἔχων ὁμοιότατον τῷ Περικλέους, προδίδωσιν ὑπ' ἀτολμίας καὶ μαλακίας ἑαυτὸν, οὔτε τοὺς ὄχλους ὑφιστάμενος εὐθαρσῶς, οὔτε τὸ σῶμα πρὸς τοὺς ἀγῶνας ἐξαρτυόμενος, ἀλλὰ τρυφῇ περιορῶν μαραινόμενον.

[1] δέ

ἐκ τῶν ἐκείνου λόγων εἰς τὸ πολιτικώτερον μετέφρασε; quæ cum voce μελέταις optime conveniunt. Sed quoniam alieno in loco, et perfunctorie magis, quam res postulabat, mentio Thucydidis injecta videri potest, non magnopere pugno, neque quicquam certi statuere ausim. IDEM.

Οὐδὲ πολλοστὸν μέρος] Οὐδὲ πολλοστημόριον. *Nec unam partem e multis, ne minimam quidem partem.* WOLF.

Πολλοστὸν μέρος] Adi ipsum Demosth. κατὰ Μειδ. §. 44. B.

Λαομέδοντα τὸν Ὀρχομένιον] De hoc alibi nihil me legere memini: et satis nobis est gravis Plutarchi auctoritas: et ignorare talia, non est piaculum, ἰδιωτικὰ ὄντα καὶ διὰ τοῦτ' ἀφιλόσοφα. WOLF.

Τῷ διασπᾶσθαι τὰς περιόδους] F. διεσπᾶσθαι per ε, præterito perfecto. etsi parum refert. IDEM.

Ῥεμβόμενον] Πλανώμενον, γυρεύοντα, *oberrantem, obambulantem*, præ animi ægritudine utique. IDEM.

Εὔνομος ὁ Θράσιος] Bebeliana editio Θριάσιος rectius legit, opinor a municipio Attico Θρία. IDEM.

ζ΄. Πάλιν δέ ποτέ φασιν, ἐκπεσόντος αὐτοῦ, καὶ ἀπιόντος οἴκαδε συγκεκαλυμμένου καὶ βαρέως φέροντος, ὑπακολουθῆσαι Σάτυρον τὸν ὑποκριτὴν, ἐπιτήδειον ὄντα, καὶ συνελθεῖν· ὀδυρομένου δὲ τοῦ Δημοσθένους πρὸς αὐτὸν, ὅτι πάντων φιλοπονώτατος ὢν τῶν λεγόντων, καὶ μικροῦ δέων καταναλωκέναι τὴν τοῦ σώματος ἀκμὴν εἰς τοῦτο, χάριν οὐκ ἔχει πρὸς τὸν δῆμον, ἀλλὰ κραιπαλῶντες ἄνθρωποι ναῦται καὶ ἀμαθεῖς ἀκούονται καὶ κατέχουσι τὸ βῆμα, παρορᾶται δ' αὐτὸς, "Ἀληθῆ λέγεις, ὦ Δημόσθενες (φάναι τὸν Σάτυρον) ἀλλ' ἐγὼ τὸ αἴτιον ἰάσομαι ταχέως, ἄν μοι τῶν Εὐριπίδου τινὰ ῥήσεων ἢ Σοφοκλέους ἐθελήσῃς εἰπεῖν ἀπὸ στόματος." Εἰπόντος δὲ τοῦ Δημοσθένους, μεταλαβόντα τὸν Σάτυρον οὕτω πλάσαι καὶ διεξελθεῖν ἐν ἤθει πρέποντι καὶ διαθέσει τὴν αὐτὴν ῥῆσιν, ὥσθ' ὅλως ἑτέραν τῷ Δημοσθένει φανῆναι. Πεισθέντα δ' ὅσον ἐκ τῆς ὑποκρίσεως τῷ λόγῳ κόσμου καὶ χάριτος πρόσεστι, μικρὸν ἡγήσασθαι καὶ τὸ μηδὲν εἶναι τὴν ἄσκησιν, ἀμελοῦντι τῆς προφορᾶς καὶ διαθέσεως τῶν λεγομένων. Ἐκ τούτου κατάγειον μὲν οἰκοδομῆσαι μελετητή-

ζ΄. Ἐκπεσόντος αὐτῷ] *Cum excidisset, explosus esset.* συγκεκαλυμμένου, *tecta facie præ pudore.* Sic Græci fœda et turpia dicunt, ἐφ' οἷς ἐγκαλύψασθαι δέοι, obvoluta, ut opinor, pallio facie. Aliud est, γράμματά τινος ἐκπεσεῖν, quod in fine hujus operis legitur, de literis sive per imprudentiam, sive amicorum perfidia vulgatis. Idem.

Σάτυρον] Alii Demosthenem Neoptolemo histrioni, alii Andronico operam dedisse narrant; Satyrus erat patria Marathonius, Theogitonis filius. Lucian. in Menip. Insigne ejus factum refert Demosth. περὶ παραπ. c. 58. B.

Μικροῦ δέων καταναλωκέναι] Δέων per ω recte scribitur, a verbo δέω personali. possit et δέον per ο legi, a δεῖ impersonali, κατ' ἀττικισμὸν ἀντὶ τοῦ μικροῦ δέοντος. Wolf.

Κραιπαλῶντες—ναῦται] Videtur his verbis rivalem suum Demadem perstringere, qui cum remigando sibi vitam comparasset, ingenii optimi beneficio orator summus evasit. Quinctil. Inst. Or. l. 2. c. 17. Sext. Empir. adv. Math. l. 2. c. 16. Quam vero fuerit ebrietati deditus, testantur Pytheæ verba apud Athen. Deipn. l. 2. ἐμφατικώτατα.—Ὁ δὲ πορνοβοσκῶν καὶ μεθυσκόμενος κατὰ τὴν ἡμέραν ἑκάστην προγάστωρ ἡμῖν ἐν ταῖς ἐκκλησίαις ἀνακυκλεῖται. B.

Εἰπεῖν ἀπὸ στόματος] Suidas, ἀπὸ στόματος, inquit, ἄνευ γραμμάτων, et ἀποστοματίζειν, ἀπὸ μνήμης λέγειν. Idem valere etiam, φράζειν ἀπὸ γλώττης, exemplis bonorum auctorum docet. Wolf.

Ἐν ἤθει πρέποντι καὶ διαθέσει] Sic Donatus etiam sæpe in Terentio monet, aliquid ἐν ἤθει, ἢ ἐν ὑποκρίσει legendum esse. Idem.

Καὶ χάριτος πρόσεστι] Ἀντὶ τοῦ, προσγίγνεται, ἢ πρόσεισι. Idem.

Μελετητήριον] "Egredienti Athenas versus Hadriani columnas occurrit structura memorabilis. Incolæ vocant *To Phanari Tou Demosthenis*, sive Demosthenis Laternam. Aiunt hunc in locum se concludere solitum, ut studiis eloquentiæ commodius vacaret; rasa barbæ parte altera, quo se magis intra recessum teneret. Structura exigua et rotunda est e marmore candido, Laternæ simillima. Sex columnæ Corinthiacæ tectum suffulciunt. Totius molis Diameter internus vix æquat sex pedes. Supra columnas unus lapis orbiculatus est, totius ædificii ambitum complectens. Cacumen ex uno item lapide fornicatum et concameratum est. Hujus summitas lampadis speciem præ-

ριον· (ὃ δὴ διεσώζετο καὶ καθ' ἡμᾶς) ἐνταῦθα δὲ πάντως μὲν ἑκάστης ἡμέρας προσιόντα πλάττειν τὴν ὑπόκρισιν, καὶ διαπονεῖν τὴν φωνήν· πολλάκις δὲ καὶ μῆνας ἑξῆς δύο καὶ τρεῖς συνάπτειν, ξυρούμενον τῆς κεφαλῆς θάτερον μέρος, ὑπὲρ τοῦ μηδὲ βουλομένῳ πάνυ προελθεῖν ἐνδέχεσθαι δι' αἰσχύνην.

ή. Οὐ μὴν ἀλλὰ καὶ τὰς πρὸς τοὺς ἐκτὸς ἐντεύξεις καὶ λόγους καὶ ἀσχολίας, ὑποθέσεις ἐποιεῖτο καὶ ἀφορμὰς τοῦ φιλοπονεῖν. Ἀπαλλαγεὶς γὰρ αὐτῶν, τάχιστα κατέβαινεν εἰς τὸ μελετητήριον, καὶ διεξῄει τάς τε πράξεις ἐφεξῆς καὶ τοὺς ὑπὲρ αὐτῶν ἀπολογισμούς. Ἔτι δὲ τοὺς λόγους, οἷς παρέτυχε λεγομένοις, ἀναλαμβάνων εἰς ἑαυτὸν, εἰς γνώμας ἀνῆγε καὶ περιόδους· ἐπανορθώσεις τε παντοδαπὰς καὶ μεταφράσεις ἐκαινοτόμει τῶν εἰρημένων ὑφ' ἑτέρων πρὸς αὐτὸν, ἢ ὑφ' [1] αὐτοῦ πάλιν πρὸς ἄλλον. Ἐκ τούτου δόξαν εἶχεν ὡς οὐκ εὐφυὴς ὢν, ἀλλ' ἐκ πόνου συγ-

[1] αὑτοῦ

bet. Inter fornicem et columnas exstat inscriptio. Λυσικράτης Λυσιθειδήμου Κικυνεὺς ἐχορήγει. Ἀκαμάντος παίδων ἐνίκα. Θέον ηὔλει. Λυσυάδης Ἀθηναῖος ἐδίδασκεν. Εὐαίνετος ἦρχε." Georgii Wheeler Itin. in Græc. l. 5. Evænetus Archon erat Olymp. 111. 2. anno post interitum Philippi Macedonis. Temporum ergo rationes non prohibent quo minus hoc verum fuerit Demosthenis μελετητήριον· alia prohibent, et maxime quod id revera esset moles subterranea, referente Plutarcho. Dicendum ergo aut Athenienses hanc structuram in honorem Demosthenis posuisse, ne loci memoria intercideret: aut idem statuendum de hoc ædificio, quod ait Cicero de quercu Mariana—*Quercus huic loco non deerit, quæ Mariana vocetur—Nunc sit hæc, sed cum eam tempestas vetustasve consumpserit, tamen erit his in locis, quam Marianam quercum vocent.* De Leg. 1. B.

Ἐνταῦθα δὲ πάντως μὲν] Verba sic ordinato: ἐνταῦθα δὲ πλάττειν τὴν ὑπόκρισιν, καὶ διαπονεῖν τὴν φωνὴν, κατιόντα (sic enim lego: non προσιόντα) πάντως μὲν ἑκάστης ἡμέρας, πολλάκις δὲ, &c. WOLF.

Μηδὲ βουλομένῳ πάνυ προσελθεῖν] Subintelligi potest, τῷ δήμῳ, *prodire in conciones*: sed melius videtur, προελθεῖν, *prodire in publicum*, ne studium scilicet interrumperetur. IDEM.

ή. Τὰς πρὸς τοὺς ἐκτὸς ἐντεύξεις] *Congressus et colloquia cum aliis* intelligo, sive civibus, sive hospitibus: sive ipse illos adiisset, sive ipsum illi convenissent. IDEM.

Τάχιστα κατέβαινεν εἰς τὸ μελετητήριον] Vocat, μελετητήριον, τὸ καταγώγιον καὶ τὰς καταγείους οἰκήσεις, locum in quo se exerceret seu declamaret. Declamationes enim Græci, μελέτας, dicunt. IDEM.

Ἀπολογισμοὺς] Hesychius, ἀπολογίαν. Varinus, ἀπολογίζεσθαι, τὸ ἀποδοῦναι λόγους τῶν δαπανημάτων. Budæus, ἀπολογίζεσθαι, τὸ διεξιέναι. Suidas ex Demosthene interpretatur, ἀπολογίσασθαι, τὸ ἐπεξελθεῖν ἕκαστα. et e Polybio citat: ὁ δὲ Ξάνθιππος παραγενόμενος, εἰς χεῖρας ἔφερε τοῖς ἄρχουσι τοὺς ἀπολογισμοὺς, παρά τι νῦν σφαλείησαν, καὶ πῶς δύναιντο τοὺς ἐναντίοὺς νικᾷν. *rationes obtulit, causas scripto exhibuit.* IDEM.

Ἀναλαμβάνων εἰς ἑαυτὸν] *Ad seipsum referens, in suam personam conferens*, ita tractans ac si sua res ageretur. hoc malo, quam *in memoriam revocans*,. Suidas interpretatur, ἀνέχειν, ἀνακτᾶσθαι, ἐνθυμηθῆναι. Plato apologia, ἀναλάβωμεν ἐξ ἀρχῆς τίς ἡ κατηγορία, *repetamus accusationem.* IDEM.

Εἰς ἄλλον] Sic Bebelius. Sed Hervagius rectius opinor, πρὸς ἄλλον. IDEM.

Πρὸς ἄλλον] Alii εἰς. Sequor MS. Bodl. qui supra habet ἑτέρου. B.

Οὐκ εὐφυὴς] Δημοσθένης ἐπιμελὴς μᾶλλον ἢ εὐφυής. Hermippus apud Suidam in

κειμένῃ δεινότητι καὶ δυνάμει χρώμενος. Ἐδόκει τε τούτου σημεῖον εἶναι μέγα, τὸ μὴ ῥᾳδίως ἀκοῦσαί τινα Δημοσθένους ἐπὶ καιροῦ λέγοντος, ἀλλὰ καὶ καθήμενον ἐν ἐκκλησίᾳ πολλάκις τοῦ δήμου καλοῦντος ὀνομαστὶ, μὴ παρελθεῖν, εἰ μὴ τύχοι πεφροντικὼς καὶ παρεσκευασμένος. Εἰς τοῦτο [1] ἄλλοι πολλοὶ τῶν δημαγωγῶν ἐχλεύαζον αὐτὸν, καὶ Πυθέας ἐπισκώπτων, ἐλλυχνίων ἔφησεν ὄζειν αὐτοῦ τὰ ἐνθυμήματα. Τοῦτον μὲν οὖν ἠμείψατο πικρῶς ὁ Δημοσθένης, "Οὐ ταὐτὰ γὰρ (εἶπεν) ἐμοὶ καὶ σοὶ, ὦ Πυθέα, ὁ λύχνος σύνοιδε." Πρὸς δὲ τοὺς ἄλλους οὐ παντάπασιν ἦν ἔξαρνος, ἀλλ' οὔτε γράψας, οὔτ' ἄγραφα κομιδῇ λέγειν ὡμολόγει. Καὶ μέντοι δημοτικὸν ἀπέφαινεν ἄνδρα τὸν λέγειν μελετῶντα· [2] θεραπείας γὰρ εἶναι τοῦτο δήμου παρασκευήν· τὸ δ' ὅπως ἕξουσιν οἱ πολλοὶ πρὸς τὸν λόγον ἀφροντιστεῖν, ὀλιγαρχικοῦ, καὶ βίᾳ μᾶλλον ἢ πειθοῖ προσέχοντος. Τῆς δὲ πρὸς καιρὸν [3] ἀτολμίας καὶ τοῦτο ποιοῦνται σημεῖον, ὅτι Δημάδης μὲν ἐκείνῳ θορυβηθέντι πολλάκις ἀναστὰς ἐκ προχείρου συνεῖπεν, ἐκεῖνος δ' οὐδέποτε Δημάδῃ.

[1] ἄλλοι τε πολλοὶ

[2] *θεραπείαν γὰρ εἶναι τοῦ δήμου τὴν παρασκευὴν

[3] ἀτολμίας αὐτοῦ καὶ

Demosthene. Idem.

Ἐπὶ καιροῦ λέγοντος] Post, ἐκ τοῦ παρισταμένου. et, ἐκ προχείρου. et, ἐκ τοῦ περιτυχόντος. et Demosthenes, ἐκ τοῦ παραχρῆμα. In vita Æschinis, τὸ θείως εἰπεῖν, *extempore dicere* aut *declamare*, hoc est, μὴ πεφροντικότα ἢ προπαρεσκευασμένον πρὸς τοῦτο, καὶ συντεταγμένον. Wolf.

Εἰς τοῦτο] Reliquæ editiones his verbis claudunt priorem sententiam, vidit Bryanus ad hanc referenda esse. B.

Πύθεας] Pytheas, secundum *nostrum in Phocione*, orator λάλος καὶ θρασὺς, quamdiu ea consuleret, quæ e Rep. essent, pauper et contemptus erat; postquam a Philippo redemptus est, gratia apud populum valuit, et delectus est, qui sacra pro Atheniensibus Delphis faceret: homo vitæ impuræ et libidinosæ. Vid. Demosth. Epist. 3. Idem.

Θεραπείαν γὰρ εἶναι τοῦ δήμου τὴν παρασκευὴν] *Oratoris enim præparationem ad bene dicendum genus esse aliquod ejus cultus studiique, quo plebem prosequatur.* Sic de meo dedi, pro vulgari θεραπείας γὰρ εἶναι τοῦτο δήμου παρασκευήν. Reisk

Τῆς πρὸς καιρὸν ἀτολμίας] Pro, τῆς πρὸς τὸ ἐπὶ καιροῦ λέγειν ἀτολμίας: si scriptura non fallit. Wolf.

Δημάδης] Demade sorator erat impurus, corruptus, omni scelere inquinatus, et, quod vere dicit Plut. in Phoc. naufragium Reipublicæ; Philippi et Antipatri mercenarius, quorum ultimus comparavit eum victimæ litatæ, cujus omnia consumpta essent, præter linguam et ventrem. Se moresque suos optime depinxit, cum apud populum desperabundus profiteretur, *Se et accepisse semper munera et accepturum esse. Dinarch. in Demosth.* Obitum ejus vide infra §. λά. Exstincti jam imagines ejus et statuæ, quod de Sejano dicitur, in matulas conflatæ sunt. Plutarch. πολιτ. παραγγ. p. 820. c. B.

Θορυβηθέντι] *Cum obturbante et reclamante populo hæsitaret, acclamatione adversa populi uso.* Capitur etiam pro applausu, ut Panathenaico Isocratis: ἀνέγνωστο δ' ὁ λόγος: ἐπῃνημένος δ' ἦν καὶ τεθορυβημένος καὶ τετυχηκὼς, ὧνπερ οἱ κατορθοῦντες ἐν ταῖς ἐπιδείξεσι. Sic et Arist. α. ῥητορικῇ· καὶ πιθανοὶ μὲν οὐχ ἧττον οἱ λόγοι οἱ διὰ τῶν παραδειγμάτων· θορυβοῦνται δὲ μᾶλλον οἱ ἐνθυμηματικοὶ, hoc est, *majorem*

θʹ. Πόθεν οὖν (φαίη τις ἂν) [1]ὁ Αἰσχίνης πρὸς τὴν ἐν τοῖς λόγοις τόλμαν θαυμασιώτατον ἀπεκάλει τὸν ἄνδρα; πῶς δὲ Πύθωνι τῷ Βυζαντίῳ θρασυνομένῳ καὶ ῥέοντι πολλῷ κατὰ τῶν Ἀθηναίων, ἀναστὰς μόνος ἀντεῖπεν; ἢ Λαμάχου τοῦ Μυῤῥηναίου γεγραφότος ἐγκώμιον Ἀλεξάνδρου καὶ Φιλίππου τῶν βασιλέων, ἐν ᾧ πολλὰ Θηβαίους καὶ Ὀλυνθίους εἰρήκει κακῶς, καὶ ἀναγινώσκοντος Ὀλυμπιάσι, παραναστὰς, καὶ διεξελθὼν μεθ' ἱστορίας καὶ ἀποδείξεως ὅσα Θηβαίοις καὶ Χαλκιδεῦσιν ὑπάρχει καλὰ πρὸς τὴν Ἑλλάδα, καὶ πάλιν ὅσων αἴτιοι κακῶν γεγόνασιν οἱ κολακεύοντες Μακεδόνας, οὕτως ἐπέστρεψε τοὺς παρόντας, ὥστε δείσαντα τῷ θορύβῳ τὸν σοφιστὴν ὑπεκ-

[1] ὁ

applausum excitant. Wolf.

θʹ. Πόθεν—ἄνδρα] Exstat κατὰ Κτησ. c. 48. ὦ πρὸς μὲν τὰ μεγάλα καὶ σπουδαῖα τῶν πραγμάτων ἁπάντων ἀνθρώπων ἀχρηστότατε, πρὸς δὲ τὴν ἐν τοῖς λόγοις τόλμαν θαυμασιώτατε. B.

Πύθωνι] Pythonis Byzantii summa erat eloquentiæ fama: vide Æsch. περὶ παραπ. c. 40. et Diodor. lib. 16. Hujus opera Philippus multum utebatur, cum in aliis ad Græciæ civitates legationibus, tum ad Thebanos paulo ante pugnam Chæroneam, quos ab Atheniensium societate abstrahere Python conatus est. Rogatus aliquando πῶς ἔχει ὁ Βυζαντίων νόμος, respondebat, ὡς ἐγὼ θέλω. Sext. Emp. adv. Math. l. 2. c. 38. Idem.

Θρασυνομένῳ καὶ ῥέοντι] Verba sunt ipsius Demosthenis: τότε ἐγὼ μὲν τῷ Πύθωνι θρασυνομένῳ καὶ πολλῷ ῥέοντι καθ' ὑμῶν οὐκ εἶξα, οὐδ' ὑπεχώρησα &c. περὶ στεφ. c. 43. in quibus translationem aliquanto audaciorem notat Demetr. περὶ ἑρμ. c. 80.—Cæterum de hoc oratorum certamine longe errant viri doctissimi, Dacier. ad hunc Plutarchi locum, et Stanyan Hist. Græc. vol. 2. a Diodoro (qui tamen aliud dicit) in fraudem ducti, qui credunt ista contigisse in Demosthenis legatione Thebana, quæ Athenis acciderunt Æschine præsente, multisque annis ante, prout ex orationis serie c. 43. et seq. et Demosth. Epist. 2. p. 1469. ed. R. colliget Lector attentus. Demosthenem rectius intellexit Philostratus Vit. Apoll. Tyan. lib. 7. c. 16. Πύθων——ὑπὲρ Φιλίππου πρεσβεύων παρὰ τοὺς Ἕλληνας ὑπὲρ τῆς δουλείας αὐτῶν, τοὺς μὲν ἄλλους εἴα· ἀλλ' ΕΝ ΑΘΗΝΑΙΟΙΣ γε ΑΥΤΟΙΣ, ὅτε δὴ μάλιστα ῥητορικὴ ἔῤῥωτο, ἀδικεῖσθαί τε ὑπ' αὐτῶν ἔφασκε τὸν Φίλιππον, καὶ δεινὰ πράττειν Ἀθηναίους τὸ Ἑλληνικὸν ἐλευθεροῦντας·—ἀλλὰ Δημοσθένης ἀντεῖπων &c. et Lucian. in Encom. Dem. [§. 32.] sub persona Antipatri: μετενοοῦμεν, ὅτε τοὺς Ἕλληνας ΑΘΗΝΑΖΕ συνηγάγομεν, ὡς ἐλέγξοντες Ἀθηναίους, Πύθωνι καὶ τοῖς Πύθωνος ἐπαγγέλμασι πεπιστευκότες, εἶτα Δημοσθένει καὶ τοῖς Δημοσθένους ἐλέγχοις περιπεσόντες. Idem.

Ῥέοντι πολλῷ] *Fluenti multo*, id est, acri et copiosa ratione invehenti in Athenienses. Verba Demosthenis sunt, ex oratione περὶ στεφάνου. [§. μγʹ.] Wolf.

Μυῤῥηναίου] Alius fuit Lamachus dux Atheniensium, qui cum Nicia et Alcibiade in Siciliam profectus est, ῥιψοκίνδυνος καὶ φιλοπόλεμος. Μυῤῥηναίου nomen δήμου esse conjicio. In vita Isocratis fit mentio Λυσιμάχου Μυῤῥινουσίου. Utrum rectius sit Μυῤῥηναίου, an Μυῤῥινουσίου, et an diversa municipia sint, sine auctoritate veterum statuere non possum. In altera Plutarchi vita legitur, τοῦ Τειρωναίου, quod quid sit, æque me ignorare fateor. Varinus nihil affert, nisi, Μυῤῥίνη χώρα, καὶ εἶδος φυτοῦ. Idem.

Μυῤῥηναίου] Alii, Μυῤῥηνουσίου. Erat pagus Atticæ Μυῤῥινοῦς, unde Μυῤῥινούσιος, et Μυρίνη, urbs Æolidis et oppidum Lemni, unde fortasse Μυριναῖος. Bryan.

Οὕτως ἐπέστρεψε] Varino interprete, τὸ τὰς ἁπάντων ὄψεις εἰς ἑαυτὸν ἐφειλκύσατο, ἤτοι διὰ χαρίτων τινῶν, ἢ καὶ πιθανῶν λόγων, *omnium ora oculosque in se convertit.* Interdum idem valere ait, τὸ ἐπιστρέφειν, quod τὸ διορθώσασθαι, *corrigere.* Wolf.

Δείσαντα] Si δείσαντα accipis pro ἐκπληχθέντα, recte habebit τῷ θορύβῳ; alias

δύναι τῆς πανηγύρεως. Ἀλλ᾽ ἔοικεν ὁ ἀνὴρ τοῦ Περικλέους τὰ μὲν ἄλλα μὴ πρὸς αὐτὸν ἡγήσασθαι, τὸ δὲ πλάσμα καὶ τὸν σχηματισμὸν αὐτοῦ, καὶ τὸ μὴ ταχέως μηδὲ περὶ παντὸς ἐκ τοῦ παρισταμένου λέγειν, ὥσπερ ἐκ τούτων μεγάλου γεγονότος, ζηλῶν καὶ μιμούμενος, οὐ πάνυ προΐεσθαι τὴν ἐν τῷ καιρῷ δόξαν, οὐδ᾽ ἐπὶ τύχῃ πολλάκις ἑκὼν εἶναι ποιεῖσθαι τὴν δύναμιν. Ἐπεὶ τόλμαν γε καὶ θάρσος οἱ λεχθέντες ὑπ᾽ [1] αὐτοῦ λόγοι τῶν γραφέντων μᾶλλον εἶχον, εἴ τι δεῖ πιστεύειν Ἐρατοσθένει, καὶ Δημητρίῳ τῷ Φαληρεῖ, καὶ τοῖς κωμικοῖς· ὧν Ἐρατοσθένης μέν φησιν αὐτὸν ἐν τοῖς λόγοις πολλαχοῦ γεγονέναι παράβακχον· ὁ δὲ Φαληρεὺς τὸν ἔμμετρον ἐκεῖνον ὅρκον ὀμόσαι ποτὲ πρὸς τὸν δῆμον, ὥσπερ ἐνθουσιῶντα,

Μὰ γῆν, μὰ κρήνας, μὰ ποταμοὺς, μὰ νάματα.

Τῶν δὲ κωμικῶν ὁ μέν τις αὐτὸν ἀποκαλεῖ ῥωποπερπερή-

[1] αὑτοῦ

conveniat atique melius τὸν θόρυβον. REISK.

Περικλέους τὰ μὲν ἄλλα] Videlicet, τὴν στρατηγίαν καὶ εὐτολμίαν, imperatoria munera, et confidentiam. *Ac cætera quidem Periclis nihil ad se attinere, nec sibi usurpanda judicasse, sed gestum et conformationem atque institutum ejus et cautionem, ne subito de re qualibet ac impræmeditate diceret,* &c. τὸ πλάσμα καὶ τὸν σχηματισμὸν, pro persona accipio, quam sibi unusquisque imponit, aut assumit. WOLF.

Οὐ πάνυ προΐεσθαι τὴν ἐν τῷ καιρῷ δόξαν] Malim, licet 4. codicibus, Veneto Feliciani, Hervag. duobus, et uno Bebeliano, reclamantibus legere, προσίεσθαι, hoc sensu: *non magnopere curasse laudem dictionis extemporalis*, præsertim cum sequatur, οὐδ᾽ ἐπὶ τύχῃ πολλάκις, ἑκὼν εἶναι, ποιεῖσθαι τὴν δύναμιν. Sed si pro οὐ legas οὔτε, ac τὸ προΐεσθαι τὸ καταφρονεῖν interpreteris, ferri potest. IDEM.

Τὴν ἐν τῷ καιρῷ δόξαν] F. τὴν ἐπὶ τοῦ καιροῦ λέγειν δόξαν. Sic postea pro ταῖς περὶ τὸν καιρὸν ἀπαντήσεσι, malim, ταῖς ἐπὶ καιροῦ, vel, ἐπὶ τῶν καιρῶν. IDEM.

Τὴν ἑαυτοῦ τῷ καιρῷ δόξαν] F. *Non admodum facile, neque crebro, suam glorium subitaneo temporis occursui permisisse, vel prodidisse.* REISK.

Ἐρατοσθένει] Eratosthenes Cyrenæus, Callimachi discipulus, regnante Ptolemæo Evergete Bibliothecæ Alexandrinæ præfectus est: Beta dictus, quod maluit esse in universis scientiis secundus, quam in una quavis primus. B.

Ἔμμετρον] *Numeris devinctum, poeticum.* est enim versus iambicus trimeter. Interpres sensum secutus, immane vertit. WOLF.

Ῥωποπερήθραν] Sic habent omnes quos ego vidi codices. Lexica quædam arguunt, alicubi legi ῥωπερήθρα. Cum autem ῥῶπες sint θάμνοι *frutices, virgulta, sarmenta*, φυτὰ φυγανώδη, εὐλύγιστα, et ῥῶπος *fasciculus variarum rerum*, σύμμικτός τις καὶ εὐτελὴς φόρτος: περήθρα vero παρὰ τὸ περᾷν, *a trajiciendo* fieri videatur: nondum me pœnitet vertisse *fasciculos sarmentorum volventem.* Nec volui substituere tunc ex Diogene, Δημοσθένους τὴν ῥωβοστομυλήθραν. ἐῴκει γὰρ τοῦ Εὐβουλίδου καὶ Δημοσθένης ἀκηκοέναι, καὶ ῥωβικώτερος ὢν παύσασθαι. Ubi Ambrosius τὸν ῥωβικὸν, interpretatur, *qui R literam pronunciare nequeat*: quam ego vocem in Græcis Lexicis non reperio. Anno autem 1548. quo hæc primum vertebam, nondum erat editus Eustathii index, in quo est, ῥωποπερπερήθρα, σκῶμμα ἐπὶ χυδαιότητι καὶ φλυαρίᾳ. Et scurriles hujusmodi comicorum compositiones non nullum habent sensum, quem uteunque Latine reddi non est improbandum. Neque quicquam vetat, neque etiam novum est, eundem ab alio scurra appellari aliter. Sed nugarum plus satis. IDEM.

Ῥωποπερπερήθραν] Nota est circa voces decompositas veterum Comicorum licentia, qualis est apud Aristophanem κομποφακελοῤῥήμων, ejusdem fere cum hac nostra

θραν. Ὁ δὲ παρασκώπτων, ὡς χρώμενον τῷ ἀντιθέτῳ, φησὶν οὕτως,

Ἀπέλαβεν, ὥσπερ ἔλαβεν·—ἠγάπησεν [1] ἂν
Τὸ ῥῆμα τοῦτο παραλαβὼν Δημοσθένης.

Ἐκτὸς εἰ μὴ νὴ Δία πρὸς τὸν ὑπὲρ Ἁλονήσου λόγον ὁ Ἀντιφάνης καὶ τουτὶ πέπαιχεν, ἣν Ἀθηναίοις Δημοσθένης

[1] γὰρ

sententiæ. Quid sit ῥωποπερπερήθρα (notante Xylandro) docet Eustathius ad Iliad. ν'. v. 199. ἐκ τούτου (ῥῶπος) καὶ ῥωποπερπερήθρα τις προσεῤῥήθη, ἐπὶ χυδαιότητι καὶ φλυαρίᾳ σκωπτόμενος. Idem fere vult Æschines, apud quem Demosthenes est ἀνὴρ ἐξ ὀνομάτων συγκείμενος——ἐπ' ὀνομάτων διὰ τῆς πολιτείας πλέων. Dictum videtur in voces quasdam Demosthenis sonantes nimis et atroces, μιαρὰ καὶ ἀπίθανα ῥήματα,——Ἀμπελουργοῦσι τὴν πόλιν, ἀνατετμήκασι τὰ κλήματα τοῦ δήμου &c. vid. Æsch. contra Ctes. 53. B.

Ὁ δὲ] Antiphanes puta, ut e seqq. constat. Reisk.

Ὁ δὲ παρασκώπτων ὡς χρώμενον τῷ ἀντιθέτῳ, φησὶν, οὕτως ἀπέλαβεν ὥσπερ ἔλαβεν] Suidas et Harpocration, ἀντίθεσις, ὃ καὶ ἀντίθετον λέγεται, σχῆμα λέξεώς ἐστι καθ' ἣν ἀντιθέασιν ἀλλήλοις τὰ ἐναντία, ἢ κατὰ μέρος, ἢ ἀθρόως. Cum autem hic nulla sit contentio contrariorum, sed vel παρωνομασία, vel συστοιχία quædam: aut Plutarchus voce ἀντιθέτου abusus est, aut locus hic mendi suspicione non vacat. Quid vero si ita sit legendum, οὕτως ἀπέβαλεν ὡς παρέλαβεν; *Sic abjecit*, id est, *amisit, sicut suscepit?* Ita constabit τὸ ἀντίθετον, in vocibus, ἀποβαλεῖν καὶ παραλαβεῖν, etsi τὸ ἀπολαβεῖν magis consentiret cum τῷ ἀποβαλεῖν: ut legas, οὕτως ἀπέβαλεν ὡς ἀπέλαβεν. Wolf.

Παρασκώπτων, ὡς χρώμενον τῷ ἀντιθέτῳ] Sic illud Epicharmi: τόκα μὲν ἐν τήνοις ἐγὼν ἦν, τόκα δὲ παρὰ τήνοις ἐγών· Demetrius περὶ Ἑρμην. 23. in ludibrium Oratorum scriptum putat. Nimium vero antithetorum apud Demosthenem usum non solum Poetæ Comici irriserunt, sed ipse reprehendit Demetrius, vir judicii, siquis alius, limatissimi. Ne illa quidem probat ex oratione περὶ στεφ. [§. π'.] Ἐτέλεις, ἐγὼ δ' ἐτελούμην· ἐδίδασκες, ἐγὼ δὲ ἐφοίτων· ἐτριταγωνίστεις, ἐγὼ δὲ ἐθεώρουν· ἐξέπιπτες, ἐγὼ δὲ ἐσύριττον· sed, ἡ ἀντίθεσις, inquit, οὐκ ἥρμοσεν· κακοτεχνοῦντι γὰρ ἔοικε διὰ τὴν ἀνταπόδοσιν, μᾶλλον δὲ παίζοντι, οὐκ ἀγανακτοῦντι — περὶ Ἑρμ. 262. B.

Φησὶν οὕτως] Locus integer in vulgatis ita se habet. — φησίν· οὕτως ἀπέλαβεν, ὥσπερ ἔλαβεν· ἠγάπησε γὰρ τὸ ῥῆμα τοῦτο παραλαβὼν Δημοσθένης ἐκτός. Viderunt aliqui τὸ ἐκτὸς ad sequentia relegandum esse; sed fefellit omnes, hos esse versus Iambicos senarios, et illa utique postrema ἠγάπησε γὰρ &c. non esse Plutarchi verba, sed ejus, quem citat, Antiphanis. Ita enim Athenæ. Deip. l. 6. c. 1. Ἀποδίδομέν σοι, οὐ δίδομεν, ὡς ὁ Κωθωκίδης φησὶ ῥήτωρ, Δημοσθένην χλευάζων, ὅς, Φιλίππου Ἀθηναίοις Ἁλόνησον διδόντος, συνεβούλευε μὴ λαμβάνειν, εἰ δίδωσιν, ἀλλὰ μὴ ἀποδίδωσιν. ὅπερ Ἀντιφάνης ἐν Νεόττιδι, παιδιὰν θέμενος, ἐρεσχελεῖ τόνδε τὸν τρόπον·

Ὁ δεσπότης δὲ πάντα τὰ παρὰ τοῦ πατρὸς
Ἀπέλαβεν, ὥσπερ ἔλαβεν· ἠγάπησεν ἂν
Τὸ ῥῆμα τοῦτο παραλαβὼν Δημοσθένης.

Ἄλεξις δ' ἐν στρατιώτῃ &c. Pergit Alexin, Anaxilan, et Timoclem comicos citare, quibus placuit in irridendo Demosthene ingenium suum experiri. B.

Δημοσθένης] Malim Δημοσθένους, in genitivo. *nactus a Demosthene, imitatus in eo Demosthenem.* Reisk.

Ἠγάπησε γὰρ τὸ ῥῆμα τοῦτο παραλαβὼν Δημοσθένης ἐκτός. εἰ μὴ νὴ δία] *Libenter extrinsecus assumpsit.* Est et hic locus salebrosus. Libenter et crebro verbum hoc ἀπέλαβεν ὥσπερ ἔλαβεν, usurpabat. Reliqui codices, τὸ ἐκτὸς, conjungunt, libenter extrinsecus assumpsit: quod intelligo perinde, ac si dixisset, quamvis sententia non postularet. Sed Feliciani editio conjungit, ἐκτὸς εἰ μὴ νὴ δία, &c. Nisi forte, ut et Lucianus περιπένθους, ἐκτὸς εἰ μὴ τὴν σποδὸν ἡμᾶς σιτεῖσθαι πεπιστεύκατε, *nisi forte nos cinerem esuros persuasum habetis.* Pro, παραλαβὼν, lego, παραλαβεῖν ὀρικῶς ἢ τεχνικῶς. *Delectatus est Demosthenes verbo* παραλαβεῖν. Wolf.

Ὑπὲρ Ἁλονήσου—ἀπολαμβάνειν] Exstat oratio de Haloneso, quam Libanius non esse Demosthenis putat, sed Hegesippi, quanquam in initio hæc legantur. Οὐ λανθάνει αὐτὸν, ὅτι δι' ἀμφοτέρων τῶν ὀνομάτων, ὁποτέρῳ ἂν χρήσησθε ὑμεῖς, ἕξετε τὴν νῆσον, ἄν τε ΛΑΒΗΤΕ, ἄν τε ΑΠΟΛΑΒΗΤΕ. Τί οὖν αὐτῷ διαφέρει, μὴ τῷ δικαίῳ ὀνόματι χρησάμενον, ΑΠΟΔΟΥΝΑΙ ἡμῖν, ἀλλὰ δωρεὰν ΔΕΔΩΚΕΝΑΙ, ἀδίκῳ; Halonesus exigua insula est in mari Ægeo ex adverso Thes-

συνεβούλευε μὴ λαμβάνειν, ἀλλ' ἀπολαμβάνειν παρὰ Φιλίππου.

ί. Πλὴν τόν γε Δημάδην πάντες ὡμολόγουν τῇ φύσει χρώμενον ἀνίκητον εἶναι, καὶ παραφέρειν [1] αὐτὸν σχεδιάζοντα τὰς τοῦ Δημοσθένους σκέψεις καὶ παρασκευάς. Ἀρίστων δ' ὁ Χῖος καὶ Θεοφράστου τινὰ δόξαν ἱστόρηκε περὶ τῶν ῥητόρων. Ἐρωτηθέντα γὰρ ὁποῖός τις αὐτῷ φαίνεται ῥήτωρ ὁ Δημοσθένης, εἰπεῖν, "Ἄξιος τῆς πόλεως·" ὁποῖος δὲ Δημάδης, "Ὑπὲρ τὴν πόλιν." Ὁ δ' αὐτὸς φιλόσοφος Πολύευκτον ἱστορεῖ τὸν Σφήττιον, ἕνα τῶν τότε πολιτευομένων Ἀθήνησιν, ἀποφαίνεσθαι, μέγιστον μὲν εἶναι ῥήτορα Δημοσθένη, δυνατώτατον δὲ εἰπεῖν Φωκίωνα, πλεῖστον γὰρ ἐν βραχυτάτῃ λέξει νοῦν ἐκφέρειν. Καὶ μέντοι καὶ τὸν Δημοσθένη φασὶν αὐτὸν, ὁσάκις ἂν ἀντερῶν αὐτῷ Φωκίων ἀναβαίνοι, λέγειν πρὸς τοὺς συνήθεις, "Ἡ τῶν ἐμῶν λόγων κοπὶς ἀνίσταται." Τοῦτο

[1] αὐτοσχεδιάζοντα

saliæ, quam a Sostrato Pirata occupatam Philippus, eo expulso, in suam ditionem redegit; deinde dono obtulit Atheniensibus, quorum prius fuisset. Oratores autem, ut scribit Philippus in Epistola (inter Opera Demosth. §. έ.) ΛΑΜΒΑΝΕΙΝ οὐκ εἴων, ΑΠΟΛΑΒΕΙΝ δὲ συνεβούλευον. Vide etiam Æsch. κατὰ Κτησ. c. 30. et Ælian. V. H. l. 12. c. 53. B.

ί. Πλὴν τόν γε Δημάδην] Lapus eleganter addit (nisi forte nostra exemplaria mutila sint) omnes sui temporis oratores sine controversia superavit. Wolf.

Πλὴν—Δημάδην] Demadis eloquentiam, qualis fuerat, videre est apud Demetrium περὶ ἑρμην. qui orationem ex Emphasi, Allegoria et Hyperbole conflatam, singulari nomine, Demadeam appellat. Καίτοι ἔχει τι ἐπισφαλὲς, καὶ οὐκ εὐμίμητον μάλα. Ἔνεστι γάρ τι καὶ ποιητικὸν τῷ εἴδει· (εἴ γε ποιητικὸν ἡ ἀλληγορία καὶ ὑπερβολὴ καὶ ἔμφασις·) ποιητικὸν δὲ μικτὸν κωμῳδίας. cap. 304. vide etiam Stobæum serm. 29. p. 206. B.

Τῇ φύσει χρώμενον] Subintelligatur alterum membrum, καί τοι ἀπαίδευτον ὄντα, sola ingenii felicitate, sine doctrinæ adminiculis. Nam Suidas eum nautam seu navicularium fuisse scribit, et querela Demosthenis περὶ κραιπαλώντων ἀνθρώπων, ναυτῶν, καὶ ἀμαθῶν, hunc potissimum tangere videtur. Wolf.

Αὐτὸν σχεδιάζοντα] Scribe αὐτοσχεδιάζοντα. Bryan.

Ἀρίστων ὁ Χῖος] Si Straboni credimus, Κεῖος, vel, Κήϊος, legendum erit, et apud Athenæum ἐπινίκιον γράψαντος Σιμωνίδου τοῦ Κείου, quanquam et apud Ciceronem in Officiis Aristo Chius legitur, quæ verba inepte nonnulli jungentes Aristochium nescio quem nobis obtrudunt. Wolf.

Ἀρίστων] Aristo Chius, Philosophus Stoicus, Zenonis discipulus, scripsit epistolas ad Cleanthem. Alia quoque sub ejus nomine ferebantur, quæ Laertius tribuit Aristoni Ceo Peripatetico. B.

Πολύευκτον] Polyeuctus, Midiæ defensor contra Demosthenem, sed in gerendæ Reip. ratione cum eo conjunctissimus, orator erat Atheniensis, corpore præpinguis: unde, cum oratione habita bellum contra Philippum suaderet, anhelans interim et sudans, et aquam ad bibendum poscens, non inficete dixit Phocion, "Egregium belli ineundi auctorem! Quem quid facturum censetis, cum hostes advenerint, qui ne apud vos perorare potest sine periculo suffocationis?" Videtur semper Macedonibus infensus perstitisse, siquidem circa obitum Alexandri legatus ad Arcadas missus est, ut eos a Macedonum societate abstraheret. Demosth. κατὰ Μειδ. p. 560. ed. R. Phil. 3. §. ιε'. Plutarch. in Phocione p. 746. Vit. 10. Rhet. p. 846. Idem.

Ἡ τῶν ἐμῶν λόγων κοπὶς ἀνίσταται] Versus trimeter Iambicus. *Orationis ensis exurgit meæ.* Wolf.

Κοπὶς] Σφῦρα καὶ κοπὶς apud Stobæum

μὲν οὖν ἄδηλον εἴτε πρὸς τὸν λόγον τοῦ ἀνδρὸς ὁ Δημοσθένης, εἴτε πρὸς τὸν βίον καὶ τὴν δόξαν ἐπεπόνθει, πολλῶν πάνυ καὶ μακρῶν περιόδων ἓν ῥῆμα καὶ νεῦμα πίστιν ἔχοντος ἀνθρώπου κυριώτερον ἡγούμενος.

ιά. Τοῖς δὲ σωματικοῖς ἐλαττώμασι τοιαύτην ἐπῆγεν ἄσκησιν (ὡς ὁ Φαληρεὺς Δημήτριος ἱστορεῖ, λέγων αὐτοῦ Δημοσθένους ἀκούειν πρεσβύτου γεγονότος) τὴν μὲν ἀσάφειαν καὶ τραυλότητα τῆς γλώττης ἐκβιάζεσθαι καὶ διαρθροῦν εἰς τὸ στόμα ψήφους λαμβάνοντα, καὶ ῥήσεις ἅμα λέγοντα· τὴν δὲ φωνὴν ἐν τοῖς δρόμοις γυμνάζεσθαι καὶ ταῖς πρὸς τὰ σιμὰ προβάσεσι διαλεγόμενον, καὶ λόγους τινὰς ἢ στίχους ἅμα τῷ πνεύματι πυκνουμένῳ προφερόμενον. εἶναι δ' αὐτῷ μέγα κάτοπτρον οἴκοι, καὶ πρὸς τοῦτο τὰς μελέτας ἐξ ἐναντίας ἱστάμενον περαίνειν. Λέγεται δ', ἀνθρώπου προσελθόντος δεομένου συνηγορίας καὶ διεξιόντος ὡς ὑπό του λάβοι πληγὰς, "Ἀλλὰ σύ γε" (φάναι τὸν Δημοσθένην) "τούτων ὧν λέγεις οὐδὲν πέπονθας." Ἐπιτείναντος δὲ τὴν φωνὴν τοῦ ἀνθρώπου καὶ βοῶντος, "Ἐγὼ Δημόσθενες οὐδὲν πέπονθα;" "Νὴ Δία" (φάναι) "νῦν ἀκούω φωνὴν ἀδικουμένου καὶ πεπονθότος." Οὕτως ᾤετο μέγα πρὸς πίστιν εἶναι τὸν τόνον καὶ τὴν ὑπόκρισιν τῶν λεγόντων. Τοῖς μὲν οὖν πολλοῖς ὑποκρινόμενος ἤρεσκε θαυμαστῶς· οἱ δὲ χαρίεντες ταπεινὸν ἡγοῦντο καὶ ἀγεννὲς αὐτοῦ τὸ πλάσμα καὶ μαλακὸν, ὧν καὶ Δημήτριος ὁ Φαληρεύς ἐστιν. Αἰσίωνα δέ φησιν

serm. 37. p. 221. ΚΟΠΙΣ est gladius leviter curvatus, falci similis. Q. Curt. l. 8. c. 48. Ἡ ΚΟΠΙΣ, Περσικὸν ξίφος, ὃ ἀκινάκης λέγεται, inquit Scholiastes [immo Barnesius] ad Euripidis Hecubam, v. 134. B.

ιά. Ὡς ὁ Φαληρεὺς—ἱστορεῖ] *Quæ de Demosthenis studio et exercitatione scripsit Demetrius, recordare.*—Q. Cic. de Pet. Cons. c. 1. Plura huc pertinentia vide apud Lucian. in Encom. Cic. de Orat. l. 1. 61. Quinctil. Inst. Or. l. 11. c. 3. Val. Max. l. 8. c. 7. Idem.

Ἐκβιάζεσθαι] Cum insequentibus infinitivis aptum est ex ἱστορεῖ præmisso. *Demetrius Phalereus perhibet, Demosthenem consuevisse vi admota expugnare vocis obscuritatem.* Reisk.

Ταῖς πρὸς τὰ σιμὰ προβάσεσι] M. προσβάσεσι. et ἀγεννὲς per ν geminatum. Sic Κάσσανδρος σ gemino, pro Κάσανδρος. Wolf.

Ἅμα τῷ πνεύματι πυκνουμένῳ] Tametsi creber anhelitus urgeret, nihilominus tamen pronunciasse. Idem.

Προφερόμενον] Ita scribendum ex MS. vidit Du Soul. Ante προσφερόμενον. B.

Οὐδὲν πέπονθας] Vide consentientem duorum in eloquentia Principum auctoritatem. Quod Demosthenes dissimulanter, et tentaturus hominem, dixit, id M. Tullius in defensione Q. Gallii pro argumento posuit. *Tu istuc, M. Calidi, nisi fingeres, sic ageres?*—Cic. in Bruto. 80. Idem.

Τὸν τόνον καὶ τὴν ὑπόκρισιν] *Contentionem vocis, et actionem oratoriam.* Wolf.

Αἰσίωνα] Felicianus et Hervagius legunt, Ἀππίωνα. Idem.

Ἕρμιππος ἐρωτηθέντα περὶ τῶν πάλαι ῥητόρων καὶ τῶν καθ' αὑτὸν εἰπεῖν, "ὡς ἀκούων μὲν ἄν τις ἐθαύμασεν ἐκείνους εὐκόσμως καὶ μεγαλοπρεπῶς τῷ δήμῳ διαλεγομένους· ἀναγινωσκόμενοι δ' οἱ Δημοσθένους λόγοι πολὺ τῇ κατασκευῇ καὶ δυνάμει διαφέρουσιν." Οἱ μὲν οὖν γεγραμμένοι τῶν λόγων ὅτι τὸ αὐστηρὸν πολὺ καὶ πικρὸν ἔχουσι, τί ἂν λέγοι τις; ἐν δὲ ταῖς ἀπαντήσεσι ταῖς παρὰ τὸν καιρὸν ἐχρῆτο καὶ τῷ γελοίῳ. Δημάδου μὲν γὰρ εἰπόντος, "Ἐμὲ Δημοσθένης; ἡ ὗς τὴν Ἀθηνᾶν." "Αὕτη (εἶπεν) ἡ Ἀθηνᾶ πρώην ἐν Κολλυτῷ μοιχεύουσα ἐλήφθη." Πρὸς δὲ τὸν κλέπτην, ὃς ἐπεκαλεῖτο Χαλκοῦς, καὶ αὐτὸν εἰς τὰς ἀγρυπνίας αὐτοῦ καὶ νυκτογραφίας πειρώμενόν τι λέγειν, "Οἶδα (εἶπεν) ὅτι σε λυπῶ λύχνον καίων. ὑμεῖς δὲ, ὦ ἄνδρες Ἀθηναῖοι, μὴ θαυμάζετε τὰς γενομένας κλοπὰς, ὅταν τοὺς μὲν κλέπτας χαλκοῦς, τοὺς δὲ τοίχους πηλίνους ἔχωμεν." Ἀλλὰ περὶ μὲν τούτων καίπερ ἔτι πλείω λέγειν ἔχοντες ἐνταῦθα παυσόμεθα. Τὸν δ' ἄλλον αὐτοῦ τρόπον καὶ τὸ ἦθος ἀπὸ τῶν πράξεων καὶ τῆς πολιτείας θεωρεῖσθαι δίκαιόν ἐστιν.

ιβ'. Ὥρμησε μὲν οὖν ἐπὶ τὸ πράττειν τὰ κοινὰ, τοῦ

Ἀκούων—ἀναγινωσκόμενοι] Idem prorsus erat ipsius Demosthenis de se judicium. Rogatus enim, uter melior esset Orator, Ipsene, an Callistratus? dixit, Ἐγὼ μὲν γραφόμενος, Καλλίστρατος δὲ ἀκουόμενος. Schol. in Orat. κατὰ Τιμοκρ. p. 822. B.

Τῇ κατασκευῇ] Varinus κατασκευάζειν λέγεται ἐπὶ ποικίλως συνισταμένων. Sic Dionysius Halicarnasseus, θαυμαστὸν γὰρ δὴ καὶ μέγα τὸ τῆς Ἰσοκράτους κατασκευῆς ὕψος, ἡρωϊκῆς μᾶλλον ἢ ἀνθρωπίνης φύσεως οἰκεῖον. significat artificiosam orationis compositionem et structuram. Alias est ἡ κατασκευὴ, confirmatio, ἡ αἰτιολογία καὶ πίστωσις ∾. ἀνασκευὴ ὅθεν κατασκευάζειν καὶ ἀνασκευάζειν. WOLF.

Ὅτι τὸ αὐστηρὸν πολὺ] Hac de re vide Dionysium Longinum περὶ ὕψους. IDEM.

Καὶ πικρὸν] Malim καὶ τὸ πικρὸν, ut idem sit, ac si dixisset πολὺ τοῦ αὐστηροῦ καὶ τοῦ πικροῦ, *acerbitatis atque amaritudinis* (vel *fellis*) *multum*. REISK.

Τί ἂν λέγοι τις] Alii ita distinguunt. τι, ἂν λέγοι τις· B.

Ἐν δὲ ταῖς ἀπαντήσεσι ταῖς περὶ τὸν καιρὸν] Bebelius παρὰ τὸν καιρὸν, *in congressibus occasione data*, vel *cum obiter incidisset, utebatur etiam ridiculis.* ἀπαντήσεις etiam intelligi possunt responsiones, cum scommata scommatis pensantur. Pro παρὰ τὸν καιρὸν, fortasse legendum, κατὰ ἢ πρός. Lexica interpretantur παρὰ τὸν καιρὸν in *præsens*, εἰς τὸ παρόν. Potest etiam significare παρακαίρως. WOLF.

Ἐμὲ Δημοσθένης] Addidi notam Interrogationis, unde (nisi fallor) aliquanto majus est sententiæ acumen. B.

Ἐν Κωλλυτῷ] Loci nomen, i. δήμου Ἀττικοῦ, unde patrium nomen Κωλλυτεύς. WOLF.

Κόλλυτος] Vel prout alias scribitur Κολύττυς, Pagus Atticus. B.

Χαλκοῦς] Hoc dicterium prorsus non intelligo, insulsum et Demosthene indignum. Plutarchi quoque referentis desidero judicium. Qui sunt fures ænei? Æneos ego equidem fures haud metuo. Nihil illi quidem auferent, etiamsi parietes, non figlini, sed prorsus nulli sint. REISK.

Θεωρεῖσθαι δίκαιός ἐστι] Si præcederet, ὁ δὲ ἄλλος αὐτοῦ τρόπος, elegans esset Græcismus. Bebelius, τὸν δὲ ἄλλον αὐτοῦ τρόπον, δίκαιόν ἐστιν. tametsi etiam sic ferri potest: ὁ Δημοσθένους δίκαιός ἐστι θεωρεῖσθαι (κατὰ) τὸν ἄλλον τρόπον, &c. WOLF.

Φωκικοῦ πολέμου συνεστῶτος, ὡς αὐτός τε φησὶ, καὶ λαβεῖν ἐστὶν ἀπὸ τῶν Φιλιππικῶν δημηγοριῶν. Αἱ μὲν γὰρ ἤδη διαπεπραγμένων ἐκείνων γεγόνασιν, αἱ δὲ πρεσβύταται τῶν ἔγγιστα πραγμάτων ἅπτονται. Δῆλος δ' ἐστὶ καὶ τὴν κατὰ Μειδίου παρασκευασάμενος εἰπεῖν δίκην, δύο μὲν ἐπὶ τοῖς τριάκοντα γεγονὼς ἔτη, μηδέπω δ' ἔχων ἰσχὺν ἐν τῇ πολιτείᾳ μηδὲ δόξαν. Ὃ καὶ μάλιστά μοι δοκεῖ δείσας, ἐπ' ἀργυρίῳ καταθέσθαι τὴν πρὸς τὸν ἄνθρωπον ἔχθραν.

Οὐ γάρ [1]τι γλυκύθυμος ἀνὴρ ἦν, οὐδ' ἀγανόφρων,

ἀλλ' ἔντονος καὶ βίαιος περὶ τὰς ἀμύνας. Ὁρῶν δ' οὐ φαῦλον, οὐδὲ τῆς αὐτοῦ δυνάμεως ἔργον, ἄνδρα καὶ πλούτῳ καὶ λόγῳ καὶ φίλοις εὖ πεφραγμένον καθελεῖν, τὸν Μειδίαν, ἐνέδωκε τοῖς ὑπὲρ αὐτοῦ δεομένοις. Αἱ δὲ τρισχίλιαι καθ' ἑαυτὰς οὐκ ἂν μοι δοκοῦσι τὴν Δημοσθένους ἀμβλῦναι πικρίαν, ἐλπίζοντος καὶ δυναμένου περιγενέσθαι. Λαβὼν δὲ τῆς πολιτείας καλὴν ὑπόθεσιν, τὴν πρὸς Φίλιππον ὑπὲρ τῶν Ἑλλήνων δικαιολογίαν, καὶ πρὸς ταύτην ἀγωνι-

[1] τοι

ιβ.' Φωκικοῦ πολέμου] Cum Agrum Apollinis Delphici arassent Phocenses, damnati erant in concilio Amphictyonum violatæ religionis et mulcta iis imposita est. Hanc cum solvere non possent, decretum Amphictyonum, quod templi columnis inscriptum erat, delebant, sui juris esse curam fani et defensionem asserentes. Hæc erat ansa belli Phocensis, cujus initia ab Olymp. 106. 2. repetenda sunt, cum Demosthenes annum ageret septimum et vigesimum. Steterunt pro Phocensibus Athenienses et Lacedæmonii, contra eos Thebani, Thessali et Locri; deinde per decennium vario successu pugnatum est, usque dum Olymp. 108. 3. Philippus finem bello imponeret. B.

Ὡς αὐτός τε φησὶ] Τοῦ Φωκικοῦ συστάντος πολέμου· οὐ δι' ἐμὲ, οὐ γὰρ ἐπολιτευόμην πω τότε. Dem. περὶ στεφ. §. 7. Idem.

Διαπεπραγμένων ἐκείνων] Quidam reddunt, *deletis illis*, Phocensibus *sc.* sensu aliquanto meliore, si modo Phocenses ante nominati fuissent. Idem.

Ἐκείνων] *Illis*, Phocensibus puta, *jam oppressis et excisis.* Reisk.

Αἱ δὲ πρεσβύταται] *Vetustissimæ Philippicæ conciones attingunt res proximas*, scilicet, Phocensi bello. Wolf.

Τῶν ἔγγιστα πραγμάτων] Instanti Phocensium excidio. Reisk.

Παρασκευασάμενος εἰπεῖν] *Instituisse actionem, comparasse se ad accusandum Midiam.* Wolf.

Δύο μὲν ἐπὶ &c.] Ipse Demosthenes in oratione contra Midiam p. 564. ed. Reisk. δύο καὶ τριάκοντα ἔτη γέγονα. B.

Οὐ γὰρ] De Achille dictum. Il. Υ. 467. Idem.

Ἀνὴρ] Midiam designat. Reisk.

Αἱ δὲ τρισχίλιαι] Scilicet, δραχμαὶ, ἢ τριάκοντα μναῖ, 12,000. nummum, 12. sestertia, id est, 300. coronati. auctore Budæo, qui 35. solidos valeant. Wolf.

Αἱ δὲ τρισχίλιαι] Drachmæ sc. quarum una quævis valebat 7d. ¾. universæ circiter 96l. 3s. 4d. Centum drachmæ effecerunt minam, unde Æschines habet ἀπέδοτο τριάκοντα μνῶν ἅμα τε τὴν εἰς αὐτὸν ὕβριν, καὶ τὴν τοῦ δήμου καταχειροτονίαν. Contra Ctes. 20. B.

Λαβὼν δὲ πολιτείας] Lego, λαβὼν δέ. quæ particula præsertim cum apostropho δ' sæpe perperam omittitur. Wolf.

ζόμενος ἀξίως, ταχὺ δόξαν ἔσχε, καὶ περίβλεπτος ὑπὸ τῶν λόγων ἤρθη καὶ τῆς παῤῥησίας· ὥστε θαυμάζεσθαι μὲν ἐν τῇ Ἑλλάδι, θεραπεύεσθαι δ᾽ ὑπὸ τοῦ μεγάλου βασιλέως· πλεῖστον δ᾽ αὐτοῦ λόγον εἶναι παρὰ τῷ Φιλίππῳ τῶν δημαγωγούντων· ὁμολογεῖν δὲ καὶ τοὺς ἀπεχθανομένους, ὅτι πρὸς ἔνδοξον αὐτοῖς ἄνθρωπον ὁ ἀγών ἐστι. Καὶ γὰρ Αἰσχίνης καὶ Ὑπερίδης τοιαῦτα ὑπὲρ αὐτοῦ κατηγοροῦντες εἰρήκασιν.

ιγ΄. Ὅθεν οὐκ οἶδ᾽ ὅπως παρέστη Θεοπόμπῳ λέγειν αὐτὸν ἀβέβαιον τῷ τρόπῳ γεγονέναι, καὶ μήτε πράγμασι, μήτ᾽ ἀνθρώποις πολὺν χρόνον τοῖς αὐτοῖς ἐπιμένειν δυνάμενον. Φαίνεται γὰρ, εἰς ἣν ἀπ᾽ ἀρχῆς τῶν πραγμάτων μερίδα καὶ τάξιν αὐτὸν ἐν τῇ πολιτείᾳ κατέστησε, ταύτην ἄχρι τέλους διαφυλάξας, καὶ οὐ μόνον ἐν τῷ βίῳ μὴ [1] μεταϐαλλόμενος, ἀλλὰ καὶ τὸν βίον ἐν τῷ μὴ μεταβαλέσθαι προέμενος. Οὐ γὰρ, ὡς Δημάδης ἀπολογούμενος διὰ τὴν ἐν τῇ πολιτείᾳ μεταβολὴν ἔλεγεν, "αὐτῷ μὲν αὐτὸν τἀναντία πολλάκις εἰρηκέναι, τῇ δὲ πόλει μηδέποτε·" (καὶ Μελάνωπος ἀντιπολιτευόμενος Καλλιστράτῳ, καὶ πολλάκις ὑπ᾽ αὐτοῦ χρήμασι μετατιθέμενος, εἰώθει λέγειν πρὸς τὸν δῆμον, "Ὁ μὲν ἀνὴρ ἐχθρὸς, τὸ δὲ τῆς πόλεως νικάτω συμφέρον·" Νικόδημος δ᾽ ὁ Μεσσήνιος Κασάνδρῳ προστιθέμενος πρότερον, εἶτ᾽ αὖθις ὑπὲρ τοῦ Δημητρίου πολιτευόμενος, οὐκ ἔφη τἀναντία λέγειν· ἀεὶ γὰρ εἶναι συμφέρον ἀκροᾶσθαι τῶν κρατούντων·) οὕτω καὶ περὶ Δημοσθένους ἔχομεν εἰπεῖν, οἷον ἐκτρεπομένου

[1] * μεταϐαλόμενος

Πλεῖστον δὲ αὐτοῦ] Ut apud Philippum de nullo gubernatore Atheniensis Reip. toties verba fierent, nullus tanti momenti esse putaretur. Idem.

Ὑπὲρ αὐτοῦ κατηγοροῦντες] Cum eum accusarent, tamen de eo sunt honorifice locuti. Idem.

ιγ΄. Ὅπως παρέστη Θεοπόμπῳ] Hæc exstitisse videntur in historia quam scripsit Theopompus de rebus gestis Philippi. Fuit Theopompus Chius, Isocratis discipulus, scriptor illustris, sed Atheniensibus infensus, adeoque minus mirandum eum Demosthenis gloriam imminutum ivisse: præsertim cum a Luciano dicitur φιλαπεχθημόνως κατηγορῶν τῶν πλείστων, καὶ διατριϐὴν ποιούμενος τὸ πρᾶγμα, ὡς κατηγορεῖν μᾶλλον ἢ ἱστορεῖν τὰ πεπραγμένα. B.

Ἐν τῷ μὴ] MS. Bodl. habet ἐπὶ τῷ. Idem.

Διὰ] Posset etiam abesse. nam ἀπολογεῖσθαί τι est *crimen purgare*. Sed occupavit hoc jam Solanus. Reisk.

Μελάνωπος] De Melanopo vide Arist. Rhet. l. 1. c. 15. et Xenoph. Ἑλλ. l. 6. p. 590 C. B.

Ὑπ᾽ αὐτοῦ χρήμασι μετατιθέμενος] Ab eo pecuniis in suas partes traductus: ob largitionum corruptelam Callistrato assensus. Wolf.

Τἀναντία] Subandi ἑαυτῷ. Reisk.

καὶ πλαγιάζοντος ἢ φωνὴν ἢ πρᾶξιν, ἀλλ' ὥσπερ ἐφ' ἑνὸς καὶ ἀμεταβλήτου διαγράμματος τῆς πολιτείας ἕνα τόνον ἔχων ἐν τοῖς πράγμασιν ἀεὶ διετέλεσε. Παναίτιος δ' ὁ φιλόσοφος καὶ τῶν λόγων αὐτοῦ φησὶν οὕτω γεγράφθαι τοὺς πλείστους ὡς [1] μόνον τοῦ καλοῦ δι' αὐτὸ αἱρετοῦ ὄντος, τὸν περὶ τοῦ στεφάνου, τὸν κατὰ Ἀριστοκράτους, τὸν ὑπὲρ τῶν ἀτελειῶν, τοὺς Φιλιππικούς. ἐν οἷς πᾶσιν οὐ πρὸς τὸ ἥδιστον ἢ ῥᾶστον ἢ λυσιτελέστατον ἄγει τοὺς πολίτας, ἀλλὰ πολλαχοῦ τὴν ἀσφάλειαν καὶ τὴν σωτηρίαν οἴεται δεῖν ἐν δευτέρᾳ τάξει τοῦ καλοῦ ποιεῖσθαι καὶ τοῦ πρέποντος. Ὡς, εἴγε τῇ περὶ τὰς ὑποθέσεις αὐτοῦ φιλοτιμίᾳ καὶ τῇ τῶν λόγων εὐγενείᾳ παρῆν ἀνδρεία τε πολεμιστήριος, καὶ τὸ καθαρῶς ἕκαστα πράττειν, οὐκ ἐν τῷ κατὰ [2] Μυροκλέα καὶ Πολύευκτον καὶ Ὑπερίδην ἀριθμῷ τῶν ῥητόρων, ἀλλ' ἄνω μετὰ Κίμωνος καὶ Θουκυδίδου καὶ Περικλέους ἄξιος ἦν τίθεσθαι.

ιδʹ. Τῶν γοῦν [3] καθ' αὐτὸν ὁ Φωκίων, οὐκ ἐπαινουμένης προϊστάμενος πολιτείας, ἀλλὰ δοκῶν μακεδονίζειν, ὅμως

[1] μόνου [2] Μοιροκλέα [3] μετ' αὐτὸν

Διαγράμματος] Sumptum a Geometris vocabulum, quorum demonstrationes γραμμικαὶ firmissimæ sunt. Wolf.

Ἐφ' ἑνὸς διαγράμματος] Metaphora est a musicis petita. Usurpat iterum noster, *de adul. et amici discrimine* p. 45. ὁ δὲ κόλαξ ἀφ' ἑνὸς διαγράμματος ἀεὶ τὸ ἡδὺ καὶ τὸ πρὸς χάριν εἰωθὼς ὑποκρέκειν. Du Soul.

Ἕνα τόνον ἔχων] Caudide quidem hæc, ut cætera, et cum judicio Plutarchus. Sed potest in excusationem Theopompi afferri, quod Demosthenes ab æqualibus etiam suis nomine mutabilitatis male audierit. Ita enim Dinarchus in Demosth. Τιμόθεος διαμείνας ἐπὶ τῆς πολιτείας, καὶ οὐκ ἄνω καὶ κάτω μεταβαλλόμενος, ὥσπερ σὺ, ἐτελεύτησεν. Vide Æsch. περὶ παραπ. c. 17. B.

Παναίτιος—φησὶ] Videntur hæc exstitisse in libris Panætii περὶ τῶν καθηκόντων, quorum fundamentum erat illa ῥῆσις, Solum honestum propter se expetendum esse. Vid. M. Tull. de Off. Panætius, patria Rhodius, erat Philosophus Stoicus, Scipionis et Lælii familiaris. Floruit A. U. C. 625. Idem.

Μόνον] Scribe μόνου cum Edit. Florentina et Codd. MSS. Bryan.

Εἴγε τῇ] Deest τῇ in vulgatis, sed exstat in duobus Codd. MSS. quod animadvertit etiam Bryanus. B.

Παρῆν ἀνδρία] M. προσῆν ἀνδρεία. Wolf.

Τὸ καθαρῶς ἕκαστα πράττειν] Id est, integritas et abstinentia in gerenda Repub. id est, nisi corruptus largitionibus quædam egisset. Idem.

Μυροκλέα] Μυροκλῆς, sive Μοιροκλῆς, sive Μεροκλῆς, Orator, et idem fenerator avarus. Pecunias a metalli redemptoribus injuria extorsit, et eo nomine reus erat, accusante Eubulo, Æschinis amico. Lycurgi liberos in carcerem conjecit. Arist. Rhet. l. 3. c. 10. Demosth. περὶ παραπρ. cap. 82. et Epist. 3. B.

Ἀλλ' ἄνω μετὰ Κίμωνος] In altiore gradu dignitatis collocari, vel, cum superioris ætatis oratoribus, &c. comparari potuisset. Wolf.

ιδʹ. Τῶν γοῦν μετ' αὐτὸν, Φωκίων] *Ex iis certe qui eum secuti sunt.* Malim κατ' αὐτόν. *Ex iis certe qui eadem ætate vixerunt.* σύγχρονος γὰρ Δημοσθένει Φωκίων, καὶ ἀντιπολιτευσάμενος. Idem.

Καθ' αὐτὸν] Al. μετ' αὐτὸν, minus proprie de Phocione, quanquam Demostheni superstes vixerit; adeoque vidit Wolfius emendandum esse, ut in proxima pagina l. 9. B.

δι' ἀνδρείαν καὶ δικαιοσύνην οὐδὲν οὐδαμοῦ χείρων ἔδοξε [1]τοῦ Ἐφιάλτου καὶ Ἀριστείδου καὶ Κίμωνος ἀνὴρ γενέσθαι. Δημοσθένης δ' οὐκ ὢν ἐν τοῖς ὅπλοις ἀξιόπιστος, ὥς φησιν ὁ Δημήτριος, οὐδὲ πρὸς τὸ λαμβάνειν παντάπασιν ἀπωχυρωμένος, ἀλλὰ τῷ μὲν παρὰ Φιλίππου καὶ Μακεδονίας ἀνάλωτος ὢν, τῷ δ' ἄνωθεν ἐκ Σούσων καὶ Ἐκβατάνων ἐπιβατὸς χρυσίῳ γεγονὼς καὶ κατακεκλυσμένος, ἐπαινέσαι μὲν ἱκανώτατος ἦν τὰ τῶν προγόνων καλὰ, μιμήσασθαι δὲ οὐχ [2] ὅμοιος. Ἐπεὶ τούς γε καθ' αὐτὸν ῥήτορας (ἔξω δὲ λόγου τίθεμαι Φωκίωνα) καὶ τῷ βίῳ παρῆλθε. φαίνεται δὲ καὶ μετὰ παῤῥησίας μάλιστα τῷ δήμῳ διαλεγόμενος, καὶ πρὸς τὰς ἐπιθυμίας τῶν πολλῶν ἀντιτείνων, καὶ τοῖς ἁμαρτήμασιν αὐτῶν ἐπιφυόμενος, ὡς ἐκ τῶν λόγων λαβεῖν ἐστίν. Ἱστορεῖ δὲ καὶ Θεόπομπος ὅτι, τῶν Ἀθηναίων ἐπί τινα [3]προβαλλομένων αὐτὸν κατηγορίαν, ὡς οὐχ ὑπήκουε θορυβούντων, ἀναστὰς εἶπεν, "Ὑμεῖς ἐμοὶ, ὦ ἄνδρες Ἀθηναῖοι, συμβούλῳ μὲν, κἂν μὴ θέλητε, χρήσεσθε· συκοφάντῃ δὲ, οὐδὲ ἐὰν θέλητε." Σφόδρα δ' ἀριστοκρατικὸν αὐτοῦ πολίτευμα καὶ τὸ περὶ Ἀντιφῶντος· ὃν ὑπὸ τῆς ἐκκλησίας ἀφεθέντα συλλαβὼν, ἐπὶ τὴν ἐξ Ἀρείου πάγου βουλὴν παρήγαγε, καὶ παρ' οὐδὲν τὸ προσκροῦσαι τῷ δήμῳ θέμενος, ἤλεγξεν ὑπεσχημέ-

[1] Deest articulus. [2] * ὁμοίως [3] * προβαλομένων

Διὰ — δικαιοσύνην] Vide Plut. in vita Phocionis, aut, qui omnium instar est, amicum ejus et æqualem Æschinem περὶ παραπρ. c. 59. παρακαλῶ — συνήγορον — Φωκίωνα ἐκ τῶν στρατηγῶν, ἅμα δὲ καὶ δικαιοσύνῃ διενηνοχότα πάντων. Idem.

Ἐφιάλτου] Ephialtes, Sophonidæ filius, Periclis amicus summus erat et adjutor contra optimates. Præcipue Areopagi potentiam fregit, et, frustra obnitente Cimone, graviorum criminum judicia ab iis abstulit. Idomeneus tradidit eum a Pericle, qui gloriæ ejus invideret, dolo interemptum, sed Aristoteles clam sublatum a factione Aristocratica. Plutarch. in Pericl. p. 155. et 157. et Cimon. p. 485. De abstinentia ejus, insigne est, quod narrat Ælianus, Eum, cum in summa rerum omnium inopia viveret, decem talenta ab amicis oblata recusasse. "Aut enim" dixit, "adducar, ut aliquid vobis præter jus fasque concedam, aut si non adducar, ingratus videbor." Var. Hist. l. 11. c. 9. Idem.

Πρὸς τὸ λαμβάνειν ἀπωχυρωμένος] *Munitus, vallo et aggeribus septus, inexpugnabilis largitionibus,* ἀνάλωτος. Wolf.

Ὡς οὐχ] Deesse videtur καὶ ante has voces. Du Soul.

Σφόδρα δ' ἀριστοκρατικὸν αὐτοῦ τὸ πολίτευμα] Τὸ ἀριστοκρατικὸν opponitur τῷ δημοτικῷ, non obsecutus est vulgi cupiditati. Wolf.

Περὶ Ἀντιφῶντος] Τίς ὑμῶν οὐκ οἶδε τὸν ἀποψηφισθέντα Ἀντιφῶντα, ὃς ἐπαγγειλάμενος Φιλίππῳ τὰ νεώρια ἐμπρήσειν τὰ ὑμέτερα εἰς τὴν πόλιν ἦλθεν; ὃν λαβόντος ἐμοῦ κεκρυμμένον ἐν Πειραιεῖ καὶ καταστήσαντος εἰς τὴν ἐκκλησίαν, βοῶν ὁ βάσκανος οὗτος (Æschines) καὶ κεκραγὼς,—ἄνευ ψηφίσματος ἀφεθῆναι ἐποίησε. Καὶ εἰ μὴ ἡ βουλὴ ἡ ἐξ Ἀρείου πάγου τὸ πρᾶγμα αἰσθομένη, καὶ τὴν ὑμετέραν ἄγνοιαν ἐν οὐ δέοντι συμβεβηκυῖαν ἰδοῦσα, ἐπεζήτησε τὸν ἄνθρωπον καὶ συλλαβοῦσα ἐπανήγαγεν ὡς ὑμᾶς, ἐξήρπαστ' ἂν ὁ τοιοῦτος, καὶ τὸ δίκην δοῦναι διαδὺς ἐξεπέμπετ' ἂν

νον Φιλίππῳ τὰ νεώρια ἐμπρήσειν· καὶ παραδοθεὶς ὁ ἄνθρωπος ὑπὸ τῆς βουλῆς ἀπέθανε. Κατηγόρησε δὲ καὶ τῆς ἱερείας Θεωρίδος, ὡς ἄλλα τε ῥᾳδιουργούσης πολλὰ, καὶ τοὺς δούλους ἐξαπατᾷν διδασκούσης· καὶ θανάτου τιμησάμενος ἀπέκτεινε.

ιέ. Λέγεται δὲ καὶ τὸν κατὰ Τιμοθέου τοῦ στρατηγοῦ λόγον, ᾧ χρησάμενος Ἀπολλόδωρος εἷλε τὸν ἄνδρα τοῦ ὀφλήματος, Δημοσθένης γράψαι τῷ Ἀπολλοδώρῳ, καθάπερ καὶ τοὺς πρὸς Φορμίωνα καὶ Στέφανον, ἐφ᾽ οἷς εἰκότως ἠδόξησε· Καὶ γὰρ Φορμίων ἠγωνίζετο λόγῳ Δημοσθένους πρὸς τὸν Ἀπολλόδωρον, ἀτεχνῶς, καθάπερ ἐξ ἑνὸς μαχαιροπωλίου, τὰ κατ᾽ ἀλλήλων ἐγχειρίδια πωλοῦντος αὐτοῦ τοῖς ἀντιδίκοις. Τῶν δὲ δημοσίων, ὁ μὲν κατ᾽ Ἀνδροτίωνος καὶ Τιμοκράτους καὶ Ἀριστοκράτους, ἑτέροις ἐγράφησαν, οὔπω τῇ πολιτείᾳ προσεληλυθότος. Δοκεῖ γὰρ δυοῖν ἢ τριῶν δέοντα ἔτη τριάκοντα γεγονὼς ἐξενεγκεῖν τοὺς λόγους ἐκείνους. Τὸν δὲ κατὰ Ἀριστογείτονος αὐτὸς ἠγωνίσατο, καὶ τὸν περὶ τῶν ἀτελειῶν, διὰ τὸν Χαβρίου παῖδα Κτήσιππον, ὥς φησιν αὐτός· ὡς δ᾽ ἔνιοι λέγουσι,

ὑπὸ τοῦ σεμνολόγου τουτουί· νῦν δ᾽ ὑμεῖς στρεβλώσαντες αὐτὸν ἀπεκτείνατε. Demosth. περὶ στεφ. c. 42. B.

Παραδοθεὶς] Suspecta mihi Vox. Sed quam pro ea reponam, non succurrit. Du Soul. At pace viri docti vox est propria, neque loco moveri debet. Ejus si quærat explicationem, legat ista apud Nepot. in vita Phocionis. *Judicio—damnatus,* TRADITUS est *undecim viris, quibus ad supplicium, more Atheniensium, publice damnati* TRADI *solent.* 1. 26. Idem.

Παραδοθεὶς] Scil. τοῖς ἕνδεκα. Reisk.

Ὡς ἄλλά τε] Reposui τε, quod ab omnibus editionibus abest, e MS. Bodl. vide infra p. 84. 15. et 130. 12. [in vit. Cicer.] ubi eadem dicendi forma occurrit. B.

Ἀπέκτεινε] Dicitur de accusatore qui victor est in actione capitali. Vide Jul. Pollucis Onomasticon l. 8. 437. et 439. Idem.

ιέ. Καὶ γὰρ Φορμίων] Unde hæc hauserit Plutarchus, nescio; certe, quæ apud Æschinem de hac re exstant, non minoris infamiæ sunt, sed aliquantum diversæ. Τὸν ἐκ φύσεως προδότην πῶς χρὴ θεωρεῖν; ἆρά γε οὐχ (ὡς σὺ τοῖς ἐντυγχάνουσι καὶ πιστεύσασι κέχρησαι) λόγους εἰς δικαστήρια γράφοντα μισθοῦ, τούτους ἐκφέρειν τοῖς ἀντιδίκοις; ἔγραψας λόγον Φορμίωνι τῷ τραπεζίτῃ χρήματα λαβών· τοῦτον ἐξήνεγκας Ἀπολλοδώρῳ τῷ περὶ τοῦ σώματος κρίνοντι Φορμίωνα. Æsch. περὶ παραπ. 52. Et ἐκ τριηράρχου λογογράφος ἀνεφάνη, τὰ πατρῷα καταγελάστως προέμενος· ἄπιστος δὲ καὶ περὶ ταῦτα δόξας εἶναι, καὶ τοὺς λόγους ἐκφέρων τοῖς ἀντιδίκοις ἀνεπήδησεν ἐπὶ τὸ βῆμα. Æsch. κατὰ Κτησ. 57. Idem.

Καθάπερ ἐξ ἑνὸς] Similitudo venusta per se et concinna elegantiam insignem a persona mutuatur; Vide p. ccxxxviii. v. 2. Idem.

Δοκεῖ γὰρ δυοῖν] *Illud* (inquit Gellius) *ab utriusque oratoris studiosis animadversum et scriptum est; quod Demosthenes et Cicero pari ætate illustrissimas orationes in causis dixerunt, alter* κατὰ Ἀνδροτίωνος καὶ κατὰ Τιμοκράτους *septem et viginti annos natus, alter anno minor pro P. Quinctio septimoque et vicesimo pro Sext. Roscio.* Noct. Att. l. 15. c. 28. Idem.

Ἐξενεγκεῖν τοὺς λόγους ἐκείνους] *Orationes illas edidisse,* scilicet, contra Androtionem. Wolf.

Κτήσιππον] De Ctesippo, quam fatuus, et importunus, quam prodigus perditæque mentis fuerat, vide Plutarch. in Phocion. et Athen. Deipn. lib. 4. c. 18. B.

Ὥς φησιν αὐτὸς] Μάλιστα μὲν εἵνεκα

τὴν μητέρα τοῦ νεανίσκου μνώμενος. Οὐ μὴν ἔγημε ταύτην, ἀλλὰ Σαμίᾳ τινὶ συνῴκησεν, ὡς ἱστορεῖ Δημήτριος ὁ Μάγνης ἐν τοῖς περὶ συνωνύμων. Ὁ δὲ κατ' Αἰσχίνου τῆς παραπρεσβείας ἄδηλον εἰ λέλεκται· καίτοι φησὶν Ἰδομενεὺς παρὰ τριάκοντα μόνας τὸν Αἰσχίνην ἀποφυγεῖν. Ἀλλ' οὐκ ἔοικεν οὕτως ἔχειν τἀληθὲς, εἰ δεῖ τοῖς περὶ στεφάνου γεγραμμένοις ἑκατέρων λόγοις τεκμαίρεσθαι. Μέμνηται γὰρ οὐδέτερος αὐτῶν ἐναργῶς οὐδὲ τρανῶς ἐκείνου τοῦ ἀγῶνος, ὡς ἄχρι δίκης προελθόντος. Ταυτὶ μὲν οὖν ἕτεροι διακρινοῦσι μᾶλλον.

ιϛ'. Ἡ δὲ τοῦ Δημοσθένους πολιτεία φανερὰ μὲν ἦν ἔτι καὶ τῆς εἰρήνης ὑπαρχούσης, οὐδὲν ἐῶντος ἀνεπιτίμητον τῶν πραττομένων ὑπὸ τοῦ Μακεδόνος, ἀλλ' ἐφ' ἑκάστῳ ταράττοντος τοὺς Ἀθηναίους, καὶ διακαίοντος ἐπὶ τὸν ἄνθρωπον. Διὸ καὶ παρὰ [1] Φιλίππου πλεῖστος ἦν λόγος αὐτοῦ, καὶ ὅτε πρεσβεύων δέκατος ἧκεν εἰς Μακεδονίαν,

[1] Φιλίππῳ

τοῦ νομίζειν συμφέρειν τῇ πόλει λελῦσθαι τὸν νόμον, εἶτα καὶ τοῦ παιδὸς εἵνεκα τοῦ Χαβρίου, ὡμολόγησα τούτοις, ὡς ἂν οἷός τε ὦ, συνερεῖν. Demosth. πρὸς Λεπτίνην. IDEM.

Οὐ μὴν ἔγημε ταύτην] Suidas contra affirmat. Αἰτησάμενος δὲ Χαβρίου στρατηγοῦ γυναῖκα, Χαβρίου τελευτήσαντος, Κτησίππου θυγατέρα (forte μητέρα) ἔγημεν. Suid. in voce Δημοσθ. IDEM.

Δημήτριος ὁ Μάγνης] Historicus, quem Dion. Hal. appellat πολυΐστορα, ætate Ciceronis floruit. Liber περὶ συνωνύμων erat de iis scriptoribus, qui eodem nomine appellarentur, quod constat ex eodem Dionysio in vita Dinarchi. IDEM.

Ἄδηλον εἰ λέλεκται] Eandem aliorum suspicionem memorat Auctor Vit. 10. Rhet. Εἰσὶ δὲ οἵ φασι συγγράψαι μὲν τοὺς ῥήτορας τοὺς λόγους· (παραπρεσβείας sc.) ἐμποδὼν δὲ γενομένων τῶν περὶ Χαιρώνειαν, μηκέτι τὴν δίκην εἰσελθεῖν. Sed ipse quoque Idomeneum sequitur, et alii multi (Scholiastes in argumento orationis, Philostratus et Photius in vita Æschinis, et auctor incertus apud Demosthen. Ed. Franc. p. 40.) liquido affirmant, Æschinem absolutum fuisse. Photii verba sunt, κατηγορηθεὶς παραπρεσβείας ὑπὸ Δημοσθένους οὐχ ἑάλω· ἅτε δὴ Εὐβούλου τοῦ δημαγωγοῦ, ᾧ ὑπηρέτησε, συναγωνισαμένου αὐτῷ κατὰ Δημοσθένους, ἐν τῷ παρασκευάσαι τοὺς δικαστὰς ἀναστῆναι ἔτι τοῦ Δημοσθένους λέγοντος. Phot. Biblioth. 61. Quid quod ipse Æschines in epistola ad populum Atheniensem dilucide ejus judicii meminit? ἐφάνη δ' ἴσως, ἐφ' οἷς κατηγορήθην πρότερον ὑπὸ Δημοσθένους, (πολὺ μείζοσι δηλονότι τούτων οὖσι, δι' ἃ νῦν ἐξέπεσον) οὐ μικρὸν εἰς ὑμᾶς δεῖγμα τοῦτο τοῦ καλῶς ἐμὲ πολιτεύεσθαι, ὅτι οὐδὲ Δημοσθένους κατηγοροῦντος ἑάλων. Æsch. Ep. 12. IDEM.

Παρὰ τριάκοντα μόνας] Sic lege pro περὶ τριάκοντα μῆνας. *Triginta solum suffragiis absolutum.* Quando plures judices damnabant, vincebatur reus: vincebat cum plures absolvebant, aut urnæ adæquabant, id est, cum paria erant suffragia. Propensiores enim erant ad clementiam quam ad sævitiam. Si igitur quingenti sint judices, et 220. [235.] damnent Æschinem, 280. [265.] absolvant: tum dicitur Æschines παρὰ τριάκοντα ἀποφυγεῖν, cum triginta plures sint qui absolverint, quam qui damnarint. παρὰ hic causam significat, non exceptionem. WOLF.

ιϛ'. Διακαίοντος] Sic legendum. Nam διαχέοντος, *diffundente et exhilarante*, prorsus alienum est huic sententiæ. imo contrarium. IDEM.

Φιλίππου] Melius in duobus Codd. MSS. Φιλίππῳ. DU SOUL.

Ὅτε πρεσβεύων δέκατος] Circiter Olymp. 108. 2. Athenienses ex decreto Philocratis decem legatos in Macedoniam miserunt, Ctesiphontem, Aristodemum hi-

ἤκουσε μὲν πάντων Φίλιππος, ἀντεῖπε δὲ μετὰ πλείστης ἐπιμελείας πρὸς τὸν ἐκείνου λόγον. Οὐ μὴν ἔν γε ταῖς ἄλλαις τιμαῖς καὶ φιλοφροσύναις ὅμοιον αὐτὸν τῷ Δημοσθένει παρεῖχεν, ἀλλὰ προσήγετο τοὺς περὶ Αἰσχίνην καὶ Φιλοκράτην μᾶλλον. Ὅθεν ἐπαινούντων ἐκείνων τὸν Φίλιππον ὡς καὶ λέγειν δυνατώτατον, καὶ κάλλιστον ὀφθῆναι, καὶ νὴ Δία συμπιεῖν ἱκανώτατον, ἠναγκάζετο βασκαίνων ἐπισκώπτειν, "ὡς τὸ μὲν σοφιστοῦ, τὸ δὲ γυναικὸς, τὸ δὲ σπογγιᾶς εἴη, βασιλέως δ' οὐδὲν ἐγκώμιον."

ιζ'. Ἐπεὶ δ' εἰς τὸ πολεμεῖν ἔῤῥεπε τὰ πράγματα, τοῦ μὲν Φιλίππου μὴ δυναμένου τὴν ἡσυχίαν ἄγειν, τῶν δ' Ἀθηναίων ἐγειρομένων ὑπὸ τοῦ Δημοσθένους, πρῶτον μὲν εἰς Εὔβοιαν ἐξώρμησε τοὺς Ἀθηναίους καταδεδουλωμένην

strionem, Iatroclem, Cimonem, Nausiclem, Dercyllum, Phrynonem, Philocratem, Æschinem, Demosthenem, qui certo exploraturi erant, an pacem vellet Philippus. Eosdem iterum miserunt ad exigendum a Philippo jusjurandum. Æsch. περὶ παραπρ. c. 9. Anon. Argum. in Demosth. περὶ παραπρ. B.

Ἤκουσε — λόγον] Plutarchus memoria lapsus ea tribuit Demostheni, quæ revera erant Æschinis. Sibi certe Æschines arrogat, Demostheni denegat. Ὁ Φίλιππος πλείστην εἰκότως ἐποιήσατο διατριβὴν πρὸς τοὺς ἐμοὺς λόγους· ἴσως γὰρ οὐδὲν τῶν ἐνόντων εἰπεῖν, ὥς γε οἶμαι, παρέλιπον. καὶ πολλάκις μοῦ τοὔνομα ἐν τοῖς λόγοις ὠνόμαζε· πρὸς δὲ Δημοσθένη, τὸν οὕτω καταγελάστως ἀπαλλάξαντα, οὐδ' ὑπὲρ ἑνὸς, οἶμαι, διελέχθη. τοῦτο δὲ ἄρα ἦν ἀγχόνη καὶ λύπη τούτῳ. Æsch. περὶ παραπ. c. 16. vide etiam Ælian. Var. Hist. 8. 12. Idem.

Ἠναγκάζετο — ἐγκώμιον] Male intellexit, aut certe negligenter citavit locum Æschinis, unde hæc hausit, Plutarchus. Verba enim, quæ refert, Demosthenis, non ad invidiam Philippi, neque studio maledicendi protulit Orator, sed ut iis, quæ prius in eum contumeliose dixerat, ἐπανορθώσει quadam mederetur. Legatis enim, statim a prima legatione, apud populum renuntiantibus, dixit Ctesiphon Philippum esse hominem forma insigni et compotorem optimum. Adjecit Æschines eum eloquentia et memoria valere. Demosthenes his (sec. Æschinem) verbis utrumque negavit. ἐδόκει μνημονικὸς καὶ δεινὸς εἶναι λέγειν Αἰσχίνῃ Φίλιππος; ἀλλ' οὐκ ἐμοί. — ἐδόκει Κτησιφῶντι τὴν ὄψιν λαμπρὸς εἶναι; ἐμοὶ δ' οὐ χείρων Ἀριστόδημος ὁ ὑποκριτὴς — μνημονικόν τις αὐτόν φησιν εἶναι; καὶ γὰρ ἕτεροι. συμπιεῖν δεινὸς ἦν; ἀλλὰ Φιλοκράτης — δεινότερος. Æsch. περὶ παραπ. c. 21. Hæc apud Athenienses in concione. Iterum vero legatus coram Philippo verba faciens, tum demum sua in Regum officia commemoravit, et summo studio se de istis verbis purgare conatus est; "nihil enim se Philippo iniquum esse, qui istas ei laudes non tribueret, quas habiturus esset cum femina, spongiâ et sophista communes." οὐκ εἶπον, ὡς καλὸς εἶ· γυνὴ γὰρ τῶν ὄντων ἐστὶ κάλλιστον· οὐδ' ὡς δεινὸς συμπιεῖν, σπογγιᾶς τὸν ἔπαινον ὑπολαμβάνων τοῦτον εἶναι· οὐδ' ὡς μνημονικὸς, σοφιστοῦ τὰ τοιαῦτα νομίζων ἐργολαβοῦντος ἐγκώμια εἶναι. Apud eundem Æsch. περὶ παραπ. c. 34. Idem.

Βασιλέως δ' οὐδὲν ἐγκώμιον] Aut οὐδενὸς malim, *regis nullius prædicationem*, aut βασιλέων (in gen. plur.) δ' οὐδενὸς, *regum nullius prædicationem*, aut denique βασιλέως δ' οὐδὲν τούτων ἐγκώμιον, *nihil horum esse encomium regis.* Reisk.

ιζ'. Πρῶτον μὲν εἰς Εὔβοιαν] Hæc acciderunt Olymp. 109. 4. duce Phocione, qui Clitarchum, Eretriæ tyrannum a Philippo impositum (ut constat e Phil. 3. §. ιδ'.) magna cum clade, ad Tamynas commisso prælio, superavit; qua quidem in pugna Æschines orator insignem laudem meruit. Plut. in Phocione. Æsch. π. παραπ. 53. Hæc e Demosthenis consiliis fluxisse ipse testis est, εἶτα τὴν ἐπ' Ὠρεὸν ἔξοδον, (ἔγραψα) καὶ τὴν εἰς Ἐρετρίαν, ἐπειδὴ τυράννους ἐκεῖνος ἐν ταύταις ταῖς πόλεσι κατέστησε. Dem. περὶ στεφ. 24. Vide etiam Diodor. lib. 16. B.

Ἐξώρμησε] Lego, ἐξώρμισε, ab ἐξορμίζω, quod διαβατικὸν est. nam ἐξορμάω neu-

ὑπὸ τῶν τυράννων Φιλίππῳ, καὶ διαβάντες, ἐκείνου τὸ ψήφισμα γράψαντος, ἐξήλασαν τοὺς Μακεδόνας. Δεύτερον δὲ Βυζαντίοις ἐβοήθησε καὶ Περινθίοις ὑπὸ τοῦ Μακεδόνος πολεμουμένοις· πείσας τὸν δῆμον, ἀφέντα τὴν ἔχθραν, καὶ τὸ μεμνῆσθαι τῶν περὶ τὸν συμμαχικὸν ἡμαρτημένων ἑκατέροις πόλεμον, ἀποστεῖλαι δύναμιν αὐτοῖς, ὑφ' ἧς ἐσώθησαν. Ἔπειτα πρεσβεύων καὶ διαλεγόμενος τοῖς Ἕλλησι, καὶ παροξύνων, συνέστησε, πλὴν ὀλίγων, ἅπαντας ἐπὶ τὸν Φίλιππον· ὥστε σύνταξιν γενέσθαι πεζῶν μὲν μυρίων καὶ πεντακισχιλίων, ἱππέων δὲ δισχιλίων, ἄνευ τῶν πολιτικῶν δυνάμεων· χρήματα δὲ καὶ μισθοὺς τοῖς ξένοις εἰσφέρεσθαι προθύμως. Ὅτε καί φησι Θεόφραστος, ἀξιούντων τῶν συμμάχων ὁρισθῆναι τὰς εἰσφορὰς, εἰπεῖν Κρώβυλον τὸν δημαγωγὸν, "ὡς οὐ τετα-

trum. etsi me non fallit Moschopulum annotasse, ὁρμῶ ἐγὼ, ἐξορμῶ δὲ ἕτερον, ἤγουν παρακινῶ. Wolf.

Ἐκείνου τὸ ψήφισμα γράψαντος] *Ex eo senatusconsulto quod Demosthene referente factum erat.* Idem.

Βυζαντίοις καὶ Περινθίοις] Perinthus, urbs munitissima in littore Propontico, quam Philippus non intermissa obsidione oppugnavit, et incolæ summa cum obstinatione defenderunt, (Olymp. 109. 4.) usque dum illis a Byzantio subsidia mitterentur. Quibus irritatus, diviso exercitu simul Byzantium et Perinthum obsidebat. Et Perinthum quidem Persæ liberarunt, quibus jam suspectus esse cœpit Philippus; nam Chares ab Atheniensibus missus nihil profecerat. Phocion vero ad Byzantii salutem delectus Philippum prorsus ab Hellesponto expulit. Vide Plut. in Phocione 748. Diodor. lib. 16. et Dem. περὶ στεφ. c. 24. 27. B.

Συμμαχικὸν πόλεμον] Anno Olymp. 105. 3. defecit ab Atheniensibus Byzantium cum universo fere Hellesponto, et Insulæ, Chios, Cos et Rhodus, conspiratione facta se in libertatem armis vindicabant. Hoc bello, quod ultra tres annos duravit, Chabrias interfectus est, et Timotheus atque Iphicrates, male re gesta, capitis causam dixerunt. Diodor. l. 16. Nepos in Timotheo, 74. Idem.

Ἡμαρτημένων] Quæ bello sociali peccata seu commissa fuerant. de quo vide argumentum orationis Isocratis περὶ εἰρήνης. Wolf.

Ἑκατέροις] Tam Byzantiis, quam Perinthiis. Reisk.

Πεζῶν — δυνάμεων] Verba sunt Demosthenis. περὶ στεφ. c. 69. B.

Ἄνευ τῶν πολιτικῶν δυνάμεων] His opponuntur αἱ ξενικαί. 15000. peditum, 2000. equitum. Numerus vero τῶν πολιτικῶν δυνάμεων non exprimitur. Diodorus Philippum habuisse scribit pedites 32000. equites amplius 2000. et copiis atque peritia rei militaris vicisse Græcos. Unde apparet, τὰς πολιτικὰς δυνάμεις, non fuisse maximas. Wolf.

Εἰπεῖν Κρώβυλον] *Dixisse Crobylum populi gubernatorem, principem in Repub. virum.* Hoc cognomentum fuisse Hegesippi, cui Libanius orationem περὶ τῆς Ἀλονήσου attribuit, notavit Harpocration. Diogenes Laertius Crobyli cujusdam Sycophantæ meminit, qui Chabriam accusarit, et Platoni aconitum Socratis sit minatus. Idem.

Κρώβυλον] Crobylus (qui fere Hegesippus vocatur, Vid. Harpocrat. et Suid.) in Rep. gerenda socius erat et adjutor Demosthenis. 3. Philippic. §. ιέ. Is societatem Atheniensium cum Phocensibus sanxit. Æsch. κατὰ Κτησ. c. 38. et, Philippo pacem petente, primus, ne fieret, obstitit. Schol. in Demosth. περὶ παραπ. c. 25. Ita Philippo invisus erat, ut Rex Xenoclidem Poetam in exilium egerit, quod Hegesippum convivio accepisset. Demosth. περὶ παραπ. c. 92. et Schol. Huic veteres tribuebant orationem de Haloneso et alteram de fœdere Alexandreo. B.

Ὡς οὐ τεταγμένα σιτεῖται ὁ πόλεμος] *Bellum demenso non pasci.* Metaphora sumpta a servis. similem fere sententiam Thucydides habet, ἥκιστα ὁ πόλεμος

γμένα σιτεῖται πόλεμος." Ἐπηρμένης δὲ τῆς Ἑλλάδος πρὸς τὸ μέλλον, καὶ συνισταμένων κατ' ἔθνη καὶ πόλεις Εὐβοέων, Ἀχαιῶν, Κορινθίων, Μεγαρέων, Λευκαδίων, Κερκυραίων, ὁ μέγιστος ὑπελείπετο τῷ Δημοσθένει τῶν ἀγώνων, Θηβαίους προσαγαγέσθαι τῇ συμμαχίᾳ, χώραν τε σύνορον τῆς Ἀττικῆς καὶ δύναμιν ἐναγώνιον ἔχοντας, καὶ μάλιστα τότε τῶν Ἑλλήνων εὐδοκιμοῦντας ἐν τοῖς ὅπλοις. Ἦν δ' οὐ ῥᾴδιον, ἐπὶ προσφάτοις εὐεργετήμασι τοῖς περὶ τὸν Φωκικὸν πόλεμον τετιθασσευμένους ὑπὸ τοῦ Φιλίππου μεταστῆσαι τοὺς Θηβαίους, καὶ μάλιστα ταῖς διὰ τὴν γειτνίασιν ἀψιμαχίαις ἀναξαινομένων ἑκάστοτε τῶν πολεμικῶν πρὸς ἀλλήλας διαφορῶν ταῖς πόλεσιν.

ιή. Οὐ μὴν ἀλλ' ἐπεὶ Φίλιππος, ὑπὸ τῆς περὶ τὴν Ἄμφισσαν εὐτυχίας ἐπαιρόμενος, εἰς τὴν Ἐλάτειαν ἐξαίφνης ἐνέπεσε, καὶ τὴν Φωκίδα κατέσχεν, ἐκπεπληγμένων τῶν Ἀθηναίων, καὶ μηδενὸς τολμῶντος ἀναβαίνειν ἐπὶ τὸ βῆμα, μηδὲ ἔχοντος ὅ, τι χρὴ λέγειν, ἀπορίας οὔσης ἐν μέσῳ καὶ σιωπῆς, παρελθὼν μόνος ὁ Δημοσθένης, συνεβούλευε τῶν Θηβαίων ἔχεσθαι· καὶ τἄλλα παραθαῤῥύνας καὶ μετεωρίσας (ὥσπερ εἰώθει) τὸν δῆμον ταῖς ἐλπίσιν, ἀπεστάλη πρεσβευτὴς μεθ' ἑτέρων εἰς Θήβας. Ἔπεμψε δὲ καὶ Φίλιππος (ὡς Μαρσύας φησὶν) Ἀμύνταν μὲν καὶ

ῥητοῖς προχωρεῖ, *eventus bellorum minime consiliis respondent*, id est, eventus bellorum sunt dubii. WOLF.

Τεταγμένα σιτεῖται] Metaphora ducta a victu servorum, quibus singulis in singulos menses dabantur quatuor modii frumenti, idque *demensum* dicebatur, ut annotat Donatus ad Terent. Phorm. 1. 1.

Quod ille unciatim vix de demenso suo &c.

Meminit etiam Plautus in Sticho Sc. 2.

Vos meministis, quot Calendis petere demensum cibum,
Qui minus meministis, quod opus sit facto, facere in ædibus? B.

Συνισταμένων—Εὐβοέων &c.] Vide Dem. περὶ στεφ. c. 69. IDEM.

Σύνορον τῆς Ἀττικῆς] M. ὅμορον. WOLF.

Ἦν δ' οὐ — πόλεσιν] Vide Dem. περὶ στεφ. c. 54. B.

Μεταστῆναι τοὺς Θηβαίους] Rectius Bebelius μεταστῆσαι, quod active significat, illud passive aut absolute. WOLF.

ιή. Περὶ τὴν Ἄμφισσαν] Vide 16. Diodori. Intelligenda est belli Phocensis, quod sacrum dicitur, confectio. Amphissa urbs Locrensium, τῶν Ὀζολῶν. IDEM.

Περὶ τὴν Ἄμφισσαν] Cum agrum Delphicum violassent Locri Ozolæ, res delata est ad concilium Amphictyonum, qui cum legatos ad regionem perlustrandam mitterent, eos Locri impetu facto confoderunt. Hoc belli Amphictyonici initium erat, cui cito Philippus vel nominis sui auctoritate finem attulit, dux belli a concilio delectus. Dem. περὶ στεφ. c. 47. et seq. B.

Εἰς τὴν Ἐλάτειαν] Elatæa, urbs Phocidis, Bœotiæ vicina. Hæc omnia summa cum sublimitate enarrat Demosth. περὶ στεφ. c. 53. IDEM.

Μαρσύας] Marsyas Antigoni regis, qui post Alexandrum regnavit, frater, gente Pellæus, Alexandri σύντροφος, scripsit Μακεδονικῶν libros 10. B.

Κλέαρχον Μακεδόνας, Δάοχον [1] δὲ Θεσσαλὸν καὶ Θρασυδαῖον, ἀντεροῦντας. Τὸ μὲν οὖν συμφέρον οὐ διέφυγε τοὺς τῶν Θηβαίων λογισμοὺς, ἀλλ' ἐν ὄμμασιν ἕκαστος εἶχε τὰ τοῦ πολέμου δεινὰ, ἔτι τῶν Φωκικῶν τραυμάτων νεαρῶν παραμενόντων. Ἡ δὲ τοῦ ῥήτορος δύναμις (ὥς φησι Θεόπομπος) ἐκριπίζουσα τὸν θυμὸν αὐτῶν, καὶ διακαίουσα τὴν φιλοτιμίαν, ἐπεσκότησε τοῖς ἄλλοις ἅπασιν· [2] ὥστε φόβον καὶ λογισμὸν καὶ χάριν ἐκβαλεῖν αὐτοὺς, ἐνθουσιῶντας ὑπὸ τοῦ λόγου πρὸς τὸ καλόν. Οὕτω δὲ μέγα καὶ λαμπρὸν ἐφάνη τὸ τοῦ ῥήτορος ἔργον, ὥστε τὸν μὲν Φίλιππον εὐθὺς ἐπικηρυκεύεσθαι, δεόμενον εἰρήνης, ὀρθὴν δὲ τὴν Ἑλλάδα γενέσθαι, καὶ συνεξαναστῆναι πρὸς τὸ μέλλον, ὑπηρετεῖν δὲ μὴ μόνον τοὺς στρατηγοὺς τῷ Δημοσθένει ποιοῦντας τὸ προσταττόμενον, ἀλλὰ καὶ τοὺς Βοιωτάρχας· [3] διοικεῖσθαι τὰς ἐκκλησίας ἁπάσας, οὐδὲν ἧττον ὑπ' ἐκείνου τότε τὰς Θηβαίων ἢ τὰς Ἀθηναίων, ἀγαπωμένου παρ' ἀμφοτέροις καὶ δυναστεύοντος, οὐκ ἀδίκως, οὐδὲ παρ' ἀξίαν, ὥσπερ ἀποφαίνεται Θεόπομπος, ἀλλὰ καὶ πάνυ προσηκόντως.

ιθ'. Τύχη δέ τις (ὡς ἔοικε) δαιμόνιος ἐν περιφορᾷ πρα-

[1] δὲ καὶ Θρασυδαῖον, Θεσσαλοὺς, ἀντ. [2] ὥστ' εἰς φόβον [3] διοικεῖσθαι * δὲ τὰς

Δάοχον καὶ Θεσσαλὸν καὶ Θρασυδαῖον] Suspicor legendum, Δάοχον δὲ καὶ Θρασυδαῖον Θεσσαλοὺς, quia supra dixit Μακεδόνας adjecto gentis nomine. Sed si magis placeat Θεσσαλὸν legati esse nomen, non obsto. Reponat igitur qui volet, in conversione mea Daochum et Thessalum et Thrasydæum. Hervagiana editio habet, Θρυδαῖον ἀντὶ Θρασυδαίου, Demosthenes certe quidem περὶ στεφάνου, in catalogo Græciæ proditorum recenset, Δάοχον, Κινέαν, Θρασύδαιον, Thessalos. Quo fit, ut me conjecturæ meæ non magnopere pœniteat. Wolf.

Δάοχον δὲ Θεσσαλὸν] In vulgatis Δάοχον δὲ καὶ Θεσσαλὸν, ita ut Thessalus sit nomen viri. Sed emendat Palmerius ex oratione Aristidis περὶ συμμαχίας, cui adde Dem. περὶ στεφ. 91. Θεσσαλοὺς (διέφθειραν) Δάοχος, Κινέας, Θρασύδαιος. In margine Editionis Lamb. legitur Δάοχον δὲ καὶ Θρασυδαῖον Θεσσαλούς: sed Thrasydæus (uti notat Du Soul) alibi apud nostrum vocatur Ἠλεῖος. B.

Ὥστ' εἰς φόβον καὶ λογισμὸν καὶ χάριν ἐμβαλεῖν αὐτοὺς] Sic Hervagius: sed rectius Bebelius: ὥστε καὶ φόβον καὶ λογισμὸν καὶ χάριν ἐκβαλεῖν αὐτούς. Wolf.

Λογισμὸν] Subaudiendum videtur esse τοῦ μέλλοντος, vel τοῦ τε παρῳχημένου καὶ τοῦ μέλλοντος. Reisk.

Χάριν ἐκβαλεῖν] Dubito, num ἐκβαλεῖν servandum, an ἐμβαλεῖν præferendum. Etiam de χάριν dubito, utrum servandum sit: *grati animi testificationem*, quod salutis Thebanorum tuendæ tam diligentem curam habuissent: an χαρὰν, lætitiam, gaudium de societate belli adversus Philippum Thebanis ultro ab Atheniensibus oblata. Idem.

ιθ'. Τύχη δέ τις ὡς ἔοικε δαιμονία] Quia sequitur infinitivus ἐναντιοῦσθαι, particula ὡς redundare videtur, aut deesse τὸ, δοκεῖ, ἢ, δαιμονία ὡς ἔοικε conjungantur. Et subintelligatur, humanis viribus tantos exercitus profligari non potuisse. Wolf.

Ὡς ἔοικε] Illud ὡς, nisi deleatur, totam pervertet sententiam. Du Soul. Idem Wolfio videtur, qui etiam ante ὡς inserit ἐδόκει. Sed quæri potest, utrum infinitivus nunquam ponatur absolute pro indicativo. Affirmant I. Clericus Art. Crit.

γμάτων, εἰς ἐκεῖνο καιροῦ συμπεραίνουσα τὴν ἐλευθερίαν τῆς Ἑλλάδος ἐναντιοῦσθαι τοῖς πραττομένοις, καὶ πολλὰ σημεῖα τοῦ μέλλοντος ἀναφαίνειν· ἐν οἷς ἥ τε Πυθία δεινὰ προὔφαινε μαντεύματα, καὶ χρησμὸς ᾔδετο παλαιὸς ἐκ τῶν Σιβυλλείων,

Τῆς ἐπὶ Θερμώδοντι μάχης ἀπάνευθε γενοίμην,
Αἰετὸς ἐν νεφέεσσι καὶ ἠέρι θηήσασθαι.
Κλαίει ὁ νικηθεὶς, ὁ δὲ νικήσας ἀπόλωλε.

Τὸν δὲ Θερμώδοντα φασὶν εἶναι παρ᾽ ἡμῖν ἐν Χαιρωνείᾳ ποτάμιον μικρὸν εἰς τὸν Κηφισὸν ἐμβάλλον· Ἡμεῖς δὲ νῦν μὲν οὐδὲν ἴσμεν οὕτω τῶν ῥευμάτων ὀνομαζόμενον, εἰκάζομεν δὲ τὸν καλούμενον Αἵμωνα Θερμώδοντα λέγεσθαι τότε. Καὶ παραῤῥεῖ παρὰ τὸ Ἡράκλειον, ὅπου κατεστρατοπέδευον οἱ Ἕλληνες. Καὶ τεκμαιρόμεθα, τῆς μάχης γενομένης, αἵματος ἐμπλησθέντα καὶ νεκρῶν τὸν ποταμὸν, ταυτῇ διαλλάξαι τὴν προσηγορίαν. Ὁ δὲ Δοῦρις οὐ ποταμὸν εἶναί φησι τὸν Θερμώδοντα, ἀλλ᾽ ἱστάντας τινὰς σκηνὴν καὶ περιορύττοντας, ἀνδριαντίσκον εὑρεῖν λί-

vol. 1. p. 365. et M. Maittaire de Græc. L. Dialect. p. 86. B.

Ὡς ἔοικε] Videtur recte habere; verum pone ἐναντιοῦσθαι deesse δοκεῖ. *Fortuna quædam, non illa fortuita, sed, ut videtur, a numine gubernata, rebus a Demosthene institutis et agitatis obstitisse videtur*, vel *est perquam credibile atque probabile.* Reisk.

Αἰετὸς ἐν νεφέεσσι] Meminit hujus oraculi Aristophanes Ἱππεῦσιν, his verbis: Ἄγε νῦν ὅπως αὐτοὺς (τοὺς Βάκιδος χρησμοὺς intellige) ἀναγνώσεσθέ μοι Καὶ τὸν περὶ ἐμοῦ κεῖνον, ᾧπερ ἥδομαι, Ὡς ἐν νεφέλῃσιν αἰετὸς γενήσομαι. *Agite nunc, facite, ut Bacidis oracula mihi recitetis, atque illud, quod ad me pertinet, quoque delector, quo dicor aquila in nubibus fore.* Wolf.

Αἰετὸς ἐν νεφέεσσι] Hoc oraculum ab Aristophane intelligi putat Wolfius, apud Ἱππέας v. 1008. ubi de Bacidis responsis loquens ait Populus,

Ἄγε νῦν, ὅπως αὐτοὺς ἀναγνώσεσθέ μοι
Καὶ τὸν περὶ ἐμοῦ ᾽κεῖνον, ᾧπερ ἥδομαι,
Ὡς ΕΝ ΝΕΦΕΛΗΙΣΙΝ ΑΙΕΤΟΣ γενήσομαι.

Ego non credo, aut Poetam, aut Populum tam sagacem fuisse, ut tot annos ante eventum sentiret hoc de Thermodonte oraculum ad Athenienses pertinere. Verisimilius est istud designari, quod citat Scholiastes in locum.—

Εὔδαιμον πτολίεθρον Ἀθηναίης ἀγελείης.
Πολλὰ ἰδὸν, καὶ πολλὰ παθὸν, καὶ πολλὰ μογῆσαν,
ΑΙΕΤΟΣ ΕΝ ΝΕΦΕΛΗΙΣΙ γενήσεαι ἤματα πάντα.

Vide etiam Ἱππεῖς v. 1085. et Ὀρνιθ. v. 979. B.

Θειήσασθαι] Pro θεάσασθαι fortassis et θεαθῆναι, *ut conspiciar aquila*, vel a θέω, *curro*, θεήσω, θεήσομαι, propter versum. Hesychius θειητὸν, θαυμαστόν. Moschopulus θεάω θεῶ, ὃ παθητικῶς γράφεται θεῶμαι, τὸ βλέπω. θεέω δὲ, τὸ θαυμάζω, ποιητικῶς; ἀφ᾽ οὗ θηεῦντο, οὗ τὸ ἐντελὲς ἐθεέοντο, &c. Erit igitur a θεέομαι, ἀορ. α. ἐθεησάμην, θεήσασθαι et κατ᾽ ἔκτασιν θειήσασθαι. Wolf.

Θερμώδων] Fluvius Themisciræ sedis Amazonum, vicinæ Cappadociæ. Varinus Θερμώδων ποταμὸς Παφλαγονίας περὶ Σινώπην, ὅπου ἦσαν αἱ Ἀμαζόνες. ἔστι καὶ Βοιωτίας ποταμός. Notum est fluviis suos Deos virili specie attribui. Idem.

Ἡμεῖς—οὐδὲν ἴσμεν] Thermodontem fluvium juxta urbem Glisantem in Bœotia ponit Pausanias. Bœot. p. 570. Ed. Hannov. B.

Διαλλάξαι τὴν προσηγορίαν] M. μεταλλάξαι, vel, ταύτην δὴ ἀλλάξαι. Wolf.

Δοῦρις] Duris Samius ætate Ptolemæi Philadelphi floruit. Scripsit Macedonica

θινον ὑπὸ γραμμάτων τινῶν διασημαινόμενον, ὡς εἴη Θερμώδων, ἐν ταῖς ἀγκάλαις Ἀμαζόνα φέρων τετρωμένην. Ἐπὶ [1] δὲ τούτῳ χρησμὸν ἄλλον ᾄδεσθαι, λέγοντα,

Τὴν ἐπὶ Θερμώδοντι μάχην μένε, παμμέλαν ὄρνι,
Τηνεί τοι κρέα πολλὰ παρέσσεται [2] ἀνθρωπεῖα.

κ΄. Ταῦτα μὲν οὖν ὅπως ἔχει διαιτῆσαι χαλεπόν. Ὁ δὲ Δημοσθένης λέγεται τοῖς τῶν Ἑλλήνων ὅπλοις ἐκτεθαῤῥηκὼς, καὶ λαμπρῶς ὑπὸ ῥώμης καὶ προθυμίας ἀνδρῶν τοσούτων προκαλουμένων τοὺς πολεμίους αἰρόμενος, οὔτε χρησμοῖς ἐᾷν [3] προσχεῖν, οὔτε μαντείας ἀκούειν· ἀλλὰ καὶ τὴν Πυθίαν [4] ὑπερνοεῖν ὡς φιλιππίζουσαν, ἀναμιμνήσκων Ἐπαμινώνδου τοὺς Θηβαίους, καὶ Περικλέους τοὺς Ἀθηναίους, ὡς ἐκεῖνοι τὰ τοιαῦτα δειλίας ἡγούμενοι προφάσεις, ἐχρῶντο τοῖς λογισμοῖς. Μέχρι μὲν οὖν τούτων ἀνὴρ ἦν ἀγαθός· ἐν δὲ τῇ μάχῃ καλὸν οὐδὲν οὐδ᾽ ὁμολογούμενον ἔργον οἷς εἶπεν ἀποδειξάμενος, ᾤχετο τὴν τάξιν ἀποδρὰς αἴσχιστα, καὶ τὰ ὅπλα ῥίψας, οὐδὲ τὴν ἐπιγραφὴν τῆς ἀσπίδος (ὡς ἔλεγε Πυθέας) αἰσχυνθεὶς, ἐπιγεγραμμένης γράμμασι χρυσοῖς· Ἀγαθῇ τύχῃ. Παραυτίκα μὲν οὖν ὁ Φίλιππος ἐπὶ τῇ νίκῃ διὰ τὴν χαρὰν ἐξυβρίσας, καὶ κω-

[1] Deest δέ. [2] ἀνθρώπεια [3] * προσέχειν [4] ὑπονοεῖν

multis libris, initium capiens ab obitu Amyntæ Philippi patris. In historia satis diligens, stylo negligentior. B.

Ἐπὶ δὲ] Inserui δὲ, quod prius aberat, e MS. Bodl. Idem.

Ἄδεσθαι] Scil. φασὶν e v. 9. p. cclxiii. Reisk.

Τηνεί τοι] Ἐκεῖ, τήνῃ ἐκείνῃ. Varinus. Wolf.

Ἀνθρώποισι] Fortasse ἀνθρώπεια, vel pro ἀνθρώπων. Idem.

Ἀνθρωπεῖα] Prius ἀνθρώποισι. Sequor MSS. B.

κ΄. Ὁ δὲ—φιλιππίζουσαν] Ἀλλ᾽ οὐ προὔλεγον, οὐ προὐσήμαινον ἡμῖν οἱ θεοὶ φυλάξασθαι, μόνον οὐκ ἀνθρώπων φωνὰς προσκτησάμενοι; —Οὐχ ἱκανὸν ἦν τὸ τοῖς μυστηρίοις φανὲν σημεῖον φυλάξασθαι, ἡ τῶν μυστῶν τελευτή; Οὐ περὶ τούτων Ἀμυνιάδης μὲν προὔλεγεν εὐλαβεῖσθαι, καὶ πέμπειν εἰς Δελφοὺς ἐπερησομένους τὸν Θεὸν, ὅ τι χρὴ πράττειν; Δημοσθένης δὲ ἀντέλεγε, ΦΙΛΙΠΠΙΖΕΙΝ τὴν Πυθίαν φάσκων; Οὐ, τὸ τελευταῖον, ἀθύτων καὶ ἀκαλλιερήτων τῶν ἱερῶν, ἐξέπεμψε τοὺς στρατιώτας ἐπὶ τὸν πρόδηλον κίνδυνον; Æsch. in Ctes. c. 42. B.

Πυθία] Ἡ προφῆτις, sacerdos Apollinis. Wolf.

Ὤχετο τὴν τάξιν ἀποδρὰς] Ῥίψασπις γενόμενος ἅμα τῇ ἀγαθῇ τύχῃ: dixit ille quidem, ἀνὴρ δὲ φεύγων καὶ πάλιν μαχήσεται. Sed responderi queat, ἀνὴρ δὲ φεύγων φεύξεται πάλιν ποτέ. Idem.

Ὤχετο τὴν τάξιν ἀποδρὰς] Præter hanc e pugna Chæronea fugam, quam sæpe Demostheni objiciunt Æschines et Dinarchus, prius delatus est, tanquam ordinum desertor, a Nicodemo, quod constat ex Æsch. περὶ παραπ. c. 46. vide etiam κατὰ Μειδ. p. 548. ed. Reisk. Ridicula sane sunt, quæ de hac re tradiderunt Auctor. vit. 10. Rhet. δοκεῖ τὴν τάξιν λιπεῖν· φεύγοντος δὲ αὐτοῦ, βάτον ἐπιλαβέσθαι τῆς χλαμύδος, τὸν δὲ ἐπιστραφέντα εἰπεῖν, ΖΩΓΡΕΙ. et Gellius Noct. Att. l. 17. c. 21. *Demosthenes orator ex eo prælio salutem fuga quæsivit; cumque id ei, quod fugerat, probrose objiceretur, versu illo notissimo elusit,*

Ἀνὴρ ὁ φεύγων καὶ πάλιν μαχήσεται. B.

Φίλιππος—ἐξυβρίσας] Diserte negat Justinus l. 9. c. 4. *Non solita sacra Philippus illa die fecit; non in convivio risit;*

μάσας ἐπὶ τοὺς νεκροὺς, μεθύων ᾖδε τὴν ἀρχὴν τοῦ Δημοσθένους ψηφίσματος, πρὸς πόδα [1] διαιρῶν καὶ ὑποκρούων,

Δημοσθένης Δημοσθένους Παιανιεὺς τάδ' εἶπεν.

Ἐκνήψας δὲ καὶ τὸ μέγεθος τοῦ περιστάντος αὐτὸν ἀγῶνος ἐν νῷ λαβὼν, ἔφριττε τὴν δεινότητα καὶ τὴν δύναμιν τοῦ ῥήτορος, ἐν μέρει μικρῷ μιᾶς ἡμέρας τὸν ὑπὲρ τῆς ἡγεμονίας καὶ τοῦ σώματος ἀναῤῥίψαι κίνδυνον ἀναγκασθεὶς ὑπ' αὐτοῦ. Διῖκτο δ' ἡ δόξα μέχρι τοῦ Περσῶν βασιλέως· κἀκεῖνος ἔπεμψε τοῖς σατράπαις [2] γράμματα, χρήματα Δημοσθένει διδόναι κελεύων, καὶ προσέχειν ἐκείνῳ μάλιστα τῶν Ἑλλήνων, ὡς περισπάσαι δυναμένῳ καὶ κατασχεῖν ταῖς Ἑλληνικαῖς ταραχαῖς τὸν Μακεδόνα. Ταῦτα μὲν οὖν ὕστερον ἐφώρασεν Ἀλέξανδρος, ἐν Σάρδεσιν ἐπιστολάς τινας ἀνευρὼν τοῦ Δημοσθένους, καὶ γράμματα τῶν βασιλέως στρατηγῶν, δηλοῦντα τὸ πλῆθος τῶν δοθέντων αὐτῷ χρημάτων.

κά. Τότε δὲ τῆς ἀτυχίας τοῖς Ἕλλησι γενομένης, οἱ

[1] διαίρων

[2] Deest *γράμματα.

non ludos inter epulas adhibuit, non coronas, aut unguenta sumpsit; et quantum in illo fuit, ita vicit, ut victorem nemo sentiret—Atque ita inter tacitam lætitiam, et dolorem hostium temperavit, ut neque apud suos exultasse, neque apud victos insultasse videretur. Et Ælian. V. H. l. 8. c. 15. ἐπαρθεὶς τῇ εὐπραγίᾳ ὅμως λογισμοῦ ἐκράτησε, καὶ οὐχ ὕβρισε. His vero duobus alios oppono duos haud minoris auctoritatis. Λέγουσι δέ τινες, ὅτι καὶ παρὰ τὸν πότον πολὺν ἐμφορησάμενος ἄκρατον, καὶ μετὰ τῶν φίλων τὸν ἐπινίκιον ἄγων κῶμον, διὰ μέσων τῶν αἰχμαλώτων ἐβάδιζεν, ὑβρίζων διὰ λόγων τὰς τῶν ἀκληρούντων δυστυχίας· Δημάδην δὲ τὸν ῥήτορα—ἐν τοῖς αἰχμαλώτοις ὄντα—εἰπεῖν· "Βασιλεῦ τῆς τύχης σοι περιθείσης πρόσωπον Ἀγαμέμνονος, αὐτὸς οὐκ αἰσχύνῃ πράττων ἔργα Θερσίτου; Diodor. l. 16. Δημάδης—πολλοῖς τῶν Ἀθηναίων—συναιχμαλωτισθεὶς καὶ εἰπὼν πρὸς τὸν Φίλιππον ἀναγκάζοντα εὐωχεῖσθαι,

τίς γάρ κεν ἀνὴρ, ὃς ἐναίσιμος εἴη,
Πρὶν τλαίη πάσσασθαι ἐδητύος, ἠδὲ ποτῆτος,
Πρὶν λύσασθ' ἑτάρους καὶ ἐν ὀφθαλμοῖσιν
ἰδέσθαι; *Od.* κ'. v. 383.

Sext. Empir. adv. Math. l. 1. c. 13. Illud quidem omnes fatentur, et ipse agnoscit Demosthenes, Epist. 3. p. 1477. ed. Reisk. Philippum, sedato primo lætitiæ impetu, summum humanitatis exemplum erga Athenienses exhibuisse. B.

Πρὸς πόδα διαιρῶν] Sic lege, non παροξυτόνως διαίρων. *Ad pedem digerens*, id est, metiens ut versum Iambicum, et plaudens manibus.

Δῆμοσ | σθένης Δῆμοσ | σθένους Παιᾶ | νιεύς. Wolf.

Διαιρῶν] Sequor Wolfii lectionem. Alii scribunt διαίρων, penacute, sensu diverso; sc. *sublata altius voce, et ad pedum pulsum accommodata.* B.

Ἐκνήψας—ὑπ' αὐτοῦ] Prorsus germana sunt, quæ apud Lucian. in Encom. Dem. [§. 38.] dicit Antipater. Περὶ μὲν γὰρ Χαιρωνείας, οὐδὲ μετὰ τὴν νίκην ἐπαύετο πρὸς ἡμᾶς λέγων (Philippus) "Εἰς ὅσον ἄνθρωπος ἡμᾶς κινδύνου κατέστησε; μὴ γὰρ εἰ παρ' ἐλπίδα—κεκρατήκαμεν, ἀλλ' ἐπὶ μιᾶς γε ταύτης ἡμέρας τὸν περὶ τῆς ψυχῆς κίνδυνον ἐπέστησέ μοι." Idem.

Διῖκτο δ' ἡ δόξα] Διῖγμαι, διῖξαι, διῖκται, ἀπὸ τοῦ διϊκνοῦμαι, sicut ἀφῖγμαι. Wolf.

Ταῦτα—χρημάτων] Demades actionem δωροδοκίας in Demosthenem invexit, quod 50. talenta a Dario accepisset. Id probare voluit, Alexandro auctore, qui com-

μὲν ἀντιπολιτευόμενοι ῥήτορες, ἐπεμβαίνοντες τῷ Δημοσθένει, κατεσκεύαζον εὐθύνας καὶ γραφὰς ἐπ' αὐτόν· ὁ δὲ δῆμος οὐ μόνον τούτων ἀπέλυεν, ἀλλὰ καὶ τιμῶν διετέλει, καὶ προσκαλούμενος αὖθις ὡς εὔνουν εἰς τὴν πολιτείαν· ὥστε καὶ τῶν ὀστέων ἐκ Χαιρωνείας κομισθέντων, καὶ θαπτομένων, τὸν ἐπὶ τοῖς ἀνδράσιν ἔπαινον εἰπεῖν ἀπέδωκεν, οὐ ταπεινῶς οὐδ' ἀγεννῶς φέρων τὸ συμβεβηκὸς, (ὡς γράφει καὶ τραγῳδεῖ Θεόπομπος) ἀλλὰ τῷ τιμᾶν μάλιστα καὶ κοσμεῖν τὸν σύμβουλον, ἀποδεικνύμενος τὸ μὴ μεταμέλεσθαι τοῖς βεβουλευμένοις. Τὸν μὲν οὖν λόγον εἶπεν ὁ Δημοσθένης, τοῖς δὲ ψηφίσμασιν οὐχ ἑαυτὸν, ἀλλὰ ἐν μέρει τῶν φίλων ἕκαστον ἐπέγραφεν, ἐξοιωνιζόμενος τὸν ἴδιον δαίμονα καὶ τὴν τύχην, ἕως αὖθις ἀνεθάῤῥησε, Φιλίππου τελευτήσαντος. Ἐτελεύτησε δὲ τῇ περὶ Χαιρώνειαν εὐτυχίᾳ χρόνον οὐ πολὺν ἐπιβιώσας. Καὶ τοῦτο δοκεῖ τῷ τελευταίῳ τῶν ἐπῶν ὁ χρησμὸς ἀποθεσπίσαι,

Κλαίει ὁ νικηθεὶς, ὁ δὲ νικήσας ἀπόλωλεν.—

κβ'. Ἔγνω μὲν οὖν κρύφα τὴν τοῦ Φιλίππου τελευτὴν ὁ

pertam in Darii computis corruptelam Atheniensibus nuntiavit. Constat e Philostrati Vit. Soph. p. 537. et Scholiaste in Hermogenem. B.

Εὐθύνας καὶ γραφὰς] Rationes ab eo reposcebant, et male, gestæ Reipublicæ accusabant. Ὀλυνθ. α. [γ. §. ιά.] τοὺς δὲ λέγοντας, ἵνα αἱ τῶν πεπολιτευμένων αὐτοῖς εὐθύναι ῥᾴδιαι γένωνται. Wolf.

Ὁ δὲ δῆμος — πολιτείαν] Μετὰ ταῦτα συστάντων οἷς ἦν ἐπιμελὲς κακῶς ἐμὲ ποιεῖν, καὶ γραφὰς, εὐθύνας, εἰσαγγελίας, πάντα ταῦτα ἐπαγόντων μοι—ἐν τοίνυν τούτοις πᾶσι—ἀπεψηφίζεσθέ μου, καὶ τὸ πέμπτον μέρος τῶν ψήφων τοῖς διώκουσιν οὐ μετεδίδοτε. Dem. περὶ στεφ. c. 74. B.

Ἔπαινον εἰπεῖν ἀπέδωκε] Vid. Dem. περὶ στεφ. c. 88. et Æsch. in Ctesiph. c. 48. Oratio funebris, quæ nunc exstat, suppostitia videtur Dion. Halicarnasseo περὶ τῆς Δημ. δεινότ. c. 23. Idem.

Οὐχ ἑαυτὸν—ἐπέγραφεν] At, si modo inimico ejus Æschini credendum sit, hoc non Demosthenis modestiæ, sed Atheniensium dolori tribuendum est. ὑμεῖς δὲ κατὰ μὲν τοὺς πρώτους χρόνους οὐδ' ἐπὶ τὰ ψηφίσματα εἰᾶτε τὸ Δημοσθένους ἐπιγράφειν ὄνομα, ἀλλὰ Ναυσικλεῖ τοῦτο προσετάττετε. Æsch. in Ctesiph. c. 50. Idem.

Ἐν μέρει] Vicissim, per vices, modo hunc modo alium decreti auctorem adscribebat. Wolf.

Ἐξοιωνιζόμενος—τύχην] Mira scilicet fuit apud antiquos fortunæ reverentia, adeoque Dinarchus vel ex fortuna Demosthenis invidiam illi conflat. Μὴ ἀφῆτε, ὦ ἄνδρες Ἀθηναῖοι, μὴ ἀφῆτε τὸν ἐπὶ τοῖς τῆς πόλεως — ἀτυχήμασιν ἐπιγεγραμμένον, — μηδὲ τῆς ἀγαθῆς τύχης ἡμᾶς ἐπὶ τὸ βέλτιον ἀγούσης—τοῦτον δ' ὑμῖν ἀποκτεῖναι παραδούσης, αὐτοὶ τοῖς πᾶσι συμφέρουσιν ἐναντιωθῆτε· ἀλλὰ ΜΕΤΟΙΩΝΙΣΑΣΘΕ τὰς τῆς πόλεως πράξεις εἰς τούτους τοὺς ἡγεμόνας τὰς ἀποτυχίας τρέψαντες. Dinarch. in Demosth. Similiter Æschines in Ctes. c. 49. ἀλλὰ καὶ τὸν δαίμονα καὶ τὴν τύχην συμπαρακολουθοῦσαν τῷ ἀνθρώπῳ φυλάξασθαι. Οὔτε πόλις γὰρ, οὔτ' ἰδιώτης ἀνὴρ οὐδεὶς, πώποτε καλῶς ἀπήλλαξε, Δημοσθένει συμβούλῳ χρησάμενος. Vid. Dem. Epist. 4. B.

Ἐτελεύτησε—ἐπιβιώσας] Pugnatum est ad Chæroneam Olymp. 110. 3. obiit Philippus a Pausania interfectus Olymp. 111. 1. Idem.

κβ'. Ἔγνω—ἀγαθὸν] Οὗτος—πρῶτος διὰ τῶν κατασκόπων τῶν παρὰ Χαριδήμου πυθόμενος τὴν Φιλίππου τελευτὴν, τῶν μὲν θεῶν συμπλάσας ἑαυτῷ ἐνύπνιον, κατεψεύσατο, ὡς οὐ παρὰ Χαριδήμου τὸ πρᾶγμα πεπυσμένος, ἀλλὰ παρὰ τοῦ Διὸς καὶ τῆς Ἀθηνᾶς· οὓς μεθ' ἡμέραν ἐπιορκῶν νύκτωρ φησὶν ἑαυτῷ διαλέγεσθαι, καὶ τὰ μέλλοντα ἔσεσθαι προλέγειν.

Δημοσθένης. Προκαταλαμβάνων δὲ τὸ θαῤῥεῖν ἐπὶ τὰ μέλλοντα τοὺς Ἀθηναίους, προῆλθε φαιδρὸς εἰς τὴν βουλὴν, ὡς ὄναρ ἑωρακὼς ἀφ᾽ οὗ τι μέγα προσδοκᾷν Ἀθηναίοις ἀγαθόν· καὶ μετ᾽ οὐ πολὺ παρῆσαν οἱ τὸν Φιλίππου θάνατον ἀπαγγέλλοντες. Εὐθὺς οὖν ἔθυον εὐαγγέλια, καὶ στεφανοῦν ἐψηφίσαντο Παυσανίαν. Καὶ προῆλθεν ὁ Δημοσθένης ἔχων λαμπρὸν ἱμάτιον ἐστεφανωμένος, ἑβδόμην ἡμέραν τῆς θυγατρὸς αὐτοῦ τεθνηκυίας, ὡς Αἰσχίνης φησὶ, λοιδορῶν ἐπὶ τούτῳ, καὶ κατηγορῶν αὐτοῦ μισοτεκνίαν. αὐτὸς ὢν ἀγεννὴς καὶ μαλακὸς, εἰ τὰ πένθη καὶ τοὺς ὀδυρμοὺς ἡμέρου καὶ φιλοστόργου ψυχῆς ἐποιεῖτο σημεῖα, τὸ δ᾽ ἀλύπως φέρειν ταῦτα καὶ πρᾴως ἀπεδοκίμαζεν. Ἐγὼ δὲ, ὡς μὲν ἐπὶ θανάτῳ βασιλέως ἡμέρως οὕτω καὶ φιλανθρώπως ἐν οἷς ηὐτύχησε χρησαμένου πταίσασιν αὐτοῖς, στεφανηφορεῖν καλῶς εἶχε καὶ θύειν, οὐκ ἂν εἴποιμι· (πρὸς γὰρ τῷ νεμεσητῷ καὶ ἀγεννὲς, ζῶντα μὲν τιμᾷν καὶ ποιεῖσθαι πολίτην, πεσόντος δ᾽ ὑφ᾽ ἑτέρου, μὴ φέρειν τὴν χαρὰν μετρίως, ἀλλ᾽ ἐπισκιρτᾷν τῷ νεκρῷ καὶ παιωνίζειν, ὥσπερ αὐτοὺς ἀνδραγαθήσαντας.) Ὅτι μέντοι τὰς οἰ-

Æsch. in Ctes. 29. Vid. etiam c. 50. et c. 78. Idem.

Προκαταλαμβάνων δὲ τὸ θαῤῥεῖν ἐπὶ τὰ μέλλοντα τοὺς Ἀθηναίους] Constructio intricatior est: sed hanc sententiam esse reor: Demosthenem *mature voluisse efficere, ut Athenienses bona cum spe res deinceps gerendas susciperent.* Quare legendum censeo, προκαταλαμβάνων τῷ θαῤῥύνειν: et, τηρεῖν τὸ ἀξίωμα: et, τὰ περὶ τὴν χώραν. Wolf.

Προλαμβάνων] F. *præoccupans Athenienses*, iis præveniens in fiducia rerum futurarum. Reisk.

Τὸ θαῤῥεῖν] Articulus recte habet. Num autem θαῤῥεῖν quoque recte, an secus, habeat, in dubio relinquam. Si servatur delendum erit ἐπί. nam θαῤῥεῖν τι dicitur, non ἐπί τι, *de aliqua re fidere, securus de ea esse:* et tum existet illa, quam modo Latine expressi, sententia. Sin autem ἐπὶ servandum sit, commutandum fuerit θαῤῥεῖν cum θαῤῥύνειν. *primus omnium Atheniensium esse contendens, qui cives ad futura fata fortes et fidentes redderet, bonaque spe repleret.* Idem.

Μέγα] Deesse videtur δέοι, aut δέῃ. Idem.

Ὡς Αἰσχίνης—μισοτεκνίαν] Extat locus pulcherrimus κατὰ Κτησ. c. 29, Ἑβδόμην δ᾽ ἡμέραν τῆς θυγατρὸς αὐτῷ τετελευτηκυίας, πρὶν πενθῆσαι καὶ τὰ νομιζόμενα ποιῆσαι, στεφανωσάμενος καὶ λευκὴν ἐσθῆτα λαβὼν ἐβουθύτει καὶ παρηνόμει· τὴν μόνην ὁ δείλαιος καὶ πρώτην αὐτὸν πατέρα προσειποῦσαν ἀπολέσας. Καὶ οὐ τὸ δυστύχημα ὀνειδίζω, ἀλλὰ τὸν τρόπον ἐξετάζω. Ὁ γὰρ μισότεκνος καὶ πατὴρ πονηρὸς, οὐκ ἄν ποτε γένοιτο δημαγωγὸς χρηστὸς, οὐδὲ ὁ τὰ φίλτατα καὶ οἰκειότατα σώματα μὴ στέργων, οὐδέποτε ὑμᾶς περὶ πλείονος ποιήσεται τοὺς ἀλλοτρίους. Photius in sequentibus pro τὰ πένθη legit τὸ ταπεινόν. B.

Ταῦτα] Scil. τὰ πένθη, mortes liberorum luctusque de iis. Reisk.

Καλῶς εἶχε καὶ θύειν] Ita est apud duos Codices MSS. ita apud Photium in iis, quæ ex hac vita in Bibliothecam suam retulit, adeo ut mirum videatur impressos tam pertinaciter exhibere καλῶς εἰ δὲ καὶ θύειν. Stephanus ex conjectura emendavit καλὸν ἔτι δὲ καὶ θύειν. B.

Ὅτι μέντοι — ἐπαινῶ] Quoniam sunt qui Plutarchi sententiam nimis severam ducunt, magisque Æschinis humanitatem laudant, quam atrocem (uti putant) Demosthenis asperitatem, liceat apponere de eadem re judicium M. Tullii. Tusc. Quæst. 3. 63. *Ad opinionem magni mali*

κοι τύχας καὶ δάκρυα καὶ ὀδυρμοὺς ἀπολιπὼν ταῖς γυναιξὶν ὁ Δημοσθένης, ἃ τῇ πόλει συμφέρειν ᾤετο, ταῦτ᾽ ἔπραττεν, ἐπαινῶ· καὶ τίθεμαι πολιτικῆς καὶ ἀνδρώδους ψυχῆς, ἀεὶ πρὸς τὸ κοινὸν ἱστάμενον, καὶ τὰ οἰκεῖα πάθη καὶ πράγματα τοῖς δημοσίοις ἐπανέχοντα, τηρεῖν τὸ ἀξίωμα πολὺ μᾶλλον ἢ τοὺς ὑποκριτὰς τῶν βασιλικῶν καὶ τυραννικῶν προσώπων· οὓς ὁρῶμεν οὔτε κλαίοντας οὔτε γελῶντας ἐν τοῖς θεάτροις ὡς αὐτοὶ θέλουσιν, ἀλλ᾽ ὡς ὁ ἀγὼν ἀπαιτεῖ πρὸς τὴν ὑπόθεσιν. Χωρὶς δὲ τούτων, εἰ δεῖ τὸν ἀτυχήσαντα μὴ περιορᾷν ἀπαρηγόρητον ἐν τῷ πάθει κείμενον, ἀλλὰ καὶ λόγοις χρῆσθαι κουφίζουσι, καὶ πρὸς ἡδίω πράγματα τρέπειν τὴν διάνοιαν, (ὥσπερ οἱ τοὺς ὀφθαλμιῶντας ἀπὸ τῶν λαμπρῶν καὶ ἀντιτύπων ἐπὶ τὰ χλωρὰ καὶ μαλακὰ χρώματα τὴν ὄψιν ἀπάγειν κελεύοντες) πό-

cum illa etiam opinio accessit, oportere, rectum esse, ad officium pertinere, ferre illud ægre quod acciderit, tum denique efficitur illa gravis ægritudinis perturbatio. Ex hac opinione sunt illa varia et detestabilia genera lugendi, pædores, lacerationes genarum, pectoris &c. — Sed hæc omnia faciunt opinantes ita fieri oportere: itaque et Æschines in Demosthenem invehitur, quod is septimo die post filiæ mortem hostias immolasset. At quam rhetorice! quam copiose! quas sententias colligit! quæ verba contorquet! ut licere quidvis Rhetori intelligas. Idem.

Πρὸς τὸ κοινὸν ἱστάμενον] Scil. συμφέρον. *discedentem ad illam partem, ubi est resp.* h. e. *decus et salus patriæ, ibique stantem.* Reisk.

Ἱστάμενον] Apud Photium ἐνιστάμενον. B.

Τὰ οἰκεῖα πάθη καὶ πράγματα τοῖς δημοσίοις ἐπανέχοντα] Scilicet πράγμασιν, εὐτυχήμασιν, ἢ κατορθώμασι. Suidas ἐπανέχειν interpretatur ὑψοῦν, addito exemplo Artemidori, οἰκείᾳ συνέσει χρῆσθαι, καὶ μὴ ταῖς βίβλοις ἐπανέχειν, *suapte prudentia uti, et non niti libris.* et Demosthenes in Oratione falsæ legationis: ἐπὶ ταῖς παρ᾽ ὑμῶν ἐπανέχοντες ἐλπίσι, *spe vestri auxilii freti.* hinc sententia est, *privatos casus atque negocia publicis successibus esse quasi fulcienda et sustinenda.* ἐπανέχειν τὰ οἰκεῖα τοῖς δημοσίοις, τουτέστιν, ἐν δευτέρῳ τίθεσθαι, *pluris facere rempublicam, quam suam rem privatam:* non displiceret, si hujus interpretationis auctorem haberem idoneum. Sed nullum Lexicon neque vetustius neque recentius suffragatur. Wolf.

Ἐπανέχοντα] *Rem privatam minoris facere, quam Rempublicam;* quo sensu vocem accipi debere, (quanquam tacentibus Lexicis dubitat Wolfius) suadent verba Plutarchi, alibi hanc ipsam rem tractantis. Αἰσχίνης — μὲν οὖν ῥητορικῶς — ταῦτα διεξῆλθεν, ἀγνοῶν ὅτι διὰ τούτων αὐτὸν ἐπαινεῖ (Demosthenem sc.) τὸ πενθεῖν παρωσάμενον, καὶ τὸ φιλόπατρι ΠΡΟ τῆς τῶν ἀναγκαίων συμπαθείας ἐπιδειξάμενον. Plutarch. παραμυθ. p. 119 C. B.

Ἐπανέχοντα] Idem est, ac si dixisset ἀνέχοντα ἐπὶ τοῖς δημοσίοις. *ob publicos casus, quo iis servire possit, affectiones privatas reprimentem atque compescentem.* Reisk.

Ὥσπερ οἱ — κελεύοντες] Vulgati habent ὡσπερεὶ κελεύοντας, Photius ὥσπερ κελεύοντες, Codices MSS. quorum quidem collationes adhuc prodierunt, ad unum omnes ὥσπερ οἱ κελεύοντες, quod reposui, intelligens ποιοῦσι, aut siquid simile. Certe Articulus (οἱ) eam vim habet et elegantiam, ut nisi maximo sententiæ detrimento abesse non possit. B.

Πόθεν ἂν τις ἐπαγάγοιτο βελτίω παρηγορίαν, ἢ πατρίδος ἀτυχούσης, ἐκ τῶν κοινῶν παθῶν ἐπὶ τὰ οἰκεῖα σύγκρασιν πορίζόμενος, τοῖς βελτίοσιν ἀφανίζουσαν τὰ χείρω] Hic locus superiorem declarat, ut sententia sit, *privatum luctum publica felicitate levandum, contraque in publicis malis ad privatam prosperitatem respiciendum esse.* Quod Cic. mortua Tullia sibi non dari queritur, his verbis: Non ut tum me a repub. mœstum domus excipiebat, quæ levaret: sic nunc, domo mœrens ad rempublicam confugere possum, ut in ejus

θεν ἄν τις [1] ἀπαγάγοιτο βελτίω παρηγορίαν, ἢ πατρίδος εὐτυχούσης ἐκ τῶν κοινῶν παθῶν ἐπὶ τὰ οἰκεῖα σύγκρασιν ποριζόμενος, τοῖς βελτίοσιν ἀφανίζουσαν τὰ χείρω; Ταῦτα μὲν οὖν εἰπεῖν προήχθημεν, ὁρῶντες ἐπικλῶντα πολλοὺς καὶ ἀποθηλύνοντα τὸν Αἰσχίνην τῷ λόγῳ τούτῳ πρὸς οἶκτον.

κγʹ. Αἱ δὲ πόλεις, πάλιν τοῦ Δημοσθένους ἀναῤῥιπίζοντος αὐτὰς, συνίσταντο. Καὶ Θηβαῖοι μὲν ἐπέθεντο τῇ φρουρᾷ, καὶ πολλοὺς ἀνεῖλον, ὅπλα τοῦ Δημοσθένους αὐτοῖς παρασκευάσαντος· Ἀθηναῖοι δ᾽ ὡς πολεμήσοντες μετ᾽ αὐτῶν παρεσκευάζοντο· καὶ τὸ βῆμα κατεῖχεν ὁ Δημοσθένης, καὶ πρὸς τοὺς ἐν Ἀσίᾳ στρατηγοὺς τοῦ βασιλέως ἔγραφε, τὸν ἐκεῖθεν ἐπεγείρων πόλεμον Ἀλεξάνδρῳ, παῖδα καὶ Μαργίτην ἀποκαλῶν αὐτόν. Ἐπεὶ μέντοι τὰ περὶ τὴν χώραν θέμενος, παρῆν αὐτὸς μετὰ τῆς δυνάμεως

[1] ἐπαγάγοιτο

bonis acquiescam. Itaque et domo absum et foro: quod nec eum dolorem quem a repub. capio, domus jam consolari potest: nec domesticum respublica. Wolf.

Ἀπαγάγοιτο] Melius tres MSS. ἐπαγάγοιτο. Bryan.

Εὐτυχούσης] Ita legunt duo Codices MSS. et Photius in Bibliotheca, adeoque exulet aliquando a textu ἀτυχούσης, vox perperam illata, tam contra historiæ fidem, quam argumenti seriem. Non enim mortuo Philippo ἠτύχησαν Athenienses, spe recuperandæ libertatis erecti; neque is erat Plutarchus, qui juberet aliquem ad patriæ miserias, tanquam πρὸς ἡδίω πράγματα τρέπειν τὴν διάνοιαν. Quæ enim est ista consolatio? Non Plutarchi certe, aut Demosthenis; sed Caligulæ (siqua sit) aut Neronis. Revera adfuit Demostheni ea consolatio, quam M. Tullius sibi queritur deesse. *Non ut tum* (ante mortem Tulliæ sc.) *me a Republica mæstum domus excipiebat, quæ levaret; sic nunc, domo mærens, ad Remp. confugere possum, ut in ejus bonis acquiescam. Ep. Fam.* lib. 4. 6. B.

κγʹ. Τῇ φρουρᾷ] Præsidium Macedonicum designat, a Philippo Thebis impositum. Reisk.

Παῖδα — αὐτὸν] Hujus in Alexandrum contumeliæ testis est simul Æschines et vindex acerbus. Ἐπωνυμίαν δὲ Ἀλεξάνδρῳ Μαργίτην ἐτίθετο· ἀπετόλμα δὲ λέγειν, ὡς οὐ κινηθήσεται ἐκ Μακεδονίας, ἀγαπᾷν γὰρ αὐτὸν ἔφη ἐν Πέλλῃ περιπατοῦντα, καὶ τὰ σπλάγχνα φυλάττοντα·—θεωρῶν τὸν Ἀλέξανδρον, οὐκ ἐκ τῆς Ἀλεξάνδρου φύσεως, ἀλλ᾽ ἐκ τῆς ἑαυτοῦ ἀνανδρείας. Æsch. in Ctes. c. 50. Phocion quoque super ea re compellavit Demosthenem isto versu Σχέτλιε, τίπτ᾽ ἐθέλεις ἐρεθιζέμεν ἄγριον ἄνδρα; Ipse quoque Alexander, re audita, dixit, "Faxo Demosthenes sub Athenarum mœnibus me virum esse intelligat." Plut. in Phocione p. 749. in Alexandro p. 670. —Margites erat titulus Poematis Homerici, genere Satirico conscripti. Exstant fragmenta quædam.

Τὸν δ᾽ οὔτ᾽ ἄρ᾽ σκαπτῆρα θεοὶ θέσαν, οὔτ᾽ ἀροτῆρα,
Οὔτ᾽ ἄλλως τι σοφόν· πάσης δ᾽ ἡμάρτανε τέχνης. — et
Πολλ᾽ ἠπίστατο ἔργα, κακῶς δ᾽ ἠπίστατο πάντα.

Hinc vox in proverbium abiit, ut, siquis supra modum fatuus esset, diceretur Margites. B.

Μαργίτην] Helluonem ignavum, de quo scripsisse opusculum Homerus fertur. Wolf.

Τὰ περὶ τὴν χώραν] Id est, Μακεδονίαν. Idem.

Θέμενος] Rebus Macedoniæ compositis. Idem.

Θέμενος] Num θέμενος εὖ? an εὖ potest salva sententia abesse, et sic in usu fuit, ut diceretur θέσθαι pro θέσθαι εὖ? Reisk.

εἰς τὴν Βοιωτίαν, ἐξεκέκοπτο μὲν ἡ θρασύτης τῶν Ἀθηναίων, καὶ ὁ Δημοσθένης ἀπεσβήκει· Θηβαῖοι δὲ προδοθέντες ὑπ' ἐκείνων ἠγωνίσαντο καθ' [1] αὐτοὺς, καὶ τὴν πόλιν ἀπέβαλον. Θορύβου δὲ μεγάλου τοὺς Ἀθηναίους περιεστῶτος, ἀπεστάλη μὲν ὁ Δημοσθένης αἱρεθεὶς μεθ' ἑτέρων πρεσβευτὴς πρὸς Ἀλέξανδρον· δείσας δὲ τὴν ὀργὴν ἐκ τοῦ Κιθαιρῶνος ἀνεχώρησεν ὀπίσω, καὶ τὴν πρεσβείαν ἀφῆκεν. Εὐθὺς δ' ὁ Ἀλέξανδρος ἐξήτει πέμπων τῶν δημαγωγῶν δέκα μὲν, ὡς Ἰδομενεὺς καὶ Δοῦρις εἰρήκασιν· ὀκτὼ δ', ὡς οἱ πλεῖστοι καὶ δοκιμώτατοι τῶν συγγραφέων, τούσδε, Δημοσθένη, Πο-

[1] αὑτοὺς

Ὁ Δημοσθένης ἀπεσβήκει] *Extinctus erat*, ab ἀποσβέννυμι, quod a σβέω inusitato tempora mutuatur. σβέω, σβέσω, ἔσβεσα, ἔσβηκα, ἐσβήκειν forma activa est, sed passiva significatio. ἀορ. β. ἀπέσβην, παρὰ τὸ σβῆμι. Wolf.

Καθ' αὑτοὺς] Soli, suis duntaxat copiis. Idem.

Θορύβου — περιεστῶτος] Thebæ dirutæ sunt Olymp. 111. 2. Quanto ea res horrore perculit Athenienses, refert Arrianus lib. 1. Ἀθηναῖοι δὲ, μυστηρίων τῶν μεγάλων ἀγομένων, ὡς ἧκον τινὲς τῶν Θηβαίων ἐξ αὐτοῦ τοῦ ἔργου, τὰ μὲν μυστήρια ἐκπλαγέντες ἐξέλιπον, ἐκ δὲ τῶν ἀγρῶν ἐσκευαγώγουν εἰς τὴν πόλιν &c. B.

Ἀπεστάλη μὲν ὁ Δημοσθένης αἱρεθεὶς] Vulgati omnes exhibent, ἀπεστάλη μὲν ὁ Δημοσθένης· αἱρεθεὶς δέ. Istud δὲ quam supervacuum sit, quis non videt? Delevi ergo secutus MS. Bodl. et ineptam post vocem Δημοσθένης distinctionem tollens, veram, nisi fallor, lectionem exhibui. Idem.

Πρεσβευτὴς] Duæ erant Atheniensium ad Alexandrum legationes (uti constat ex Justin. l. 11. et Diodor. l. 17.) quas Plutarchus non distinguit. Ad primam, quæ ante direptionem Thebarum accidit, designatus est Demosthenes, testibus Diodoro et Æschine. Idem.

Δείσας — ἀφῆκεν] Vide eundem Diodorum et Æsch. in Ctes. 50. Idem.

Ἐζήτει πέμπων] Lego (quanquam reclamantibus quatuor codicibus) sine ulla dubitatione ἐξῄτει, ab ἐξαιτέω, et sic Lapus vertit, *misit ad cives deposcendos, per legatos dedi sibi postulavit decem principes cives.* ζητεῖν verbum hic minus esset significans. et ζ et ξ, item η μονόφθογγος, et ῃ δίφθογγος sæpe permutantur. Mox, πρεσβεύσειν pro πρεσβεύειν eodem modo ειν pro σειν positum. Wolf.

Ἐξῄτει] Loco τοῦ ΕΖΗΤΕΙ reposui e MS. Bodl. vocem ad Alexandri majestatem magis accommodatam; maxime cum videam Plutarchum in Phocione eandem rem narrare his verbis: ΕΞΗΤΕΙΤΟ τοὺς περὶ Δημοσθένην &c. p. 749 C. et paulo post: κᾂν Νικοκλέα ΕΞΑΙΤΗΙ, διδόναι κελεύσω. Ut obiter notem, simili modo bis corrigendus est Arrianus lib. 1. qui quidem ipse paucis versibus interpositis habet Χαρίδημον μόνον τῶν ΕΞΑΙΤΗΘΕΝΤΩΝ, &c. B.

Δέκα—εἰρήκασιν] Arrianus Demonis et Callisthenis non meminit; sed eorum loco Hyperidem numerat, Charetem etiam et Diotimum, qui, sicut Charidemus, στρατηγοὶ magis erant, quam δημαγωγοὶ, adeoque de his intelligendus est Justinus, l. 11. 4. *Ita—bellum remisit, ut oratores et duces, quorum fiducia toties rebellent, sibi dedantur.—Eo res reducta est, ut retentis oratoribus, duces in exilium agerentur.* — B.

Ὡς οἱ πλεῖστοι] *Ut plerique iidemque probatissimi scriptores tradunt, hos octo.* Wolf.

Τούσδε, Δημοσθένη &c.] Hi nempe maxime, referente Arriano lib. 1. Athenienses in Macedonas concitare sueti sunt. Post Demosthenem, cæterorum facile princeps erat Lycurgus, quippe non modo orator eloquentissimus, sed vir sanctus, integer, vitiisque et corruptelis immunis, quibus cæteri tenebantur. Stratocles, eo mortuo, decrevit imaginem ejus in foro statuendam, et liberis ejus victum in Prytaneo præbendum. Exstat unica ejus oratio contra Leocratem pulcherrima. — Demon (apud vulgatos vitiose Δάμων, sequor MS. Bodl.) erat Demosthenis sororis filius, frater Democharis, secundum Athenæum, lib. 13.— Charidemus solus (secundum Arrianum)

λύευκτον, Ἐφιάλτην, Λυκοῦργον, [1] Μυροκλέα, Δήμωνα, Καλλισθένη, Χαρίδημον. Ὅτε καὶ τὸν περὶ τῶν προβάτων λόγον ὁ Δημοσθένης, ὡς τοῖς λύκοις τοὺς κύνας ἐξέδωκε, διηγησάμενος, αὑτὸν μὲν εἴκασε καὶ τοὺς σὺν αὑτῷ κυσὶν ὑπὲρ τοῦ δήμου μαχομένοις, Ἀλέξανδρον δὲ τὸν Μακεδόνα μονόλυκον προσηγόρευσεν. "Ἔτι δ' ὡς" (ἔφη) "τοὺς ἐμπόρους ὁρῶμεν, ὅταν ἐν τρυβλίῳ δεῖγμα περιφέρωσι, δι' ὀλίγων πυρῶν τοὺς πολλοὺς πιπράσκοντας, οὕτως ἐν ἡμῖν λανθάνετε πάντας [2] αὑτοὺς συνεκδιδόντες." Ταῦτα μὲν οὖν Ἀριστόβουλος ὁ Κασανδρεὺς ἱστόρηκε. Βουλευομένων δὲ τῶν Ἀθηναίων καὶ διαπορούντων, ὁ Δημάδης λαβὼν πέντε τάλαντα παρὰ τῶν ἀνδρῶν, ὡμολόγησε πρεσβεύσειν καὶ δεήσεσθαι τοῦ βασιλέως ὑπὲρ αὐτῶν· εἴτε τῇ φιλίᾳ πιστεύων, εἴτε προσδοκῶν μεστὸν εὑρήσειν, ὥσπερ λέοντα, φόνου κεκορεσμένον. Ἔπεισε δ' οὖν καὶ παρητήσατο τοὺς ἄνδρας ὁ Δημάδης, καὶ διήλλαξεν αὐτῷ τὴν πόλιν.

[1] Μοιροκλέα, Δάμωνα,

[2] αὐτοὺς

Alexandro instante exulavit. Transfugiens ergo ad Darium, cum regibus uti nesciret, sed eum libere nimis et cum παῤῥησίᾳ Democratica de belli apparatu moneret, a Dario capite truncatus licentiæ pœnas dedit. Q. Curt. 3. 5. — Ephialtes, missus ad Darium legatus, magnam vim auri ab eo accepit, quam oratoribus et Demostheni nominatim tribueret, quo magis bellum Philippo inferendum suaderent. Cave confundas eum cum altero Ephialte, §. ιδ'. Hic (Olymp. 111. 3.) eruptione ex Halicarnasso urbe in Macedonas facta, fortissime dimicans periit. Diodor. 17. B.

Ὡς τοῖς] Prius ὃς τοῖς, nullo sensu. Ed. Florentina et tres Codices MSS. habent ὡς. Du Soul mavult ἃ τοῖς, nimis elegans et curiosus, ut mihi videtur, in scriptore non nimis eleganti. B.

Μονόλυκον] Ἀντὶ τοῦ μονάρχην, βασιλέα, ἢ τύραννον. Lupum ob sævitiam. μονόλυκον quod solus rerum potiretur. Wolf.

Μονόλυκος] Alias vocantur μονοπεῖραι et μονιοὶ, genus luporum sævissimum et immansuetum, qui non, ut cæteri, turmatim, sed seorsim prædam venantur. Ἀνθρωποφαγοῦσι μᾶλλον οἱ ΜΟΝΟΠΕΙΡΑΙ τῶν λύκων: Aristot. Hist. Anim. l. 8. c. 5. Exstat vox μονόλυκος apud Arati Phæn. v. 1124.

Καὶ λύκος, ὁππότε μακρὰ ΜΟΝΟΛΛΥΚΟΣ ὠρύηται.

Ubi Theon Scholiastes ita explicat, λύκοι κατὰ ΜΟΝΑΣ γενόμενοι. Vitam eorum solitariam memorat Lucian. in Epist. Saturni. οὐ δὲ ἡδὺ μόνον ἐμπίμπλασθαι, ὥσπερ τοὺς λέοντάς φασι, καὶ τοὺς ΜΟΝΙΟΥΣ τῶν λύκων. Et in Timone. ΜΟΝΗΡΗΣ δὲ ἡ δίαιτα, καθάπερ τοῖς λύκοις. Plura vide apud Bocharti Hieroz. l. 3. c. 10. Hæc, credo, contra Ælianum sufficient, quo auctore, ὁ τέλειος καὶ μέγιστος λύκος καλοῖτ' ἂν ΜΟΝΟΛΥΚΟΣ. Hist. Anim. l. 7. c. 47. — Immanem hominis ambitionem, qui nec æqualem potentiæ, neque participem gloriæ ferre potuit, depingere voluit Demosthenes. B.

Ἀριστόβουλος] Aristobulus, quem se plurimum sequi fatetur Arrianus, comes erat Alexandri, cujus res gestas descripsit. Ei mandavit Alexander, ut Cyri sepulcrum instauraret. Historiam tamen ejus non æque placuisse regi constat, siquidem cum legeret prælii cum Poro commissi narrationem, indignabundus librum misit in profluentem. Idem.

Παρὰ τῶν ἀνδρῶν] Decem aut octo illos oratores intellige, non populum Atheniensem. Wolf.

Καὶ παρητήσατο τοὺς ἄνδρας] *In gratiam posuit viros, et urbem eorum reconciliavit.* Lapus rectius legisse videtur αὐτῷ, scilicet Ἀλεξάνδρῳ, *ipsi.* Idem.

Αὐτῷ] Ita Codex MS. prius αὐτῶν. B.

κδ΄. Ἀπελθόντος δ᾽ Ἀλεξάνδρου, μεγάλοι μὲν ἦσαν οὗτοι, ταπεινὰ δ᾽ ἔπραττεν ὁ Δημοσθένης. Κινουμένῳ δὲ Ἄγιδι τῷ Σπαρτιάτῃ βραχέα συνεκινήθη πάλιν, εἶτ᾽ ἔπτηξε, τῶν μὲν Ἀθηναίων οὐ συνεξαναστάντων, τοῦ δ᾽ Ἄγιδος πεσόντος καὶ τῶν Λακεδαιμονίων συντριβέντων. Εἰσήχθη δὲ τότε καὶ ἡ περὶ τοῦ στεφάνου γραφὴ κατὰ Κτησιφῶντος, γραφεῖσα μὲν ἐπὶ Χαιρώνδου ἄρχοντος, μικρὸν ἐπάνω τῶν Χαιρωνικῶν, κριθεῖσα δ᾽ ὕστερον ἔτεσι δέκα ἐπ᾽ Ἀριστοφῶντος, γενομένη δὲ, ὡς οὐδεμία τῶν δημοσίων, περιβόητος, διά τε τὴν δόξαν τῶν λεγόντων, καὶ τὴν τῶν δικαζόντων εὐγένειαν· οἳ τοῖς ἐλαύνουσι τὸν Δημοσθένη, τότε πλεῖστον δυναμένοις καὶ μακεδονίζουσιν, οὐ προήκαντο τὴν κατ᾽ αὐτοῦ ψῆφον, ἀλλ᾽ οὕτω λαμπρῶς ἀπέλυσαν, ὥστε τὸ πέμπτον μέρος τῶν ψήφων Αἰσχίνην μὴ μεταλαβεῖν. Ἐκεῖνος μὲν οὖν εὐθὺς ἐκ τῆς πόλεως ᾤχετ᾽ ἀπιὼν, καὶ περὶ Ῥόδον καὶ Ἰωνίαν σοφιστεύων κατεβίωσε.

κέ. Μετ᾽ οὐ πολὺ δὲ Ἅρπαλος ἧκεν ἐξ Ἀσίας εἰς τὰς

κδ΄. Μεγάλοι μὲν ἦσαν οὗτοι] Scilicet, οἵ τ᾽ Ἀλεξάνδρου φρονοῦντες, καὶ μακεδονίζοντες. Wolf.

Οὗτοι] Quinam hi sunt? Demades nimirum, de quo in continente fuit expositum? Qui autem porro? Nil de quoquam alio est commemoratum. Paret, Atheniensium eos designari, qui Macedonibus studerent. Verum οὗτοι offendit, sic projectum. Reisk.

Κινουμένῳ δὲ Ἄγιδι] Agis rex Lacedæmonius fortissime dimicans ab Antipatro victus est, Alexandro in Persia agente, Olymp. 112. 3. Vide Diodor. l. 17. et Q. Curtium 6. 1. B.

Γραφεῖσα — Ἀριστοφῶντος] Inter Chærondam et Aristophontem Archontes octo tantum anni intercesserunt secundum Diodorum, quod notat Palmerius. Adeoque Plutarchi, qui decem numerat, calculum improbarem, utpote auctoris in temporum rationibus non nimis diligentis, nisi M. Tullius de opt. gen. dicendi diserte diceret, *Hanc mulctam Æschines a Ctesiphonte petiit quadriennio ante Philippi Macedonis mortem.* Obiisse Philippum anno Olymp. 111. 1. omnes consentiunt: sexennio post, Olymp. 112. 3. Archon erat Aristophon (quamvis Dion. Halicarn. nescio quos secutus octo annos a Philippi interitu ad eum numerat) adeo ut, sive M. Tullium sequaris, constet per decennium causam hæsisse; sive Dionysium, capto a Chæronda supputandi initio, idem numerus conficitur.—Hoc interea certissimum est ex ipsius Æschinis verbis in Ctes. 52. Agide recens debellato factum esse judicium, quod in eundem Aristophontem, auctore Diodoro, cadit.—Locus Dionysii corruptus esse videtur. B.

Ἐπὶ Χαιρώνδου] Fortasse, Χαιρωνίδου. Χαιρώνδας, ut Ἐπαμινώνδας, nescio quid Doricum potius quam Atticum sonare videtur. In vita Isocratis ἐτελεύτα ἐπὶ Χαιρωνίδου ἄρχοντος. Quod nomen alii codices non per αι sed per ε scribunt, ut et Χαιρώνειαν: ut proclivis est oscitantiæ lapsus. Wolf.

Μικρὸν ἐπάνω τῶν Χαιρωνικῶν] Id est, ὀλίγῳ πρὸ τῆς ἐν Χαιρωνείᾳ μάχης. Idem.

Ὡς οὐδεμία τῶν δημοσίων] Fuerunt enim judicia, vel δημόσια vel ἰδιωτικά. Idem.

Τὸ πέμπτον μέρος τῶν ψήφων] Id quod ignominiosum erat accusatori. sicut ipse Demosthenes in Orat. περὶ στεφάνου, his verbis significat. σοὶ δὲ συκοφάντῃ μὲν εἶναι δοκεῖν ὑπάρχει· κινδυνεύεις δὲ εἴτε δεῖ ἔτι σε τοῦτο ποιεῖν, εἴτε ἤδη πεπαῦσθαι μὴ μεταλαβόντα τὸ πέμπτον μέρος τῶν ψήφων. ordinalia usque ad 20. non acuuntur. πέμπτος *quintus*, παρὰ τὰ πέντε· πεμπτὸς, παρὰ τὸ πέπεμπται. unde μεταπεμπτὸς *accercitus*. Idem.

κέ. Μετ᾽ οὐ πολὺ] Olymp. 113. 2. vide

Ἀθήνας, ἀποδρὰς Ἀλέξανδρον, [1] αὑτῷ τε τὰ πράγματα συνειδὼς πονηρὰ δι' ἀσωτίαν, κἀκεῖνον ἤδη χαλεπὸν ὄντα τοῖς φίλοις δεδοικώς. Καταφυγόντος δὲ πρὸς τὸν δῆμον αὐτοῦ, καὶ μετὰ τῶν χρημάτων καὶ τῶν νεῶν αὑτὸν παραδιδόντος, οἱ μὲν ἄλλοι ῥήτορες εὐθὺς ἐποφθαλμιάσαντες πρὸς τὸν πλοῦτον, ἐβοήθουν, καὶ συνέπειθον τοὺς Ἀθηναίους δέχεσθαι καὶ σώζειν τὸν ἱκέτην. Ὁ δὲ Δημοσθένης πρῶτον μὲν ἀπελαύνειν συνεβούλευε τὸν Ἅρπαλον, καὶ φυλάττεσθαι μὴ τὴν πόλιν ἐμβάλωσιν εἰς πόλεμον, ἐξ οὐκ ἀναγκαίας καὶ ἀδίκου προφάσεως. Ἡμέραις δ' ὀλίγαις ὕστερον ἐξεταζομένων τῶν χρημάτων, ἰδὼν αὐτὸν ὁ Ἅρπαλος ἡσθέντα βασιλικῇ κύλικι, καὶ καταμανθάνοντα τὴν τορείαν καὶ τὸ εἶδος, ἐκέλευε διαβαστάσαντα, τὴν ὁλκὴν τοῦ χρυσίου σκέψασθαι. Θαυμάσαντος δὲ τοῦ Δημοσθένους τὸ βάρος, καὶ πυθομένου πόσον ἄγει, μειδιάσας ὁ Ἅρπαλος, "Ἄξει σοι" (φησὶν) "εἴκοσι τάλαντα·" καὶ γενομένης τάχιστα τῆς νυκτὸς, ἔπεμψεν αὐτῷ τὴν κύλικα, μετὰ τῶν εἴκοσι ταλάντων. Ἦν δ' ἄρα δεινὸς ὁ Ἅρπαλος ἐρωτικοῦ πρὸς χρυσίον ἀνδρὸς [2] ὄψει, καὶ διαχύσει καὶ βολαῖς ὀμμάτων ἀνευρεῖν ἦθος. Οὐ γὰρ ἀντέσχεν ὁ Δημοσθένης, ἀλλὰ πληγεὶς ὑπὸ τῆς δωροδοκίας, ὥσπερ παραδεδεγμένος φρουρὰν, προσκεχωρήκει τῷ Ἁρπάλῳ. Καὶ μεθ' ἡμέραν εὖ καὶ καλῶς ἐρίοις καὶ ταινίαις κατὰ τοῦ τραχήλου [3] κατελιξάμενος, εἰς τὴν ἐκκλησίαν προῆλθε· καὶ κελευόντων ἀνίστασθαι καὶ

[1] αὑτῷ [2] * ὄψεως διαχύσει [3] * καθελιξάμενος

Diodorum l. 17. B.

Δι' ἀσωτίαν] De Harpali luxuriis multa vide apud Athenæum lib. 13. Diodor. 17. et Plut. in Phocione. Idem.

Ἀπελαύνειν συνεβούλευε] Hoc plenius testatur Plutarchus περὶ δυσωπίας p. 531. A. τῶν Ἀθηναίων ὡρμημένων Ἁρπάλῳ βοηθεῖν, καὶ κορυσαμένων ἐπὶ τὸν Ἀλέξανδρον ἐξαίφνης ἐπεφάνη Φιλόξενος, ὁ τῶν ἐπὶ θαλάττῃ πραγμάτων Ἀλεξάνδρου στρατηγός. Ἐκπλαγέντος δὲ τοῦ δήμου καὶ σιωπῶντος διὰ τὸν φόβον, ὁ Δημοσθένης, Τί ποιήσουσιν, ἔφη, τὸν ἥλιον ἰδόντες, οἱ μὴ δυνάμενοι πρὸς τὸν λύχνον ἀντιβλέπειν; Et hoc suum consilium appellat Demosthenes, testem et argumentum innocentiæ suæ. Epist. 2. p. 1470. ed. Reisk. τῶν γραφέντων περὶ Ἁρπάλου μόνα τὰ ἐμοὶ πεπραγμένα ἀνέγκλητον πεποίηκε τὴν πόλιν. Ipsius decreti, quod tulit Demosthenes, sensum nobis exhibet Dinarchus. Ἔγραψεν αὐτὸς ἐν τῷ δήμῳ Δημοσθένης, ὡς δηλονότι δικαίου τοῦ πράγματος ὄντος, φυλάττειν Ἀλεξάνδρῳ τὰ εἰς τὴν Ἀττικὴν ἀφικόμενα μετὰ Ἁρπάλου χρήματα.—κατὰ Δημ. Ed. H. Steph. p. 101. B.

Κύλικι βασιλικῇ] Alii βαρβαρικῇ. Wolf.

Τὴν τορείαν καὶ τὸ εἶδος] *Cælaturam et formam.* οὕτω γέρων ἀλώπηξ δωροδοκεῖταί τε καὶ ἁλίσκεται πάγῃ. Idem.

Ὄψει] Prius ὄψιν. Vocem hanc reponendam e duobus MSS. monuit Bryanus. B.

Καὶ μεθ' ἡμέραν] Ἐπειδὴ ἡμέρα ἐγένετο, alias *interdiu*, ut νύκτωρ καὶ μεθ' ἡμέραν *noctu atque interdiu*, interdum pro *postridie*, ἐλλειπτικῶς, μετ' ἐκείνην τὴν ἡμέραν, τῇ ὑστεραίᾳ, si Lexicis credimus. Wolf.

Κατὰ τοῦ τραχήλου κατελιξάμενος] *Involutus*, vel subintelligitur, ἑαυτὸν, ab ἑλίσσω. Idem.

λέγειν, διένευεν ὡς ἀποκεκομμένης αὐτῷ τῆς φωνῆς. Οἱ δ' εὐφυεῖς χλευάζοντες, "οὐχ ὑπὸ συνάγχης" ἔφραζον, "ἀλλ' [1] ἀπ' ἀργυράγχης εἰλῆφθαι νύκτωρ τὸν δημαγωγόν." Ὕστερον δὲ τοῦ δήμου παντὸς αἰσθομένου τὴν δωροδοκίαν, καὶ βουλόμενον ἀπολογεῖσθαι καὶ πείθειν οὐκ ἐῶντος, ἀλλὰ χαλεπαίνοντος καὶ θορυβοῦντος, ἀναστάς τις ἔσκωψεν, εἰπὼν, "Οὐκ ἀκούσεσθε, ὦ ἄνδρες Ἀθηναῖοι, τοῦ τὴν κύλικα ἔχοντος;" Τότε μὲν οὖν ἀπέπεμψαν ἐκ τῆς πόλεως τὸν Ἅρπαλον· δεδιότες δὲ μὴ λόγον ἀπαιτῶνται χρημάτων, ὧν διηρπάκεσαν οἱ ῥήτορες, ζήτησιν ἐποιοῦντο νεανικὴν, καὶ τὰς οἰκίας ἐπιόντες ἠρεύνων, πλὴν τῆς Καλλικλέους τοῦ Ἀῤῥενίδου. Μόνην γὰρ τὴν τούτου νεωστὶ γεγαμηκότος οὐκ εἴασαν ἐλεγχθῆναι, νύμφης ἔνδον οὔσης, ὡς ἱστορεῖ Θεόπομπος.

κϛʹ. Ὁ δὲ Δημοσθένης ὁμόσε χωρῶν, εἰσήνεγκε ψήφισμα, τὴν ἐξ Ἀρείου πάγου βουλὴν ἐξετάσαι τὸ πρᾶγμα, καὶ τοὺς ἐκείνῃ δόξαντας ἀδικεῖν δοῦναι δίκην. ἐν δὲ πρώτοις αὐτοῦ τῆς βουλῆς ἐκείνου καταψηφισαμένης, εἰσῆλθε μὲν

[1] ὑπ'

Οὐχ ὑπὸ συνάγχης] Critolaus apud Gellium Noct. Att. 11. 9. fabulam hanc de legatis Milesiis, non de Harpalo narrat. Dictum hoc de ἀργυράγχῃ Julius Pollux l. 7. c. 24. tribuit Demadi; quod minus verisimile est: siquidem ipse Demades auri ab Harpalo accepti condemnatus est, teste Dinarcho in Aristog. B.

Βουλόμενον] Vulg. βουλομένου. Hoc reposui e duobus MSS. monente Du Soul. Idem.

Καὶ πείθειν οὐκ ἐῶντος] Conatum hic, non effectum significat, τὸ πείθειν, ut sæpe alias. οὐ τοίνυν ἀεὶ πειθὼ, τύραννος τῶν φρενῶν, ἄλλωστ' εἰς ἀκοὰς τυραννικὰς ἐμπεσοῦσα, ἢ προαπηχθημένη διὰ πενηρίαν ἢ ὑποψίαν φιλαπεχθήμονα. Hervagiana editio omisit hæc: πείθειν οὐκ ἐῶντος, ἀλλὰ καὶ ἀγανακτοῦντος καὶ θορυβοῦντος, ἀναστὰς, &c. Wolf.

Οὐκ ἀκούσεσθε—ἔχοντος] Ante hæc verba inserit Codex MS. ἐν γὰρ τοῖς συμποσίοις τὴν κύλικα ἔχοντες ᾖδον τὰ λεγόμενα σκόλια, quod ut concedam esse glossema, hujus tamen dicti acumen optime explicare persuasum habeo. Σκόλια quippe erant carmina convivalia, quorum exempla vide apud Athenæum l. 15. Alii ita accipiunt, "Nonne audictis Pincernam regium?" quod scilicet ἡ κύλιξ supra p. cclxxiii. v. 12. dicitur βασιλικὴ, cujus tamen locum non uno in Codice obtinet βαρβαρικὴ. B.

Καλλικλέους] Fœnerator erat. Vide Plut. in Phocione. Du Soul.

Νύμφης ἔνδον οὔσης] Vide verecundiam Atheniensium, et Ulpianus libro secundo Pandectarum: In jus, inquit, vocari non debet, qui uxorem ducit. Wolf.

κϛʹ Ὁμόσε χωρῶν] *Prope accedens, rem strenue sucipiens,* ut scilicet illam suspicionem a se emoliretur. Ita sorex suo indicio perit. Idem.

Εἰσήνεγκε—δίκην] Auctor est Dinarchus κατὰ Δημοσθ.—Μόνος συ τῶν πώποτε ἀποπεφασμένων ἠξίωσας ἑκὼν σεαυτῷ τούτους κριτὰς καὶ ζητητὰς γενέσθαι, καὶ ἔγραψας κατὰ σαυτοῦ τὸ ψήφισμα, καὶ τὸν δῆμον ἐποιήσω μάρτυρα τῶν ὡμολογουμένων, ὁρισάμενος σεαυτῷ ζημίαν εἶναι θάνατον, ἐὰν ἀποφήνῃ ἡ βουλὴ τῶν χρημάτων εἰληφότα τι τῶν εἰς τὴν χώραν ὑπὸ Ἁρπάλου κομισθέντων. Ed. II. Steph. p. 98. B.

Καταψηφισαμένης] Lucianus in Encom. Demosth. totum hoc de Harpalo crimen pro falso habet, et Hyperidem perfidiæ in Demosthenem accusat, condemnationis ejus ministrum. Sed nisi omnem historiæ fidem derogemus, nisi senatum etiam Areopagiticum conjurationis in Demosthenem socios fuisse insimulemus, (quod quis dixerit?) fatendum est eum jure

εἰς τὸ δικαστήριον, ὄφλων δὲ πεντήκοντα ταλάντων δίκην, καὶ παραδοθεὶς εἰς τὸ δεσμωτήριον, αἰσχύνῃ τῆς αἰτίας, [1] φασὶ, καὶ δι' ἀσθένειαν τοῦ σώματος, οὐ δυναμένου φέρειν τὸν εἱργμὸν, [2] ἀπέδρα, τοὺς μὲν [3] λαθὼν, τῶν δὲ λαθεῖν ἐξουσίαν δόντων. Λέγεται γοῦν, ὡς οὐ μακρὰν τοῦ ἄστεος φεύγων αἴσθοιτό τινας τῶν διαφόρων αὐτῷ πολιτῶν ἐπιδιώκοντας, καὶ βούλοιτο μὲν αὐτὸν ἀποκρύπτειν. Ὡς δ' ἐκεῖνοι φθεγξάμενοι τοὔνομα, καὶ προσελθόντες ἐγγὺς, ἐδέοντο λαβεῖν ἐφόδια παρ' αὐτῶν, ἐπ' αὐτὸ τοῦτο κομίζοντες ἀργύριον οἴκοθεν, καὶ τούτου χάριν ἐπιδιώξαντες [4] αὐτὸν, ἅμα δὲ θαῤῥεῖν παρεκάλουν, καὶ μὴ φέρειν ἀνιαρῶς τὸ συμβεβηκός· ἔτι μᾶλλον ἀνακλαύσασθαι τὸν Δημοσθένη, καὶ εἰπεῖν, "Πῶς δ' οὐ μέλλω φέρειν βαρέως, ἀπολιπὼν πόλιν ἐχθροὺς τοιούτους ἔχουσαν, οἵους ἐν ἑτέρᾳ φίλους εὑρεῖν οὐ ῥᾴδιόν ἐστιν;" Ἤνεγκε δὲ τὴν φυγὴν μαλακῶς, ἐν Αἰγίνῃ καὶ Τροιζῆνι καθεζόμενος τὰ πολλὰ, καὶ

[1] * φησὶ [2] ἀποδρᾶναι [3] λαθόντα [4] [αὐτῷ]

pœnas dedisse. Libet tamen apponere, quod ad eum crimine liberandum protulit Pausanias. Valeat, quantum valere potest. Harpalo mortuo, τῶν χρημάτων (Harpalicorum) διοικητὴν, φυγόντα ἐς Ῥόδον, Φιλόξενος Μακεδὼν συνέλαβεν.—τὸν δὲ παῖδα τοῦτον ἔχων ἤλεγχεν, ἐς ὃ πάντα ἐπύθετο, ὅσοι τῶν Ἁρπάλου τι ἔτυχον εἰληφότες. Μαθὼν δὲ, ἐς Ἀθήνας γράμματα ἐπέστελλεν—τοὺς λαβόντας παρὰ Ἁρπάλου καταριθμῶν—οὐδὲ ἐμνημόνευσεν ἀρχὴν Δημοσθένους, Ἀλεξάνδρῳ τε ἐς τὰ μάλιστα ἀπεχθανομένου, καὶ αὐτὸς ἰδίᾳ προσκρούσας. Pausan. Corinth. p. 148. IDEM.

Εἰσῆλθε μὲν εἰς τὸ δικαστήριον] *Se judicio stitit.* Lapus videtur legisse δεσμωτήριον, sed perperam. Verum paulo post legendum, καὶ παραδοθεὶς εἰς τὸ δεσμωτήριον. WOLF.

Αἰσχύνῃ—ἀσθένειαν] Οὐ γὰρ ἀπεγνωκὼς ὑμᾶς, οὐδ' ἑτέρωσε βλέπων οὐδαμοῦ μετέστην· ἀλλὰ πρῶτον μὲν τοὔνειδος τῆς εἱρκτῆς χαλεπῶς τῷ λογισμῷ φέρων· εἶτα διὰ τὴν ἡλικίαν οὐκ ἂν οἷός τ' ὢν τῷ σώματι τὴν κακοπάθειαν ὑπενεγκεῖν. Demosth. Ep. 2. p. 1471. ed. Reisk. B.

Φησὶ] De meo dedi, pro vulgari φασί. *Demosthenes ipse ait,* in epistolis nempe, *se aufugisse e custodia, quod impar esset contumeliæ carcerisque molestiis ferendis.* REISK.

Ἐπ' αὐτὸ τοῦτο κομίζοντες] Referri potest ad ἐκεῖνοι, οἵτινες ἐκόμιζον. Sed malim, ἐπ' αὐτῷ τούτῳ κομιζόντων. WOLF.

Αὐτὸν] Ita in duobus MSS. Vulg. αὐτῷ. B.

Αὐτῷ] Uncis inclusi, ut quo facile careatur. Nam ut constructionem verbi ἐπιδιώκειν cum dativo damnem, induci nequeo, quæ sic possit defendi, ut dicatur idem valere, atque διώκειν ἐπί τινι, celerem cursum, sive semet, sive equum, incitare, quo aliquem fugientem consequaris. REISK.

Πῶς δ' οὐ μέλλω] Aliter hæc exstant apud Photii Biblioth. 265. uti notavit Dacierius. Ille refert Æschini in exilium abeunti Demosthenem integrum talentum dono dedisse, et simul monuisse, ut calamitatem æquo animo ferret, Æschinem vero in has voces prorupisse, καὶ πῶς ἂν δυναίμην, τοιαύτης ἀποστερούμενος πόλεως, ἐν ᾗ καὶ τοὺς δοκοῦντας ἐχθροὺς εἶναι τῶν ἀλλαχόθι φίλων χρηστότητι καὶ καλοκαγαθίᾳ εὑρεῖν ἐστὶ διαφέροντας; Non præteriit hanc Demosthenis humanitatem Scriptor Vit. 10. Rhet. p. 845. Et exstat Severi Alexand. Ethopœia cujus argumentum est, τίνας ἂν εἴποι λόγους Αἰσχίνης, Δημοσθένους διδόντος αὐτῷ ἐφόδιον. Ctesiphontis certe erga se officia, et liberalem in calamitate inimici misericordiam ipse laudat Æschines Ep. 2. p. 206. B.

Τροιζῆνι] Urbs in litore Argolico maritima, ex adverso Athenarum trans sinum Saronicum sita. Huc Athenienses, cum

πρὸς τὴν Ἀττικὴν ἀποβλέπων δεδακρυμένος, ὥστε φωνὰς οὐκ εὐγνώμονας οὐδ' ὁμολογούσας τοῖς ἐν τῇ πολιτείᾳ νεανιεύμασιν ἀπομνημονεύεσθαι. Λέγεται γὰρ, ἐκ τοῦ ἄστεος ἀπαλλαττόμενος, καὶ πρὸς τὴν ἀκρόπολιν ἀνατείνας τὰς χεῖρας, εἰπεῖν, "Ὦ δέσποινα πολιὰς, τί [1] δὲ τρισὶ τοῖς χαλεπωτάτοις χαίρεις θηρίοις, γλαυκὶ καὶ δράκοντι καὶ δήμῳ;" Τοὺς δὲ προσιόντας αὐτῷ καὶ συνδιατρίβοντας νεανίσκους ἀπέτρεπε τῆς πολιτείας, λέγων, "ὡς εἰ δυοῖν προκειμένων ὁδῶν ἀπ' ἀρχῆς, [2] τῆς ἐπὶ τὸ βῆμα καὶ τὴν ἐκκλησίαν, τῆς δ' ἄντικρυς εἰς τὸν ὄλεθρον, ἐτύγχανε δὲ προειδὼς τὰ κατὰ τὴν πολιτείαν κακὰ, φόβους, καὶ φθόνους, καὶ διαβολὰς, καὶ ἀγῶνας, ἐπὶ ταύτην ἂν ὁρμῆσαι τὴν εὐθὺ τοῦ θανάτου τείνουσαν."

κζ'. Ἀλλὰ γὰρ, ἔτι φεύγοντος αὐτοῦ τὴν εἰρημένην φυγὴν, Ἀλέξανδρος μὲν ἐτελεύτησε, τὰ δ' Ἑλληνικὰ συνίσταντο πάλιν, [3] Λεωσθένους ἀνδραγαθοῦντος, καὶ περιτειχίζοντος Ἀντίπατρον ἐν Λαμίᾳ πολιορκούμενον. Πυθέας μὲν οὖν ὁ ῥήτωρ καὶ Καλλιμέδων ὁ Κάραβος, ἐξ Ἀθηνῶν φεύγοντες, Ἀντιπάτρῳ προσεγένοντο, καὶ μετὰ τῶν ἐκείνου φίλων καὶ πρέσβεων περιιόντες οὐκ εἴων ἀφίστασθαι τοὺς Ἕλληνας,

[1] δὴ [2] τῆς μὲν ἐπὶ [3] Λεοσθένους

Xerxes Græciam invaderet, uxores liberosque suos miserunt. — vide Demosth. Ep. 2. ubi se partem exilii in Calauria egisse dicit. B.

Φωνὰς οὐκ εὐγνώμονας] Εὐγνωμοσύνην, Suidas εὔνοιαν καὶ γνησιότητα interpretatur. Varinus etiam εὐχαριστίαν. voces igitur edidit, vel malevolas, vel ingratas adversus patriam, vel se parum dignas. Pausanias in Atticis de Calauria, et Demosthenis interitu loquens, Δημοσθένει μὲν, inquit, ἡ πρὸς Ἀθηναίους ἄγαν εὔνοια ἐς τοῦτ' ἐχώρησεν. εὖ δὲ μοὶ λελέχθαι δοκεῖ, ἄνδρα ἀφειδῶς ἐσπεσόντα ἐς πολιτείαν, καὶ πιστὰ ἡγησάμενον τὰ τοῦ δήμου, μήποτε καλῶς τελευτῆσαι. Wolf.

Πολιὰς] Quæ alioqui πολιοῦχος Ἀθηνᾶ, *Minerva præses urbis* dicitur. Idem.

Γλαυκὶ καὶ δράκοντι καὶ δήμῳ] Minerva præses ac patrona Athenarum fuit: Athenis autem δημοκρατία erat, quæ et δῆμος sæpe dicitur. Phocylides: λαῷ μὴ πίστευε· πολύτροπός ἐστιν ὅμιλος. Draco autem et noctua Minervæ sacri erant, eique appingebantur. Idem.

κζ'. Ἀλέξανδρος—ἐτελεύτησε] Decessit Alexander Olymp. 114. 1. Archonte Hegesia annos 32. menses 8. natus. — Aristobulus apud Arrian. lib. 7. B.

Λεωσθένους] Hunc ducem Atheniensium, dum re contra Macedones bene gesta ferocius hostem invaderet, saxo ictum in acie occubuisse scribit Suidas e Diodoro Siculo lib. 17. folio 621. Wolf.

Ἐν Λαμίᾳ] Thessaliæ urbe, ubi Græci ductu et auspiciis Atheniensium Antipatrum vicerunt. Suidas. Idem.

Λαμίᾳ] Lamia, Urbs Thessaliæ. Belli Lamiaci historiam vide apud Diodor. 18. Justin. 11. 5. Plut. in Phocione, et Pausan. Att. p. 45. B.

Καλλιμέδων] Callimedon Carabus Atheniensis, Macedonum mercenarius, Antipatro post victoriam ad Cranonem auctor erat, ne Phocioni pro Athenis deprecanti crederet; tandem a Polysperchonte cum Demetrio Phalereo capitis damnatus est. Æsch. Ep. 12. Plut. in Phocione p. 754. 758. Idem.

Ὁ Κάραβος] *Locusta* vel *scarabeus*. Cognomentum opinor ludibrii causa inditum. Wolf.

Οὐδὲ προσέχειν Ἀθηναίοις] *Neque auscultare sinebant Atheniensibus, abalienabant*

οὐδὲ προσέχειν τοῖς Ἀθηναίοις. Δημοσθένης δὲ, τοῖς ἐξ ἄστεος πρεσβεύουσι προσμίξας ἑαυτὸν, ἠγωνίζετο καὶ συνέπραττεν ὅπως αἱ πόλεις συνεπιθήσονται τοῖς Μακεδόσι, καὶ συνεκβαλοῦσιν αὐτοὺς τῆς Ἑλλάδος. Ἐν δ᾽ Ἀρκαδίᾳ καὶ λοιδορίαν τοῦ Πυθέου καὶ τοῦ Δημοσθένους γενέσθαι πρὸς ἀλλήλους, εἴρηκεν ὁ Φύλαρχος, ἐν ἐκκλησίᾳ τοῦ μὲν ὑπὲρ τῶν Μακεδόνων, τοῦ δ᾽ ὑπὲρ τῶν Ἑλλήνων λέγοντος. Λέγεται δὲ τὸν μὲν Πυθέαν εἰπεῖν "ὅτι, καθάπερ οἰκίαν, εἰς ἣν ὄνειον εἰσφέρεται γάλα, κακόν τι πάντως ἔχειν νομίζομεν, οὕτω καὶ πόλιν ἀνάγκη νοσεῖν, εἰς ἣν Ἀθηναίων πρεσβεία παραγίνεται." Τὸν δὲ Δημοσθένη στρέψαι τὸ παράδειγμα, φήσαντα "καὶ τὸ γάλα τὸ ὄνειον ἐφ᾽ ὑγιείᾳ, καὶ τοὺς Ἀθηναίους παραγίνεσθαι ἐπὶ σωτηρίᾳ τῶν νοσούντων." Ἐφ᾽ οἷς ἡσθεὶς ὁ τῶν Ἀθηναίων δῆμος ψηφίζεται τῷ Δημοσθένει κάθοδον. Τὸ μὲν οὖν ψήφισμα Δήμων ὁ Παιανιεὺς, ἀνεψιὸς ὢν Δημοσθένους, εἰσήνεγκεν. Ἐπέμφθη δὲ τριήρης ἐπ᾽ αὐτὸν εἰς Αἴγιναν. Ἐκ δὲ Πειραιῶς ἀνέβαινεν, οὔτε ἄρχοντος, οὔτε ἱερέως ἀπολειφθέντος, ἀλλὰ καὶ τῶν ἄλλων πολιτῶν ὁμοῦ πάντων ἀπαντώντων καὶ δεχομένων προθύμως· Ὅτε καί φησιν αὐτὸν ὁ Μάγνης Δημήτριος ἀνατείναντα τὰς χεῖρας μακαρίσαι τῆς ἡμέρας ἐκείνης αὐτὸν, "ὡς βέλτιον Ἀλκιβιάδου κατιόντα· πεπεισμένους γὰρ, οὐ βεβιασμένους, ὑπ᾽ αὐτοῦ δέχεσθαι τοὺς πολίτας." Τῆς δὲ χρηματικῆς ζημίας αὐτῷ μενούσης (οὐ γὰρ ἐξῆν χάριτι λῦσαι καταδίκην) ἐσοφίζοντο πρὸς τὸν νόμον. Εἰωθότες γὰρ ἐν τῇ θυσίᾳ τοῦ

ab Atheniensibus. IDEM.

Τοῖς—πρεσβεύουσι] Polyeucto nimirum et Hyperidi. Vide vitam Demosthenis inter 10. Rhetores, et Justin. 11.5. B.

Φύλαρχος] Alii, Φίλαρχος per ι. Lapus Φαληρεὺς legit. WOLF.

Φύλαρχος] Phylarchus vixit ætate Euergetæ et Philopatoris. Scripsit historiarum libros octo et viginti, quos ad Euergetæ mortem perduxit sumpto exordio ab expeditione Pyrrhi in Peloponnesum. B.

Ὄνειον γάλα] *Asininum lac.* hoc candori cutis conferre scribit Plinius lib. 11. cap. 41. utrum autem ejus in medicina aliquis sit usus, viderint medici. Lapus (perperam sane) legisse videtur ὤνιον, vertit enim *lac venale.* Sic in Pausania ἐλαίου βωμὸς ἀντὶ ἐλέου vertit Calderinus, *olei pro misericordiæ ara,* non animadverso mendo librarii. WOLF.

Ἀνεψιὸς ὢν Δημοσθένους] Ἐκ τῆς ἀδελφῆς αὐτοῦ γεγονὼς, Hesychius ἀνεψιοὺς, ἀδελφῶν υἱοὺς interpretatur, hoc est, *fratrum* vel *sororum filios:* subjungit enim, ἀνεψιαδοῦς ἐκ τοῦ ἀνεψιοῦ γεγονὼς, ἢ τῆς ἀνεψιᾶς, *qui e consobrino vel consobrina nati sunt,* hoc est, *sobrini.* ἀδελφιδοῦς autem ἀδελφοῦ υἱὸς ἢ ἀδελφῆς, *nepos e fratre aut sorore.* IDEM.

Ἐψηφίσαντο πρὸς τὸν νόμον] Rectius Hervagius ἐσοφίσαντο, *legi fraudem fecerunt, callida interpretatione legem eluserunt:* quale etiam Spartanorum commentum fuit cum decreverunt, leges Lycurgi ab ea die ratas esse oportere: ne multi cives, qui eas violarant, ignominia notarentur. IDEM.

Διὸς τοῦ σωτῆρος ἀργύριον τελεῖν τοῖς κατασκευάζουσι καὶ κοσμοῦσι τὸν βωμὸν, ἐκείνῳ τότε ταῦτα ποιῆσαι καὶ παρασχεῖν πεντήκοντα ταλάντων ἐξέδωκαν, ὅπερ ἦν τίμημα τῆς καταδίκης.

κή. Οὐ μὴν ἐπὶ πολὺν χρόνον ἀπέλαυσε τῆς πατρίδος κατελθὼν, ἀλλὰ ταχὺ τῶν Ἑλληνικῶν πραγμάτων συντριβέντων, Μεταγειτνιῶνος μὲν ἡ περὶ Κρανῶνα μάχη συνέπεσε, Βοηδρομιῶνος δὲ παρῆλθεν εἰς Μουνυχίαν ἡ φρουρὰ, Πυανεψιῶνος δὲ Δημοσθένης ἀπέθανε τόνδε τὸν τρόπον. Ὡς Ἀντίπατρος καὶ Κρατερὸς ἠγγέλλοντο προσιόντες ἐπὶ τὰς Ἀθήνας, οἱ μὲν περὶ τὸν Δημοσθένη φθάσαντες ὑπεξῆλθον ἐκ τῆς πόλεως, ὁ δὲ δῆμος αὐτῶν θάνατον κατέγνω, Δη-

Ταῦτα ποιῆσαι καὶ παρασχεῖν] Scil. ornare atque instruere aram Jovis Servatoris, et necessaria pompæ præbere. ἐκδιδόναι [v. 3.] dicitur, cum respublica, seu civitas, alicui susceptori elocat opus faciendum certa mercede, quæ merces ei ex ærario refundatur, posteaquam opus præstiterit. Sic hoc loco, cum Demosthenem, ærarium factum, sublevare vellent, quo commodius mulctam dependere posset irrogatam, elocabant ei munus ornandæ aræ Jovis; eaque pro opera condicebant ipsi quinquaginta talenta ex ærario reluenda. Fac decem talenta a Demosthene in apparatum ludorum fuisse faciendum, lucrabatur tamen hoc pacto quadraginta talenta, quæ ipsi, hac pia fraude in legem commissa, remittebantur, quæ lex de mulcta quicquam remitti vetabat ei, cui semel mulcta dicta esset. Reisk.

κη'. Μεταγειτνιῶνος, Βοηδρομιῶνος, Πυανεψιῶνος] Gazam secutus *Julium*, *Augustum*, *Octobrem*, interpretor: non ignarus Georgium Pachymerium in sua historia minime consentire cum eo, aut eum potius qui nomina mensium in marginibus interpretatus est. Qua de re disceptent alii, ἐμοὶ γὰρ φίλον ἔξω πραγμάτων πόδ' ἔχειν. Wolf.

Ἡ περὶ Κρανῶνα μάχη] Plinius libro 4. cap. 8. et 9. Cranonem in Thessalia, et Magnesiam urbem nominat, et lib. 31. fontis calidi Cranone meminit. Idem.

Περὶ Κρανῶνα μάχη] Cranon, urbs Thessaliæ, juxta Peneum sita, ubi Antipater et Craterus junctis copiis Græcos profligabant. Vide Plut. in Phocione 753. Diodor. 18. B.

Εἰς Μουνυχίαν] Locus Atticæ, Suida auctore, maritimus, a rege Munycho sic dictus, seu portus, ut alii. Wolf.

Μουνυχίαν] Portus Atheniensis, in quo erat arx munitissima. Hanc nisi prius sibi traderent, ut præsidium in ea Macedonicum collocaret, omnes conditiones pacis recusavit Antipater. Præsidium ergo eam occupavit, ipso Eleusiniorum mysteriorum die, magno populi dolore. Plura vide apud nostrum in Phocione p. 754. B.

Οἱ μὲν περὶ τὸν Δημοσθένη φθάσαντες] Utrum περιφραστικῶς solus ipse? quia sequitur, αὐτοῦ θάνατον κατέγνω. An etiam alii ejusdem factionis? et pro αὐτοῦ, αὐτῶ legendum. Wolf.

Οἱ περὶ τὸν — κατέγνω] Fugerunt oratores, non metu Antipatri, (ut vulgo creditur) qui nondum eorum deditionem postulaverat, sed veriti, ne dolor populi super accepta in bello Lamiaco calamitate in auctores defectionis verteretur, ut recte Suidas in voce Ἀντίπατρος 1. His ergo sibi fuga consulentibus, populus, priusquam legationem ad Antipatrum mitterent, Demosthenem, &c. absentes, indicta caussa (δίκην ἐρήμην) aut capitis condemnarunt, ut Plutarchus et Suidas affirmant, aut certe, ut Nepos, exilio mulctarunt. Quo jure, non satis constat; utrum male gestæ Reip. reos, an urbis tristissimo suo tempore relictæ. Fuit enim Athenis capitale, quo tempore ἐσκευαγώγουν εἰς τὴν πόλιν, se a publico periculo subtrahere. Exstat in hoc argumentum oratio Lycurgi gravissima, cujus severitatem improbare videtur Æschines κατὰ Κτησ. c. 93. B.

Δημάδου γράψαντος] Demades tunc ἄτιμος erat, quippe septies violatarum legum condemnatus, adeoque non licuit illi per leges ad populum perorare. Famæ ergo integritatem ei decreto restituerunt et potestatem dicendi fecerunt.

μάδου γράψαντος. Ἄλλων δ' ἀλλαχοῦ διασπαρέντων, ὁ Ἀντίπατρος περιέπεμπε τοὺς συλλαμβάνοντας, ὧν ἡγεμὼν ἦν Ἀρχίας ὁ κληθεὶς Φυγαδοθήρας. Τοῦτον δὲ, Θούριον ὄντα τῷ γένει, λόγος ἔχει τραγῳδίας [1] ὑποκρίνεσθαί ποτε, καὶ τὸν Αἰγινήτην Πῶλον, τὸν ὑπερβαλόντα τῇ τέχνῃ πάντας, ἐκείνου γεγονέναι μαθητὴν ἱστοροῦσιν· Ἕρμιππος δὲ τὸν Ἀρχίαν ἐν τοῖς Λακρίτου τοῦ ῥήτορος μαθητὴν ἀναγράφει· Δημήτριος δὲ τῆς Ἀναξιμένους διατριβῆς μετεσχηκέναι φησὶν αὐτόν. Οὗτος οὖν ὁ Ἀρχίας Ὑπερίδην μὲν τὸν ῥήτορα, καὶ Ἀριστόνικον τὸν Μαραθώνιον, καὶ τὸν Δημητρίου τοῦ Φαληρέως ἀδελφὸν Ἱμεραῖον, ἐν Αἰγίνῃ καταφυγόντας ἐπὶ τὸ Αἰάκειον, ἀποσπάσας, ἔπεμψεν εἰς Κλεωνὰς πρὸς Ἀντίπατρον· κἀκεῖ διεφθάρησαν. Ὑπερίδου δὲ καὶ τὴν γλῶτταν ἐκτμηθῆναι λέγουσι.

1 * ὑποκρίνασθαί

Diodor. 18. Plut. in Phocione p. 753. Minime prætereunda videntur, quæ de hac re leguntur apud Nepotem in vita Phocionis; quanquam cum Plutarcho et ipso Demosthene pugnantia. *Phocion —— cum Demade de urbe tradenda Antipatro consenserat; ejusque consilio Demosthenes cum cæteris, qui bene mereri de republica existimabantur, plebiscito in exilium erant expulsi. Neque in eo solum offenderat, quod patriæ male consuluerat, sed etiam quod amicitiæ fidem non præstiterat. Namque auctus adjutusque a Demosthene eum, quem tenebat, ascenderat gradum, cum adversus Charetem eum subornaret: ab eodem in judiciis, cum capitis causam diceret, defensus, aliquoties liberatus discesserat.* Idem.

Θούριον ὄντα τῷ γένει] Capta Sybari Thurios vocatos esse Sybaritas et 10000. virorum ab Atheniensibus Thurium esse missos, scribit Suidas. *θοῦρος ἢ θούριος ἄρης, Mars impetuosus: ὁ ὁρμητικὸς καὶ πολεμιστής. παρὰ τὴν θοῦριν, ὡς οἶμαι, τὸν θυρέον, ἢ παρὰ τὸ θορεῖν τὸ ἅλλεσθαι. ὅθεν ἐξέθορε, τὸ ἐξεπήδησε.* Wolf.

Αἰγινήτην Πῶλον] Lucian. in Menip. Suniensem vocat. B.

Ἐν τοῖς Λακρίτου τοῦ ῥήτορος μαθητὴν] Malim *μαθηταῖς*. Lacriti mentio fit in vita Isocratis perperam, ut opinor, *ὡς νομοθέτου Ἀθηναίοις γενομένου*, et extat oratio Demosthenis, *πρὸς τὴν Λακρίτου παραγραφήν*. Wolf.

Λακρίτου] Is fortasse, adversus quem exstat Demosthenis oratio. B.

Μαθητὴν] Melius in uno codice *μαθηταῖς*. Du Soul.

Μαθητὴν] Ferri posse videtur, i. e. *ὡς ἕνα τῶν μαθητῶν*, quanquam utique *μαθηταῖς* præstaret. Reisk.

Ἀναξιμένους] Anaximenes Lampsacenus rhetor insignis, cui nonnulli tribuunt librum *ῥητορικῆς* ad Alexandrum, inter Aristotelis opera editum. B.

Ἱμεραῖον] His Lucianus addit Eucratem. At Suidas in voce Ἀντίπατρος 2. res duas locis, temporibus, et personis maxime dissitas confundens eos dicit ab Antipatro post bellum Lamiacum quæsitos fuisse, quos annis ante duodecim Alexander revera postulavit. Numerat enim Lycurgum, Ephialtem, et Charidemum, quos, jam ante Alexandri mortem, diem suum obiisse constat: Hunc e Demosth. Ep. 4. illum e Dinarcho *κατὰ Δημοσθ.* tertium e Q. Curtio et Diodoro. Idem.

Κλεωνὰς] Arcadiæ oppidum prope Nemeam, unde Leo ab Hercule occisus Cleonæus et Nemeæus. Wolf.

Κλεωνὰς] Cleonæ, urbs Argolica, inter Argum et Corinthum sita. B.

Ὑπερίδου δὲ] Alicubi scribitur, Ὑπερείδης, ut Ἀριστείδης per ει diphthongum, quasi ab *εἶδος* formaretur. Si Ὑπερίδης per simplex ι, ab *ὕπερον*, deducitur. Wolf.

Τὴν γλῶτταν ἐκτμηθῆναι λέγουσι] Auctor vit. 10. Rhetorum ait Hyperidem suam ipsius linguam præmordisse, ne civitatis arcana prodere cogeretur. Credo potius id hostium sævitia factum esse, neque enim Cicero ardentius debaccha-

κθ'. Τὸν δὲ Δημοσθένη πυθόμενος ἱκέτην ἐν [1] Καλαυρίᾳ ἐν τῷ ἱερῷ Ποσειδῶνος καθέζεσθαι, διαπλεύσας ὑπηρετικοῖς, καὶ ἀποβὰς μετὰ Θρᾳκῶν δορυφόρων, ἔπειθεν ἀναστάντα βαδίζειν μετ' αὐτοῦ πρὸς Ἀντίπατρον, ὡς δυσχερὲς πεισόμενον οὐδέν. Ὁ δὲ Δημοσθένης ἐτύγχανεν ὄψιν ἑωρακὼς κατὰ τοὺς ὕπνους ἐκείνης τῆς νυκτὸς ἀλλόκοτον. Ἐδόκει γὰρ ἀνταγωνίζεσθαι τῷ Ἀρχίᾳ, τραγῳδίαν ὑποκρινόμενος· εὐημερῶν δὲ καὶ κατέχων τὸ θέατρον, ἐνδείᾳ παρασκευῆς καὶ χορηγίας κρατεῖσθαι. Διὸ τοῦ Ἀρχίου πολλὰ φιλάνθρωπα διαλεχθέντος, ἀναβλέψας πρὸς αὐτὸν, ὥσπερ ἐτύγχανε καθήμενος, "Ὦ Ἀρχία" (εἶπεν) "οὔτε ὑποκρινόμενός με ἔπεισας πώποτε, οὔτε νῦν πείσεις ἐπαγγελλόμενος." Ἀρξαμένου δ' ἀπειλεῖν τοῦ Ἀρχίου μετ' ὀργῆς, "Νῦν" (ἔφη) "λέγεις τὰ ἐκ τοῦ Μακεδονικοῦ τρίποδος, ἄρτι δὲ ὑπεκρίνου· μικρὸν οὖν ἐπίσχες, ὅπως ἐπιστείλω τι τοῖς οἴκοι." Καὶ ταῦτ' εἰπὼν, ἐντὸς ἀνεχώρησε τοῦ ναοῦ· καὶ λαβὼν βιβλίον, ὡς γράφειν μέλλων, προσήνεγκε τῷ στόματι τὸν κάλαμον, καὶ δακὼν, ὥσπερ ἐν τῷ διανοεῖσθαι καὶ γράφειν εἰώθει, χρόνον τινὰ κατέσχεν, εἶτα συγκαλυψάμενος ἀπέκλινε τὴν κεφαλήν. Οἱ μὲν οὖν παρὰ τὰς θύρας ἑστῶτες δορυφόροι κατεγέλων ὡς ἀποδειλιῶντος αὐτοῦ, καὶ μαλακὸν ἐκάλουν καὶ ἄνανδρον· ὁ δ' Ἀρχίας προσελθὼν ἀνίστασθαι παρεκάλει, καὶ τοὺς αὐτοὺς ἀνακυκλῶν λόγους, αὖθις ἐπηγγέλλετο διαλλαγὰς πρὸς τὸν Ἀντίπατρον. Ἤδη

[1] Καλαβρίᾳ

tus est in Antonium, quam Hyperides in Antipatrum et Macedonas. Huc alludit Antipater apud Lucianum, οὐδ' ἐπῃσχύνετο κατὰ τῶν ποτε φιλτάτων τῇ γλώσσῃ χρώμενος, ἣν ἐχρῆν δή που τῆς ἀγνωμοσύνης ἐκτεμεῖν. Encom. Demosthenis, [§. 31.] B.

Ἐν Καλαυρείᾳ] Alii non per ει, sed per ι, scribunt Καλαυρία. Calauria, insula maris mediterranei, in sinu Argolico contra Trœzenium, auctore Plinio libro 4. capite 12. Καλαβρία perperam legitur, quo mendo et Guarinus deceptus, in vita Aristotelis scripsit, Demosthenem exulem in Italia decessisse. Wolf.

Καλαυρίᾳ] Insula exigua, ex adverso Trœzenis, ingredienti sinum Saronicum ad lævam sita. B.

Διαπλεύσας ὑπηρετικοῖς] Suidas, ὑπειρετικοῖς, per ει in secunda syllaba. Wolf.

Ὥσπερ ἐτύγχανε καθήμενος] *Ut sedebat*, id est, non assurrexit Archiæ. Idem.

Ὑποκρινόμενος—ἐπαγγελλόμενος] *Neque mihi actione tua unquam persuasisti* (id est, nunquam dum histrio esses, te probavi) *neque nunc pollicitationibus persuadebis.* Idem.

Οὔτε ὑποκρινόμενος] Archias ipse apud Lucian. Encom. Dem. [§. 44.] ἡδὺ γελάσας, κἀμὲ δὴ σκώπτων ἐς τὸν πρότερον βίον, ἀπίθανον ἔφη με ὑποκριτὴν εἶναι τῶν σῶν (Antipatri sc.) ψευσμάτων. B.

Ἐκ τοῦ Μακεδονικοῦ τρίποδος] Hoc est, *ex animo et vere istud dicis.* Delphici tripodis auctoritas satis nota est. Wolf.

Παρὰ τὰς θύρας] Haud damno; malim tamen παρὰ ταῖς θύραις, quod . λ'. infra legitur. Reisk.

δὲ συντεθημένος ὁ Δημοσθένης ἐμπεφυκότος αὐτῷ τοῦ φαρμάκου καὶ κρατοῦντος, ἐξεκαλύψατο· καὶ διαβλέψας πρὸς τὸν Ἀρχίαν, "Οὐκ ἂν φθάνοις" (εἶπεν) "ἤδη τὸν ἐκ τῆς τραγῳδίας ὑποκρινόμενος Κρέοντα, καὶ τὸ σῶμα τοῦτο ῥίπτων ἄταφον. Ἐγὼ δ' ὦ φίλε Πόσειδον ἔτι ζῶν ἐξανίσταμαι τοῦ ἱεροῦ· τῷ δὲ Ἀντιπάτρῳ καὶ Μακεδόσιν οὐδ' ὁ σὸς ναὸς καθαρὸς ἀπολέλειπται." Ταῦτ' εἰπὼν, καὶ κελεύσας ὑπολαβεῖν [1] αὐτὸν ἤδη τρέμοντα καὶ σφαλλόμενον, ἅμα τῷ προελθεῖν καὶ παραλλάξαι τὸν βωμὸν, ἔπεσε, καὶ στενάξας ἀφῆκε τὴν ψυχήν.

λ'. Τὸ δὲ φάρμακον Ἀρίστων μὲν ἐκ τοῦ καλάμου λαβεῖν φησὶν αὐτὸν, ὡς εἴρηται. Πάππος δέ τις (οὗ τὴν ἱστορίαν Ἕρμιππος ἀνείληφε) φησὶ, πεσόντος αὐτοῦ παρὰ τὸν βωμὸν, ἐν μὲν τῷ βιβλίῳ [2] γεγραμμένης ἐπιστολῆς ἀρχὴν εὑρεθῆναι, "Δημοσθένης Ἀντιπάτρῳ," καὶ μηδὲν ἄλλο· θαυμαζομένης δὲ τῆς περὶ τὸν θάνατον ὀξύτητος, διηγεῖσθαι τοὺς παρὰ ταῖς θύραις Θρᾷκας, ὡς ἔκ τινος ῥακίου λαβὼν εἰς τὴν χεῖρα προσθοῖτο τῷ στόματι καὶ καταπίοι τὸ φάρμακον· αὐτοὶ δ' ἄρα χρυσὸν ᾠήθησαν εἶναι τὸ καταπινόμενον. Ἡ δ' ὑπηρετοῦσα παιδίσκη, πυνθα-

[1] αὐτὸν — [2] * γεγραμμένην

Οὐκ ἂν φθάνοις ὑποκρινόμενος] *Quam primum imitaberis, personam sustinebis tragici Creontis,* &c. Alludit ad Sophoclis Antigonem, ubi Creon Polynicem sepeliri vetat. Sententia est: Viventem lædere non potuisti, defunctum vexabis. Wolf.

Ἐξανίσταμαι] *Exurgo:* nolo mea morte polluere tuum templum. Idem.

Ἔτι ζῶν ἐξανίσταμαι] Scilicet ut, quantum in me est, sanctitas asyli non violetur. Ita ipse Demosthenes apud Lucianum. [§. 49.] μὴ προσάγαγέ μοι τὴν χεῖρα, τὸ κατ' ἐμὲ γὰρ οὐδὲν παράνομον ὁ νεὼς πείσεται. B.

Καθαρὸς] Quia me ad necem compulerunt. Wolf.

Ὑπολαβεῖν] *Excipere, sustentare se jam trementem et vacillantem, inter progrediendum et aram prætereundam concidit.* Idem.

Ἅμα τῷ παραλλάξαι βωμὸν] Hinc fortasse tabulæ Inscriptio, ΕΠΙΒΩΜΙΟΣ, quod sicut hostia, ante aram caderet. Lucianus tamen cum limine templi egressum dicit, antequam periret, quod sane Demosthenis consilio asyli non violandi melius respondet. Quæ adjicit Lucianus, si vere dicta, digna sunt Demosthene; si rhetorice, tamen ingeniose conficta. οὐ γὰρ ἔφθασεν ὑπερβὰς τὸν οὐδὸν τοῦ νεὼ, καὶ πρὸς ἐμὲ βλέψας, Ἄγε δὴ τοῦτον, ἔφη, πρὸς Ἀντίπατρον, Δημοσθένην δ' οὐκ ἄξεις, ΟΥ ΜΑ—κἀμοὶ μὲν ἐφαίνετο προσθήσειν—τοὺς ἐν ΜΑΡΑΘΩΝΙ πεπτωκότας. Ὁ δὲ χαίρειν εἰπὼν ἀπέπτη. B.

Βωμὸν] Haud me fugit, aras in atriis templorum fuisse; videtur tamen huic loco esse convenientius βηλὸν, *limen.* Verumtamen paulo post recurrit βωμόν: ut nil ausim temerare. Reisk.

λ'. Πάππος——ἀνείληφε] De hoc Pappo altum est apud scriptores silentium. Cæteri interpretes reddunt, *historiam recuperavit.* [Bartonus autem *narrationem sequitur.*] In re obscura suæ cujusque conjecturæ locus sit. B.

Γεγραμμένην] In accus. de meo dedi, pro vulgari γεγραμμένης in genit. Epistola nondum erat exarata, sed adhuc exaranda: principium autem ejus jam scriptum erat; recte ergo dicitur ἀρχὴ ἐπιστολῆς γεγραμμένη, minus epistola ipsa. Reisk.

νομένων τῶν περὶ τὸν Ἀρχίαν, φαίη πολὺν εἶναι χρόνον, ἐξ οὗ φοροίη τὸν ἀπόδεσμον ἐκεῖνον ὁ Δημοσθένης, ὡς φυλακτήριον. Ἐρατοσθένης δὲ καὶ αὐτὸς ἐν κρίκῳ φησὶ κοίλῳ τὸ φάρμακον φυλάσσειν· τὸν δὲ κρίκον εἶναι τοῦτον αὐτῷ φόρημα περιβραχιόνιον. Τῶν δ' ἄλλων ὅσοι γεγράφασι περὶ αὐτοῦ (πάμπολλοι δέ εἰσι) τὰς διαφορὰς οὐκ ἀναγκαῖον ἐπεξελθεῖν· πλὴν ὅτι Δημόχαρης, ὁ τοῦ Δημοσθένους οἰκεῖος, οἴεσθαί φησιν αὐτὸν "οὐχ ὑπὸ φαρμάκου, θεῶν δὲ τιμῇ καὶ προνοίᾳ, τῆς Μακεδόνων ὠμότητος ἐξαρπαγῆναι, συντόμως καταστρέψαντα καὶ ἀλύπως." Κατέστρεψε δὲ ἕκτῃ ἐπὶ δέκα τοῦ Πυανεψιῶνος μηνὸς, ἐν ᾗ τὴν σκυθρωποτάτην τῶν θεσμοφορίων ἡμέραν ἄγουσαι παρὰ τῇ θεῷ νηστεύουσιν αἱ γυναῖκες. Τούτῳ μὲν ὀλίγον ὕστερον ὁ τῶν Ἀθηναίων δῆμος ἀξίαν ἀποδιδοὺς τιμὴν, εἰκόνα τε χαλκῆν ἀνέστησε, καὶ τὸν πρεσβύτατον ἐψηφίσατο τῶν ἀπὸ τοῦ

Φοροίη τὸν ἀπόδεσμον ἐκεῖνον ὁ Δημοσθένης ὡς φυλακτήριον] Tuendi sui causa, pro amuleto, ut opinor. WOLF.

Τὸν ἀπόδεσμον] Κόσμον τινὰ γυναικεῖον περικεφάλαιον, *muliebre ornamentum*, seu *redimiculum elegans capitis*, Hesychius interpretatur. Videtur id quod supra ῥάκος, nunc ἀπόδεσμον, *linteolum colligatum*, dicere, et sic interpretatur Ruellius apud Dioscoridem, μελάνθιον λεανθὲν καὶ ἐν ἀποδέσμῳ δεθὲν, *Gith tritum in linteo.* Etsi ego malim: *tritum et in linteolo ligatum.* ἀπόδεσιν, vulgata Lexica *deligationem* vel *solutionem* exponunt. Quod si verum est, possit venenum ideo vocari ἀπόδεσμος, quod animam vinculis corporis solvat. Alioqui *fasciculum* interpretantur. Lapus vel recte vertisse, vel non incommode divinasse videtur. IDEM.

Φυλακτήριον] Reddidi cum cæteris amuletum. Sed alio sensu accipi potest: βασάνοις θεραπαίνης ἐφωράσαμεν, πάλαι φάρμακον αὐτῷ τεταμιεῦσθαι, λύσει ψυχῆς ἀπὸ σώματος ἐλευθερίαν κτώμενον. Lucian. in Encom. Dem. B.

Ἐρατοσθένης ἐν κρίκῳ] Hunc sequitur Plinius.——*Alii sub gemmis venena cludunt, sicut Demosthenes*——Nat. Hist. 33. 1. IDEM.

Φόρημα περιβραχιόνιον] Livius lib. 1. vulgo Sabini aureas armillas magni ponderis brachio lævo gemmatosque magna specie annulos habuerunt. WOLF.

Δημοχάρης—οἰκεῖος] *Demochares, Demosthenis sororis filius, orationes scripsit aliquot, et earum rerum historiam, quæ erant Athenis ipsius ætate gesta, non tam historico, quam oratorio genere, perscripsit.*— Cicero in Bruto; cujus censuram satis confirmant verba a Plutarcho subjuncta. Erat Demochares secundum auctorem vitarum 10. Rhet. ἀνὴρ καὶ κατὰ πόλεμον θρασὺς, καὶ κατὰ τοὺς πολιτικοὺς λόγους οὐδενὸς χείρων. Plura vide apud Fragm. Polybii, Plut. in Demetrio, et Senec. de ira 3. 23. B.

Οἰκεῖος] *Cognatus.* fuit enim Demochares, filius sororis Demosthenis. Alias Δημοχάρης per η, ut Λεωχάρης: quod magis probo: alias Δημόχαρις, per ι scribitur. WOLF.

Τῶν θεσμοφορίων] Θεσμοφόρια festum Cereris, quæ non tantum fruges, sed leges etiam reperisse fertur. Aristophanes, ὥσπερ ἐν τοῖς θεσμοφορίοις νηστεύομεν ἄνευ θυηλῶν. θυηλαὶ autem Varino sunt, ἀπαρχαὶ καὶ θυσίαι, κυρίως δὲ ὁ θύλακος, εἰς ὃν ἐμβάλλουσι τὰ θυμιάματα. IDEM.

Θεσμοφορίων] Festum Thesmophoriarum in honorem Cereris Legiferæ celebratum erat a fœminis ingenuis, exclusis iis quæ serviebant. Candidatæ ministrabant per novem dies sibi ab omni Veneris usu temperantes: Dies Thesmophoriarum ultimus (de quo Plutarchus) dictus erat νηστεία ex eo quod per totum diem humi sederent jejunæ. B.

Εἰκόνα—ἀνέστησε] Ex decreto Democharis, quod exstat inter vitas 10. Rhetorum. IDEM.

γένους ἐν Πρυτανείῳ σίτησιν ἔχειν. Καὶ τὸ ἐπίγραμμα τὸ θρυλλούμενον ἐπεγράφη τῇ βάσει τοῦ ἀνδριάντος,

Εἴπερ ἴσην ῥώμην γνώμῃ, Δημόσθενες, εἶχες,
Οὔ ποτ' ἂν Ἑλλήνων ἦρξεν ἄρης Μακεδών.

Οἱ γὰρ αὐτὸν τὸν Δημοσθένη τοῦτο ποιῆσαι λέγοντες ἐν [1]Καλαύρίᾳ, μέλλοντα τὸ φάρμακον προσφέρεσθαι, κομιδῇ φλυαροῦσι.

λά. Μικρὸν δὲ πρόσθεν ἢ παραβαλεῖν ἡμᾶς Ἀθήναζε, λέγεταί τι τοιοῦτον συμβῆναι. Στρατιώτης ἐπὶ κρίσιν τινὰ καλούμενος ὑφ' ἡγεμόνος, ὅσον εἶχε χρυσίδιον, εἰς τὰς χεῖρας ἀνέθηκε τοῦ ἀνδριάντος. Ἕστηκε δὲ τοὺς δακτύλους συνέχων δι' ἀλλήλων, καὶ παραπέφυκεν οὐ μεγάλη πλάτανος· ἀπὸ ταύτης πολλὰ τῶν φύλλων (εἴτε πνεύματος ἐκ τύχης καταβαλόντος, εἴτ' αὐτὸς οὕτος ὁ θεὶς ἐκάλυψε) περικείμενα καὶ συμπεσόντα λαθεῖν ἐποίησε τὸ χρυσίον οὐκ ὀλίγον χρόνον. Ὡς δ' ὁ ἄνθρωπος ἐπανελθὼν ἀνεῦρε, καὶ διεδόθη λόγος ὑπὲρ τούτου, πολλοὶ τῶν εὐφυῶν ὑπόθεσιν λαβόντες εἰς τὸ ἀδωροδόκητον τοῦ Δημοσθένους, διημιλλῶντο τοῖς ἐπιγράμμασι. Δημάδην δὲ, χρόνον οὐ πολὺν ἀπολαύσαντα τῆς φυομένης δόξης, ἡ Δημοσθένους δίκη κατήγαγεν εἰς Μακεδονίαν, οὓς ἐκολάκευεν αἰσχρῶς, ὑπὸ τούτων ἐξολούμενον δικαίως· ἐπαχθῆ μὲν ὄντα καὶ πρότερον αὐ-

[1] Καλαβρίᾳ

Ἐν Πρυτανείῳ σίτησιν] *Victum in Prytaneo*, qui honos Athenis maximus habebatur. Quod perinde propemodum est, ac si quis Argentinæ in Curia seu Sissitiis consulis, quem Ammaisterum vocant, gratuito honoris gratia pasceretur. WOLF.

Ἐν Πρυτανείῳ σίτησιν ἔχειν] Prytaneum in Acropoli situm locus erat, ubi Prytanes sacra fecerunt, et de re publica consulebant. Hic publico sumptu alebantur, 1. Legati ab exteris nationibus, 2. siquis ob facinus præclarum convivio honoratus erat, 3. οἱ ἐκ τιμῆς ἀείσιτοι qui summus honos habebatur. Jul. Pollux. l. 9. B.

Εἴπερ ἴσην γνώμην ῥώμῃ] Inverte, γνώμῃ ῥώμην. etsi sunt qui γνώμην non minus in Demosthene requirant: αὐτοί γε ἴσως ἀγνώμονες ὄντες. Quidam eleganter vertit,

Hic si quantum animo, tantum valuisset et armis,
Non Macedo Græcas perdomuisset opes. WOLF.

Οἱ γὰρ—φλυαροῦσι] Sic tamen Demetrius Magnesius apud vitas 10. Rhet. DU SOUL.

λά. Ἐπὶ κρίσιν τινὰ καλούμενος ὑφ' ἡγεμόνος] Ergo extra Athenas agebat imperator, ad cujus forum citatus ille miles fuerat. Longinquum ergo iter illuc erat militi ingrediendum, et diuturna imminebat ab Athenis absentia. REISK.

Οὗτος] Mallem οὕτως. B.

Ὑπὲρ τούτου] Fortassis, ὑπὸ τούτου, *ab eo*, scilicet milite. WOLF.

Κατήγαγεν εἰς Μακεδονίαν] Legatus missus est, repudiante illud muneris Phocione, qui impetraret ab Antipatro, ut custodiam e Munychia subduceret. Plut. in Phocione. B.

Ἐξολούμενον] *Perdendum, quibus cum antea invisus esset, tum in crimen inexcusabile inciderat. Exciderant enim ejus literæ,* id est, casu vulgatæ erant. οὕτω κακὸς ὤν, κακῶς ἀπόλωλεν. ἀπολούμενον, *periturum,*

τοῖς, τότε δ' εἰς αἰτίαν ἄφυκτον ἐμπεσόντα. Γράμματα γὰρ ἐξέπεσεν αὐτοῦ, δι' ὧν παρεκάλει Περδίκκαν ἐπιχειρεῖν Μακεδονίᾳ, καὶ σώζειν τοὺς Ἕλληνας, ὡς ἀπὸ σαπροῦ καὶ παλαιοῦ στήμονος (λέγων τὸν Ἀντίπατρον) ἠρτημένους. Ἐφ' οἷς Δεινάρχου τοῦ Κορινθίου κατηγορήσαντος, παροξυνθεὶς ὁ [1] Κάσσανδρος ἐγκατέσφαξεν αὐτοῦ τῷ κόλπῳ τὸν υἱὸν, εἶτα οὕτως ἐκεῖνον ἀνελεῖν προσέταξεν, ἐν τοῖς μεγίστοις διδασκόμενον ἀτυχήμασιν, "ὅτι πρώτους ἑαυτοὺς οἱ προδόται πωλοῦσιν," ὃ πολλάκις Δημοσθένους προαγορεύοντος, οὐκ ἐπίστευσε. Τὸν μὲν οὖν Δημοσθένους [2] ἔχεις, Σόσσιε, βίον, ἐξ ὧν ἡμεῖς ἀνέγνωμεν, ἢ διηκούσαμεν.

* * * *

Ἃ μὲν οὖν ἄξια μνήμης τῶν περὶ Δημοσθένους καὶ Κικέρωνος ἱστορουμένων εἰς τὴν ἡμετέραν ἀφῖκται γνῶσιν, ταῦτ' ἐστίν. Ἀφεικὼς δὲ τὸ συγκρίνειν τὴν ἐν τοῖς λόγοις ἕξιν αὐτῶν, ἐκεῖνό μοι δοκῶ μὴ παρήσειν ἄρρητον, ὅτι Δημοσθένης μὲν εἰς τὸ ῥητορικὸν ἐνέτεινε πᾶν, ὅσον εἶχεν ἐκ φύσεως ἢ ἀσκήσεως, λόγιον, ὑπερβαλλόμενος ἐνεργείᾳ μὲν καὶ δεινότητι τοὺς ἐπὶ τῶν ἀγώνων καὶ τῶν δικῶν συνεξεταζομένους, ὄγκῳ δὲ καὶ μεγαλοπρεπείᾳ τοὺς ἐπιδεικτικοὺς, ἀκριβείᾳ δὲ καὶ τέχνῃ τοὺς σοφιστάς. Κικέρων δὲ, καὶ πολυμαθὴς καὶ ποικίλος τῇ περὶ τοὺς λόγους σπουδῇ γενόμενος, συντα-

[1] Κάσανδρος [2] ἀπέχεις

vocabulum est execrationis, aut certe divinationis, quo ad illud alluditur: malis male pereundum esse. Vide ἐξώλης καὶ προώλης. Wolf.

Δεινάρχου] Dinarchus Corinthius, Rhetor Athenis celeberrimus, unusque ex illis decem, patriæ suæ proditor dicitur a Demosthene περὶ στεφ. 31. Familiaris erat Theophrasti et Demetrii Phalerei, cujus etiam fortunas secutus est, siquidem occupata Munychia a Demetrio Antigoni filio, Chalcidem concessit, et quindecim annis exulavit. Non tam δημαγωγὸς erat, quam λογογράφος. Longinus eum (sub titulo Δημοσθένους τοῦ κριθίνου) numerat inter eos qui sublime dicendi genus assecuti sunt. Tres illius orationes exstant περὶ Ἁρπαλικῶν. Vide Dion. Hal. ἐν τῇ τῶν ἀρχαίων κρίσει. B.

Ὅτι πρώτους—πωλοῦσιν] Extat verissimum effatum in oratione περὶ στεφ. 14. συμβέβηκε—τοῖς—τἄλλα πλὴν ἑαυτοὺς οἰομένοις πωλεῖν, πρώτους ἑαυτοὺς πεπρακόσιν ᾐσθῆσθαι. Idem.

Ἀπέχεις] Revocavi e Juntina, pro vulgari ἔχεις, verbo simplici. Compositum usurpatur de ære e. c. debito, quod depensum est. Non ἔχεις, sed ἀπέχεις. *habes jam reluitum tibi, quod tibi debebam.* Reisk.

* * * *

Ὑπερβαλλόμενος — σοφιστὰς] His verbis complectitur Plutarchus tria genera dicendi, secundum notam Aristotelis divisionem, Rhet. 1. 3. δικανικὸν, ἐπιδεικτικὸν, συμβουλευτικὸν, quæ cum Quinctiliano vocare potes *juridiciale, demonstrativum* sive *laudativum, deliberativum* sive *suasorium.*—Inst. Or. 3. 7, 8, 9. B.

Ἐνεργείᾳ] F. ἐναργείᾳ, *evidentia.* Sed hoc a Vulcob. jam est occupatum. Reisk.

ξεις μὲν ἰδίας φιλοσόφους ἀπολέλοιπεν οὐκ ὀλίγας εἰς τὸν Ἀκαδημαϊκὸν τρόπον· οὐ μὴν ἀλλὰ καὶ διὰ τῶν πρὸς τὰς δίκας καὶ τοὺς ἀγῶνας γραφομένων λόγων δῆλός ἐστιν ἐμπειρίαν τινὰ γραμμάτων παρεπιδείκνυσθαι βουλόμενος. Ἔστι δέ τις καὶ τοῦ ἤθους ἐν τοῖς λόγοις ἑκατέρου δίοψις· ὁ μὲν γὰρ Δημοσθενικὸς ἔξω παντὸς ὡραϊσμοῦ καὶ παιδιᾶς εἰς δεινότητα καὶ σπουδὴν συνηγμένος, οὐκ ἐλλυχνίων ὄδωδεν, ὥσπερ ὁ Πυθέας ἔσκωπτεν, ἀλλ' ὑδροποσίας καὶ φροντίδων, καὶ τῆς λεγομένης πικρίας τοῦ τρόπου καὶ στυγνότητος· Κικέρων δὲ πολλαχοῦ τῷ σκωπτικῷ πρὸς τὸ βωμολόχον ἐκφερόμενος, καὶ πράγματα σπουδῆς ἄξια γέλωτι καὶ παιδιᾷ κατειρωνευόμενος ἐν ταῖς δίκαις εἰς τὸ χρειῶδες, ἠφείδει τοῦ πρέποντος· ὥσπερ ἐν τῇ [1] Καιλίου συνηγορίᾳ, "μηδὲν ἄτοπον ποιεῖν αὐτὸν ἐν τοσαύτῃ πολυτελείᾳ καὶ τρυφῇ ταῖς ἡδοναῖς χρώμενον· τὸ γὰρ ὧν ἔξεστι μὴ μετέχειν, μανικὸν εἶναι, καὶ ταῦτα, ἐν ἡδονῇ τὸ εὔδαιμον τῶν ἐπιφανεστάτων φιλοσόφων τιθεμένων." Λέγεται δὲ, Κάτωνος Μουρήναν διώκοντος, ὑπατεύων ἀπολογεῖσθαι, καὶ πολλὰ διὰ τὸν Κάτωνα κωμῳδεῖν τὴν Στωϊκὴν αἵρεσιν, ἐπὶ ταῖς ἀτοπίαις τῶν παραδόξων λεγομένων δογμάτων· γέλωτος δὲ λαμπροῦ κατιόντος ἐκ τῶν περιεστώτων πρὸς τοὺς δικαστὰς, ἡσυχῇ [2] διαμειδιάσας, πρὸς τοὺς καθημέ-

[1] Κελίου·

[2] διαμειδιάσας ὁ Κάτων πρὸς

Δημοσθενικὸς] Λόγος scilicet; quod miror non vidisse Editorem Londinensem. Si ex illius sententia scribatur Δημοσθένης, sensus plane perierit. B.

Ἔξω — παιδιᾶς] Alia sententia est M. Tullii. *Demosthenes minus habetur facetus, quo quidem mihi nihil videtur urbanius; sed non tam dicax fuit, quam facetus.*—Orat. 26. Et Hermogenis. Δηλοῦται Δημοσθένης ἐν τῷ περὶ στεφάνου, ὅτι κωμῳδεῖν ἐπίσταται. De Meth. 5. 33. At sanius fortasse judicium est Quinctiliani.—*Demosthenis pauca admodum dicta, nec sane cæteris ejus virtutibus respondentia, palam ostendunt non displicuisse illi jocos, sed non contigisse.* Et Dion. Halicarn. περὶ Δημ. δεινότ.—Πάσας ἔχουσα τὰς ἀρετὰς ἡ Δημοσθένους λέξις λείπεται εὐτραπελίας, ἣν οἱ πολλοὶ καλοῦσι χάριν, πλεῖστον γὰρ αὐτῆς μετέχει μέρος.

Οὐ γάρ πως ἅμα πάντα θεοὶ δόσαν ἀνθρώποισι.

Item. Longin. περὶ ὕψους 34. Et Æschines Ep. 5. p. 208. Δημοσθένους σκώμματα, ἐφ' οἷς οὐδεὶς ἔξω Κτησιφῶντος ἐγέλασε πώποτε. Idem.

Μηδὲν — τιθεμένων] Nimiam hic Plutarchi severitatem, merito reprehendit Dacierius, nec severitatem tantum, sed negligentiam. Nihil tale dixit Cicero, quale est ὧν ἔξεστι μὴ μετέχειν, μανικὸν εἶναι, at Cælii libidines ita excusat, ut minime probet. Quæ proxime accedunt ad Plutarchi sententiam hæc sunt. *Itaque alii voluptatis causa omnia sapientes facere dixerunt, neque ab hac orationis turpitudine eruditi refugerunt. — Multa enim blandimenta Natura ipsa genuit, quibus sopita virtus conniveret — Ergo — detur aliquid ætati: sit adolescentia liberior: non omnia voluptatibus denegentur* &c. — Pro M. Cælio. 17. Idem.

Διαμειδιάσας — εἰπεῖν] Excidit Nominativus ὁ Κάτων. Τὸν Κάτωνα φασὶ διαμειδιάσαντα εἰπεῖν, &c. Plutarch. in Ca-

νους εἰπεῖν, "Ὡς γελοῖον, ὦ ἄνδρες, ἔχομεν ὕπατον." Δοκεῖ δὲ καὶ γέλωτος οἰκεῖος ὁ Κικέρων γεγονέναι, καὶ φιλοσκώπτης· τό τε πρόσωπον αὐτοῦ μειδίαμα καὶ γαλήνην παρεῖχεν. Τῷ δὲ Δημοσθένους ἀεί τις ἐπῆν σπουδὴ, καὶ τὸ πεφροντικὸς τοῦτο καὶ σύννουν οὐ ῥᾳδίως ἀπέλιπεν· Ὅθεν καὶ δύσκολον αὐτὸν οἱ ἐχθροὶ καὶ δύστροπον (ὡς αὐτός φησιν) ἀπεκάλουν.

Ἔτι τοίνυν ἐν τοῖς συγγράμμασι κατιδεῖν ἐστὶ τὸν μὲν ἐμμελῶς καὶ ἀνεπαχθῶς τῶν εἰς αὐτὸν ἁπτόμενον ἐγκωμίων, ὅτε τούτου δεήσαι πρὸς ἕτερόν τι μεῖζον, τἄλλα δ' εὐλαβῆ καὶ μέτριον. Ἡ δὲ Κικέρωνος ἐν τοῖς λόγοις ἀμετρία τῆς περιαυτολογίας ἀκρασίαν τινὰ κατηγόρει πρὸς δόξαν, βοῶντος, "ὡς τὰ ὅπλα ἔδει τῇ τηβέννῳ καὶ τῇ γλώττῃ τὴν θριαμβικὴν ὑπείκειν δάφνην." Τελευτῶν δὲ, οὐ τὰ ἔργα καὶ τὰς πράξεις μόνον, ἀλλὰ καὶ τοὺς λόγους ἐπαινεῖ τοὺς εἰρημένους ὑπ' αὐτοῦ καὶ γεγραμμένους, ὥσπερ Ἰσοκράτει καὶ Ἀναξιμένει τοῖς σοφισταῖς διαμειρακευόμενος, οὐ τὸν Ῥωμαίων δῆμον ἄγειν ἀξιῶν καὶ ὀρθοῦν,

Βριθὺν, ὁπλιτοπάλαν, δάϊον ἀντιπάλοις.

Ἰσχύειν μὲν γὰρ διὰ λόγου τὸν πολιτευόμενον ἀναγκαῖον, ἀγαπᾷν δὲ ἀγεννὲς, καὶ λιχνεύειν τὴν ἀπὸ τοῦ λόγου δόξαν. Ὅθεν ἐμβριθέστερος ταύτῃ καὶ [1]μεγαλοπρεπέστερος ὁ

[1] μεγαλοπρεπέστατος

ton. 769. Idem.

Πεφροντικὸς τοῦτο] Impressi habent πεφροντικός· τούτῳ. Duo MSS. φροντιστικὸν τοῦτο. Idem.

Ὡς τὰ ὅπλα — δάφνην] Intelligit notum Ciceronis versum.

Cedant arma togæ, concedat laurea linguæ.

Nam ita et noster legisse videtur et Quinct. Inst. Or. 11. 1. et Declamator in Ciceronem: Ipse Cicero legit — *concedat laurea laudi.* In L. Pison. 30. ubi se purgans de isto versu verba sua in alium sensum detorquet. Idem.

Καὶ τὸ πεφροντικὸς] F. καὶ τὸ πεφροντικὸς αὐτὸ καὶ σύννουν — *neque facile illum* [vultum Demosthenis puta; nam αὐτὸ redit ad πρόσωπον] *relinquebat meditabunda species, hominem prodens, cui mens est in semet alte demersa assiduis cogitationibus.* Vel potius legendum: καὶ τὸ πεφροντικὸς τοῦτο καὶ σύννουν—*illa species meditabunda mentis in semet demersæ, quod norunt omnes simulacris Demosthenis omnibus inesse.* Et sic de meo [atqui ita edidit Barton.] dedi, pro vulgari καὶ τὸ πεφροντικός. τούτῳ καὶ σύννουν. Ad ἀπέλιπεν subauditur αὐτό. *non facile relinquebat vultum Demosthenis.* Reisk.

Οὐ τὰ ἔργα — γεγραμμένους] Multo candidior, (nonne etiam æquior?) de Cicerone sententia Quinctiliani est. *Cicero —rerum a se gestarum major, quam eloquentiæ, fuit in orationibus utique jactator. At plerumque illud quoque non sine aliqua ratione fecit. Aut enim tuebatur eos, quibus erat usus adjutoribus in opprimenda conjuratione, aut respondebat invidiæ. — Eloquentiam quidem cum plenissimam diversæ partis advocatis concederet, sibi nunquam in agendo immodice arrogavit.* — Inst. Or. 11. 1. B.

Βριθὺν] Versus Æschyli. Idem.

Δημοσθένης, τὴν μὲν [1]ἑαυτοῦ δύναμιν ἐμπειρίαν τινὰ πολλῆς δεομένην τῆς παρὰ τῶν ἀκροωμένων εὐνοίας ἀποφαινόμενος, ἀνελευθέρους δὲ καὶ βαναύσους (ὥσπερ εἰσὶ) τοὺς ἐπὶ τούτῳ φυσωμένους ἡγούμενος. Ἡ μὲν οὖν ἐν τῷ δημηγορεῖν καὶ πολιτεύεσθαι δύναμις ὁμαλῶς ἀμφοτέροις ὑπῆρξεν, ὥστε καὶ τοὺς τῶν ὅπλων καὶ στρατοπέδων κυρίους δεῖσθαι· Δημοσθένους μὲν, Χάρητα καὶ Διοπείθην καὶ Λεωσθένην· Κικέρωνος δὲ, Πομπήϊον καὶ Καίσαρα τὸν νέον, ὡς αὐτὸς ὁ Καῖσαρ ἐν τοῖς πρὸς Ἀγρίππαν καὶ Μαικήναν ὑπομνήμασιν εἴρηκεν.

Ὃ δὲ δοκεῖ μάλιστα καὶ λέγεται τρόπον ἀνδρὸς ἐπιδεικνύναι καὶ βασανίζειν, ἐξουσία καὶ ἀρχὴ, πᾶν πάθος κινοῦσα, καὶ πᾶσαν ἀποκαλύπτουσα κακίαν, Δημοσθένει μὲν οὐχ ὑπῆρξεν, οὐδ' ἔδωκε τοιαύτην διάπειραν ἑαυτοῦ, μηδεμίαν ἀρχὴν τῶν ἐπιφανῶν ἄρξας, οὐδὲ τῆς ὑφ' ἑαυτοῦ συντεταγμένης ἐπὶ Φίλιππον ἐστρατήγησε δυνάμεως· Κικέρων δὲ, ταμίας εἰς Σικελίαν, καὶ ἀνθύπατος εἰς Κιλικίαν καὶ Καππαδοκίαν ἀποσταλεὶς, (ἐν ᾧ καιρῷ τῆς φιλοπλουτίας ἀκμαζούσης καὶ τῶν πεμπομένων στρατηγῶν καὶ ἡγεμόνων, ὡς τοῦ κλέπτειν ἀγεννοῦς ὄντος, ἐπὶ τὸ ἁρπάζειν τρεπομένων, οὐ τὸ λαμβάνειν ἐδόκει δεινὸν, ἀλλ' ὁ μετρίως τοῦτο ποιῶν ἠγαπᾶτο·) πολλὴν μὲν ἐπίδειξιν ὑπεροψίας χρημάτων ἐποιήσατο, πολλὴν δὲ φιλανθρωπίας καὶ χρηστότητος. Ἐν αὐτῇ δὲ τῇ Ῥώμῃ, λόγῳ μὲν ἀποδειχθεὶς ὕπατος, ἐξουσίαν δὲ λαβὼν αὐτοκράτορος καὶ [2]δικτάτορος ἐπὶ τοὺς περὶ Κατιλίναν, ἐμαρτύρησεν ἅμα τῷ Πλάτωνι μαντευομένῳ "παῦλαν ἕξειν κακῶν τὰς πόλεις, ὅταν εἰς ταυτὸ δύναμίς τε μεγάλη καὶ φρόνησις ἐκ

[1] αὐτοῦ

[2] δικτάτωρος

Τὴν μὲν ἑαυτοῦ — ἡγούμενος] Ἐκεῖνο δ' εὖ οἶδ', ὅτι τὴν ἐμὴν δεινότητα — (ἔστω γάρ· καίτοι ἔγωγε ὁρῶ τῆς τῶν λεγόντων δυνάμεως τοὺς ἀκούοντας τὸ πλεῖστον μέρος κυρίους ὄντας, ὡς γὰρ ἂν ὑμεῖς ἀποδέξησθε — οὕτως ὁ λέγων ἔδοξε φρονεῖν.) Dem. περὶ στεφ. c. 84. Vide in eundem sensum περὶ παραπρ. 96. et ἐπιταφ. p. 1393. ed. Reisk. Idem.

Καῖσαρ — ὑπομνήμασιν] Scripsit Octavius *aliqua de vita sua, quam tredecim libris, Cantabrico tenus bello, nec ultra, exposuit.*—Sueton. in Oct. 85. Idem.

Ὃ δὲ δοκεῖ] Sententia Sophoclis in Antigone. [v. 175.]

Ἀμήχανον δὲ παντὸς ἀνδρὸς ἐκμαθεῖν
Ψυχήν τε καὶ φρόνημα καὶ γνώμην, πρὶν ἂν
Ἀρχαῖς τε καὶ νόμοισιν ἐντριβὴς φανῇ.

Idem.

Πλάτωνι] Vide De Rep. 5. p. 466. B. Ed. Lugd. quamvis verba aliquantum discrepent. Et Epist. 7. p. 716. D. Du Soul.

τινος τύχης χρηστῆς ἀπαντήσῃ μετὰ δικαιοσύνης." Χρηματίσασθαι τοίνυν ἐπὶ τῷ λόγῳ Δημοσθένης μὲν ἐπιψόγως λέγεται, λογογραφῶν κρύφα τοῖς περὶ Φορμίωνα καὶ Ἀπολλόδωρον ἀντιδίκοις· καὶ διαβληθεὶς μὲν ἐπὶ τοῖς βασιλικοῖς χρήμασιν, ὄφλων δὲ τῶν Ἁρπαλείων. Εἰ δὲ ταῦτα τοὺς ἀντιγράφοντας (οὐκ ὀλίγοι δ' εἰσὶν οὗτοι) ψεύδεσθαι φαίημεν, ἀλλ' ὅτι γε πρὸς δωρεὰς βασιλέων σὺν χάριτι καὶ τιμῇ διδομένας ἀντιβλέψαι Δημοσθένης οὐκ ἂν ἐτόλμησεν, οὐδ' ἦν τοῦτο τὸ ἔργον ἀνθρώπου δανείζοντος ἐπὶ ναυτικοῖς, ἀμήχανον ἀντειπεῖν. Περὶ δὲ Κικέρωνος, ὅτι καὶ Σικελιωτῶν ἀγορανομοῦντι, καὶ βασιλέως τοῦ Καππαδοκῶν ἀνθυπατεύοντι, καὶ τῶν ἐν Ῥώμῃ φίλων, ὅτ' ἐξέπιπτε τῆς πόλεως, δωρουμένων πολλὰ καὶ δεομένων λαβεῖν, ἀντέσχεν, εἴρηται.

Καὶ μὴν ἥ γε φυγὴ τῷ μὲν αἰσχρὰ, κλοπῆς ἁλόντι, συνέπεσε, τῷ δὲ, κάλλιστον ἔργον, ἀνθρώπους ἀλιτηρίους ἐκκόψαντι τῆς πατρίδος. Διὸ τοῦ μὲν οὐδεὶς λόγος ἐκπίπτοντος· ἐφ' ᾧ δ' ἡ σύγκλητος ἐσθῆτά τε διήλλαξε, καὶ πένθος ἔσχε, καὶ γνώμην ὑπὲρ οὐδενὸς εἰπεῖν ἐπείσθη πρότερον ἢ Κικέρωνι κάθοδον ψηφίσασθαι· Τὴν μέντοι φυγὴν ἀργῶς ὁ Κικέρων διήνεγκεν ἐν Μακεδονίᾳ καθήμενος· τῷ δὲ Δημοσθένει καὶ ἡ φυγὴ μέγα μέρος τῆς πολιτείας γέγονε. Συναγωνιζόμενος γὰρ (ὥσπερ εἴρηται) τοῖς Ἕλλησι, καὶ τοὺς Μακεδόνων πρέσβεις ἐξελαύνων, ἐπήρχετο τὰς πόλεις, πολὺ βελτίων Θεμιστοκλέους καὶ Ἀλκιβιάδου παρὰ τὰς αὐτὰς τύχας φανεὶς πολίτης. Καὶ μέντοι κατελθὼν αὖθις ἑαυτὸν ἐπέδωκεν εἰς τὴν αὐτὴν ταύτην πολιτείαν· καὶ διετέλει πολεμῶν πρὸς Ἀντίπατρον καὶ Μακεδόνας. Κικέρωνα δ' ὠνείδισεν ἐν τῇ βουλῇ Λαίλιος, αἰτουμένου Καίσαρος

Εἰ δὲ — φαίημεν] *Mihi nec Demosthenes tam gravi morum dignus videtur invidia, ut omnia, quæ in eum ab inimicis congesta sunt, credam.* — Quinct. Inst. Or. 12. 1. B.

Δανείζοντος ἐπὶ ναυτικοῖς] Hoc genus fenoris valde Plutarcho displicuit. Ita in Catone Maj. ἐχρήσατο δὲ καὶ τῷ διαβεβλημένῳ μάλιστα τῶν δανεισμῶν ἐπὶ ναυτικοῖς. *Propter hanc* (inquit Casaubonus ad Theophr. p. 343.) *quod tantopere Demosthenem reprehendit Plutarchus, vereor ut ei sit satis æquus: damnat enim rem moribus legibusque receptam et probatam.* Idem.

Κάλλιστον ἔργον] Malim καλλίστων ἔργων: subaudi aut ἕνεκεν, aut, si mavis, e præmissis ἁλόντι: nam Ciceroni pro enormi crimine imputabatur ab ipsius inimicis, quod factionem Catilinæ, homines nempe insontes et egregie de republica meritos, oppressisset. Reisk.

Λαίλιος] D. Lælius, puto, qui Asiaticis Pompeii navibus præerat in bello civili.

ὑπατείαν μετιέναι [1]παράνομον οὕτω γενειῶντος, σιωπῇ καθήμενον. Ἔγραφε δὲ καὶ Βροῦτος, ἐγκαλῶν ὡς μείζονα καὶ βαρυτέραν πεπαιδοτριβηκότι τυραννίδα τῆς ὑπ' αὐτῶν καταλυθείσης.

Ἐπὶ πᾶσι δὲ τῆς τελευτῆς τὸν μὲν οἰκτεῖραι τις, ἄνδρα πρεσβύτην δι' ἀγέννειαν ὑπὸ οἰκετῶν ἄνω καὶ κάτω περιφερόμενον καὶ περιφεύγοντα τὸν θάνατον καὶ ἀποκρυπτόμενον [2]τὸν οὐ πολὺ πρὸ τῆς φύσεως ἥκοντα ἐπ' αὐτὸν, εἶτ' ἀποσφαγέντα· τοῦ δ', εἰ καὶ μικρὰ πρὸς τὴν ἱκετείαν ἐνέδωκεν, ἀγαστὴ μὲν ἡ παρασκευὴ τοῦ φαρμάκου καὶ τήρησις, ἀγαστὴ δὲ ἡ χρῆσις· ὅτι τοῦ θεοῦ μὴ παρασχόντος αὐτῷ τὴν ἀσυλίαν, ὥσπερ ἐπὶ μείζονα βωμὸν καταφυγὼν, ἐκ τῶν ὅπλων καὶ τῶν δορυφόρων λαβὼν ἑαυτὸν ᾤχετο, τῆς Ἀντιπάτρου καταγελάσας ὠμότητος.

[1] παρὰ νόμον

[2] τοὺς . . . ἥκοντας

Cæsar de Bell. Civ. 3. 5. Victo in Africa Cornificio, seipsum interemit. Appian. p. 622. B.

Αἰτουμένου μετιέναι] Idem est, atque αἰτουμένου τὸ μετιέναι. *rogante ambitionem consulatus.* h. e. τὴν ἐξουσίαν τοῦ μετιέναι, *veniam consulatum ambiendi.* Reisk.

Σιωπῇ καθήμενον] Quid vero, nisi silentium, superfuit, cum Cornelius Centurio, *rejecto sagulo, ostendens gladii capulum non dubitasset in curia dicere, "Hic faciet, si vos non feceritis?"* Sueton. in Octav. 26. Cui tamen respondisse Ciceronem refert Dio l. 46. p. 319. ἂν οὕτως παρακαλῆτε, λήψεται αὐτήν. Consulatum sc. B.

Ἀγέννειαν] Ita Codex MS. vulgo εὐγένειαν. Idem.

Περιφερόμενον] *Jusserit,* vel *curaverit, se circumferendum.* Reisk.

Τὸν οὐ πολὺ] Revocavi e Juntina τοὺς et ἥκοντας: subaudi ἐπὶ τὸν θάνατον, vel ἐπὶ τὴν σφαγήν. *eripere sui conspectum copiamque nitentem iis, qui venissent ad spiritum ipsi eripiendum, paulo ante, quam mors naturalis id idem esset factura.* Idem.

Ἐπὶ μείζονα βωμὸν] Venenum puta. Idem.

ΤΟΥ ΑΥΤΟΥ ΒΙΟΣ ΚΑΤΑ ΤΟΝ ΑΥΤΟΝ,

ΕΙ ΓΝΗΣΙΟΣ,

ΚΑΙ

ΕΙ ΕΙΚΟΣ ΤΑ ΟΥΤΩ ΔΙΑΛΕΛΥΜΕΝΑ,

ΚΑΙ

ΕΙΚΗ ΔΙΕΡΡΙΜΜΕΝΑ, ΥΠΟ ΠΛΟΥΤΑΡΧΟΥ ΓΕΓΡΑΦΘΑΙ.

ΔΗΜΟΣΘΕΝΗΣ Δημοσθένους καὶ Κλεοβούλης [1] τῆς Γύλωνος θυγατρὸς, τῶν δὲ δήμων Παιανιεὺς, καταλειφθεὶς ὑπὸ τοῦ πατρὸς ἐτῶν ἑπτὰ, μετ᾽ ἀδελφῆς πενταετίδος, τὸν μὲν τῆς ὀρφανίας χρόνον παρὰ τῇ μητρὶ διῆγε, σχολάζων Ἰσοκράτει, ὥς τινες ἔφασαν, ὡς δὲ οἱ πλεῖστοι, Ἰσαίῳ τῷ Χαλκιδεῖ, ὃς ἦν Ἰσοκράτους μαθητὴς, διάγοντι ἐν Ἀθήναις· ζηλῶν Θουκυδίδην καὶ Πλάτωνα τὸν φιλόσοφον, ὅν τινες εἶπον προηγουμένως αὐτῷ σχολάσαι. ὡς δὲ Ἡγησίας ὁ Μάγνης φησὶν, ἐδεήθη τοῦ παιδαγωγοῦ, ἵνα Καλλιστράτου Ἐμπαίδου Ἀφιδναίου, ῥήτορος δοκίμου, καὶ ἱππαρχήσαντος, καὶ ἀναθέντος τὸν βωμὸν τῷ Ἑρμῇ τῷ ἀγοραίῳ, μέλλοντος ἐν τῷ δήμῳ λέγειν, ἀκούσῃ. ἀκούσας δὲ, ἐραστὴς ἐγένετο τῶν λόγων. καὶ τούτου μὲν ἐπ᾽ ὀλίγον ἤκουσεν ἕως

[1] τῆς γυναικὸς τῆς θυγατρὸς, τὸν δὲ δῆμον

Τῶν δήμων] Sic Laertius, Σωκράτης τῶν δήμων ἀλωπεκῆθεν. ferri potest, ut genitivus partitionem significans: sed legendum fortasse, τὸν δῆμον, sicut Ἀθηναῖος τὴν πατρίδα, et facilis est mutatio ex pronunciatione et incogitantia τοῦ ον εἰς ων, et contra, τοῦ ων εἰς ον. WOLF.

Τῶν δὲ δήμων] Marg. Lutet. τὸν δὲ δῆμον.

Χαλκιδεῖ] Verba e Photio sic ordinanda: Χαλκιδεῖ, διάγοντι ἐν Ἀθήναις, ὃς ἦν Ἰσοκράτους μὲν μαθητὴς, ζηλῶν δὲ Θουκυδ. REISK.

Ζηλῶν Θουκυδίδην] Πότερος; ὁ Δημοσθένης, ἢ ὁ Ἰσαῖος. WOLF.

Ὅν τινες εἶπον προηγουμένως αὐτῷ σχολάσαι] Lego, ᾧ τινες εἶπον προηγουμένως αὐτόν. In altera vita, συνεσχολακέναι, inquit, αὐτόν φασι τῷ Πλάτωνι. IDEM.

Ὅν τινες] Vide, annon pro ὅν τινες legi debeat ᾧ τινες, et αὐτὸν pro αὐτῷ. XYLAND. Bene habet vulgata. Non minus magister discipulo, quam discipulus magistro, dicitur σχολάζειν, ille docens, hic discens. REISK.

Ἡγησίας ὁ Μάγνης] Alias Demetrius Magnes sæpe citatur, Hegesias vero Cyrenaicus, ὁ πεισιθάνατος ἐπικληθείς. WOLF.

Καλλιστράτου Ἐμπαίδου Ἀφιδναίου] Τὸ Ἐμπαίδου, nisi nomen patris Callistrati sit, quid ad sensum faciat, quidve significet, non video. IDEM.

Ἐμπαίδου] Hoc vocabulum est mendosum. XYLAND. Num εὐμηλίδου. Sane e παίδου facile efficitur ηλίδου. REISK.

Δοκίμου, καὶ] Δοκίμου, τοῦ καὶ ἱππ. IDEM.

ἐπεδήμει. ἐπειδὴ δὲ ὁ μὲν ἔφυγεν εἰς Θρᾴκην, ὁ δ᾽ ἐγεγόνει ἐξ ἐφήβων, τηνικαῦτα παρέβαλλεν Ἰσοκράτει καὶ Πλάτωνι. εἶτα καὶ Ἰσαῖον ἀναλαβὼν εἰς τὴν οἰκίαν, τετραετῆ χρόνον [1]αὐτὸν διεπόνησε, μιμούμενος αὐτοῦ τοὺς λόγους. ὡς δὲ Κτησίβιος φησὶν ἐν τῷ περὶ φιλοσοφίας, διὰ Καλλίου τοῦ Συρακουσίου πορίσας τοῦ Ζήθου τοῦ Ἀμφιπολίτου λόγους, διὰ δὲ Χαρικλέους τοῦ Καρυστίου τοὺς Ἀλκιδάμαντος, ἀνέλαβεν αὐτούς. τελειωθεὶς δὲ, ἐλάττω παρὰ τῶν ἐπιτρόπων παραλαβὼν, ἔκρινεν αὐτοὺς ἐπιτροπῆς ἐπὶ Τιμοκράτους ἄρχοντος, τρεῖς ὄντας, Ἄφοβον, Θηριπίδην, Δημοφῶντα, ἢ Δημέαν. καὶ μάλιστα τούτου κατηγόρησεν, ἀδελφοῦ τῆς μητρὸς ὄντος, δέκα τάλαντα τίμημα ἑκάστῃ τῶν δικῶν ἐπιγραψάμενος. καὶ εἷλεν αὐτούς. τῆς δὲ καταδίκης οὐδὲν ἐπράξατο, τοὺς μὲν ἀργυρίου, τοὺς δὲ καὶ χάριτος. Ἀριστοφῶντος δὲ ἤδη τὴν προστασίαν διὰ γῆρας καταλιπόντος, καὶ χορηγὸς ἐγένετο. Μειδίαν δὲ τὸν Ἀναγυράσιον πλήξαντα αὐτὸν ἐν τῷ θεάτρῳ χορηγοῦντα, εἰς κρίσιν καταστήσας, λαβὼν τρισχιλίας ἀφῆκε τῆς δίκης. λέγουσι δὲ αὐτὸν ἔτι νέον ὄντα εἰς σπήλαιον ἀπιέναι, κἀκεῖ φιλολογεῖν τὸ ἥμισυ τῆς κεφαλῆς ξυράμενον, ἵνα μὴ προέρχοιτο· καὶ ἐπὶ στενῆς κλίνης κοιμᾶσθαι, ἵνα διὰ ταχέων ἀνίστηται· τό, τε [2]ῥῶ μὴ δυνάμενον λέγειν, [3]ἐκποιῆσαι, καὶ τὸν ὦμον ἐν τῷ μελετᾷν κινοῦντα ἀπρεπῶς καταπαῦσαι, παραρτή-

[1] αὐτὸν [2] ῥῶ [3] ἐκπονῆσαι

Πορίσας κ. τ. λ.] Εὐπορήσας τῶν Ζωΐλου τοῦ Ἀμφ. λόγων, διὰ δὲ Χαρ. τοῦ Καρ. τῶν Ἀλκιδ. Emendationem Ζωΐλου debeo Reinesii Var. Lect. 3. 2. p. 328. Reisk. Marg. Lutet. πορισάμενος.

Ζήθου τοῦ Ἀμφιπολίτου] De hoc nihil invenio. Wolf.

Ἀνέλαβεν αὐτοὺς] Πότερον ἐξιδιοποιήσατο, *sibi vendicavit*, an ἐμελέτησεν εἰς μίμησιν αὐτῶν, *eas orationes imitari studuit.* supra Πάπος δέ τις οὗ τὴν ἱστορίαν Ἕρμιππος ἀνείληφε, *cujus historiam repetiit, quem auctorem citat.* Idem.

Τελειωθεὶς] Ἀνδρωθεὶς, εἰς ἄνδρας ἐγγραφείς. Idem.

Ἐλάττω] Supplet marg. Lutet. τῆς ἐλπίδος καὶ τοῦ δικαίου.

Θηριπίδην] Θηριππίδην. Reisk.

Ἀργυρίου] Subaudi ἕνεκα. Potest locus integer esse. Suppletum tamen ab Hoeschelio in Photio fuit ἀφεὶς, et a Lambino ἀφιέναι πεισθείς. Idem.

Τοὺς δὲ καὶ χάριτος] Deest ἀφεὶς ἢ ἀπολύσας. Wolf.

Ἀριστοφῶντος δὲ ἤδη τὴν προστασίαν] Aristophontis oratoris fit mentio ἐν τῷ περὶ στεφάνου. προστασίαν autem hic intelligo τὴν χορηγίαν, cum sequatur, Demosthenem ejus loco ædilitate esse functum. Idem.

Ξυράμενον] Fortasse, ξυρησάμενον. Idem.

Ξυράμενον] Marg. Lutet. ἐξυρημένον: et pro ἐκποιῆσαι paulo post ἐκπονῆσαι.

Τότε ῥώμη δυνάμενον λέγειν ἐκποιῆσαι] Legendum: τό, τε ρ (τὸ στοιχεῖον) μὴ δυνάμενον λέγειν, ἐκπονῆσαι, id est quod supra ex Laertio citavimus, ῥαβικώτερος ὢν παύσασθαι: emendasse vitium illud balbutiei, καὶ ἥκειν φέροντα τὸ ρ ῥερητορευμένον. Prima et secunda editione non animadverteram mendum hoc satis: et cum legendum putarem, τό, τε ῥώμη δύνασθαι λέγειν, ἐκπονῆσαι, et verteram: *Atque ita se exercuisse,*

σαντα ὀβελίσκον, ἢ (ὥς τινες) ξιφίδιον ἐκ τῆς ὀροφῆς, ἵνα φοβούμενος ἠρεμοίη. προβαίνοντα δὴ κατὰ τὴν τῶν λόγων ἰσχὺν, ἔσοπτρον ἰσομέγεθες αὐτῷ κατασκευάσαι, καὶ πρὸς τοῦτο ἀφορῶντα μελετᾷν, ἵνα ἐπανορθώσηται τὰ ἐλλείποντα· καὶ κατιόντα ἐπὶ τὸ Φαληρικὸν, πρὸς τὰς τῶν κυμάτων ἐμβολὰς τὰς σκέψεις ποιεῖσθαι, ἵν', εἴποτε θορυβοίη ὁ δῆμος, μὴ ἐκσταίη. τοῦ δὲ πνεύματος αὐτῷ ἐνδέοντος, Νεοπτολέμῳ τῷ ὑποκριτῇ μυρίας δοῦναι, ἵνα ὅλας περιόδους ἀπνεύστως λέγῃ. ἐπεὶ δὲ τῷ πολιτεύεσθαι προσῆλθεν, εἰς δύο διῃρημένων τῶν ἐν τῇ πόλει, καὶ τῶν μὲν φιλιππιζόντων, τῶν δὲ ὑπὲρ τῆς ἐλευθερίας δημηγορούντων, τὴν τῶν ἀντιπολιτευομένων Φιλίππῳ τάξιν εἵλετο, καὶ [1]διὰ παντὸς τοῦ χρόνου διετέλεσε συμβουλεύων, τοῖς κινδυνεύουσιν ὑπὸ Φιλίππῳ γενέσθαι, βοηθεῖν, συμπολιτευόμενος [2]Ὑπερίδῃ, Ναυσικλεῖ, Πολυεύκτῳ, Διοτίμῳ. διὸ καὶ συμμάχους τοῖς Ἀθηναίοις ἐποίησε Θηβαίους, Εὐβοεῖς, Κερκυραίους, Κορινθίους, Βοιωτοὺς, καὶ πολλοὺς ἄλλους πρὸς τούτοις. ἐκπεσὼν δέ ποτε ἐπὶ τῆς ἐκκλησίας καὶ ἀθυμῶν, ἐβάδιζεν οἴκοι. συντυχὼν δὲ αὐτῷ Εὔνομος ὁ Θριάσιος, πρεσβύτης ἤδη ὢν, προετρέψατο τὸν Δημοσθένην. μάλιστα δὲ ὑποκριτὴς Ἀνδρόνικος εἰπὼν, ὡς οἱ μὲν λόγοι καλῶς ἔχοιεν, [3]λείπει δὲ αὐτῷ τὰ τῆς ὑποκρίσεως· ἀπεμνημόνευσέ τε τῶν [4]ἐπὶ τῆς ἐκκλησίας [5]ὑπ' αὐτοῦ λελεγμένων. καὶ δὴ πιστεύσαντα τὸν Δημοσθένη παραδοῦναι αὐτὸν τῷ Ἀνδρονίκῳ. ὅθεν ἐρομένου [6]τινὸς αὐτὸν, τί πρῶτον ἐν ῥητορικῇ; εἶπεν, ὑπό-

[1] Deest διά. [2] Ὑπερείδῃ [3] λείποι [4] ὑπὸ [5] Deest ὑπ'. [6] Deest τινές.

ut dicendi laborem ferre posset. Eum quisque sensum sequatur, utrum maluerit. Wolf.

Ἐπὶ τὸ Φαληρικὸν] Alias, τὰ Φάληρα, portus Atheniensium. Idem.

Μὴ ἐκσταίη] Μὴ διαταράττηται, ab ἐξίστημι: sed ἀορ. β. passive accipitur. ab ἐξίσταμαι, fit ἔκστασις. Sic Libanius, δειλὸς ἦν τὸ πρῶτον πρὸς τοὺς τοῦ δήμου θορύβους, καὶ εὐκατάπληκτος, ὥστε εὐθὺς ἐξίστασθαι. ubi verti, *ut statim cederet*, scilicet obturbanti populo, percelleretur et sibi excideret, et obmutesceret, aut etiam suggestum relinqueret. Idem.

Νεοπτολέμῳ τῷ ὑποκριτῇ] Hujus mentio fit in oratione περὶ στεφάνου, et Philippicis. Idem.

Μυρίας] Malim, χιλίας. Vix enim tantæ fuerunt opes Demosthenis. Idem.

Ἀπνεύστως λέγῃ] Pro, λέγειν μανθάνῃ αὐτὸς ὁ Δημοσθένης, οὐχὶ δὲ ὁ Νεοπτόλεμος. Idem.

Καὶ διὰ παντὸς τοῦ χρόνου] Τὸ διὰ omissum. Paulo post τοῖς κινδυνεύουσιν ὑπὸ Φιλίππῳ γενέσθαι βοηθεῖν. verba sic ordinanda sunt: διετέλεσε διὰ παντὸς τοῦ χρόνου συμβουλεύων βοηθεῖν, id est, ἵνα βοηθῇ ὁ δῆμος τοῖς κινδυνεύουσι γενέσθαι ὑπὸ φιλίππῳ, id est, χειροῦσθαι καὶ καταδουλοῦσθαι: *qui in periculo erant, ne a Philippo opprimerentur.* Idem.

Μάλιστα δὲ ὑποκριτὴς Ἀνδρόνικος] Supra Satyrus nominatur et Neoptolemus: et fieri potest, ut plurium opera fuerit usus. Idem.

Ἀνδρόνικος εἰπὼν] Ἀνδρ. ὃς εἰπών. Reisk.

κρισις, καὶ τί δεύτερον; ὑπόκρισις, καὶ τί τρίτον; ὑπόκρισις. προελθὼν δὲ πάλιν εἰς τὰς ἐκκλησίας, νεωτερικῶς τινὰ λέγων, διεσύρετο· ὡς κωμῳδηθῆναι αὐτὸν ὑπὸ Ἀντιφάνους, καὶ Τιμοκλέους·

Μὰ γῆν, μὰ κρήνας, μὰ ποταμοὺς, μὰ νάματα.

ὀμόσας [1]δὲ τοῦτον τὸν τρόπον ἐν τῷ δήμῳ, θόρυβον ἐκίνησεν. ὤμνυε δὲ καὶ τὸν Ἀσκληπιὸν προπαροξύνων Ἀσκλήπιον, καὶ παρεδείκνυεν αὐτὸν ὀρθῶς λέγοντα· εἶναι γὰρ τὸν θεὸν ἤπιον. καὶ ἐπὶ τούτῳ πολλάκις ἐθορυβήθη. σχολάσας δὲ Εὐβουλίδῃ τῷ διαλεκτικῷ Μιλησίῳ, [2]ἐπανωρθώσατο πάντα. γενόμενος δὲ καὶ ἐν τῇ Ὀλυμπιακῇ πανηγύρει, καὶ ἀκούσας Λαμάχου τοῦ [3]Τεριναίου, Φιλίππου καὶ Ἀλεξάνδρου ἐγκώμιον ἀναγινώσκοντος, Θηβαίων δὲ καὶ Ὀλυνθίων κατατρέχοντος, παραναστὰς ἀρχαίων ποιητῶν μαρτυρίας προηνέγκατο περὶ τῶν Θηβαίοις καὶ Ὀλυνθίοις καλῶς πραχθέντων, ὡς παύσασθαί τε τολοιπὸν τὸν Λάμαχον, καὶ φυγεῖν ἐκ τῆς πανηγύρεως· Φίλιππον δὲ πρὸς τοὺς ἀναφέροντας αὐτῷ τὰς [4]Δημοσθένους [5]καθ' αὐτοῦ δημηγορίας εἰπεῖν, ὅτι καὶ αὐτὸς ἂν ἀκούων λέγοντος Δημοσθένους, ἐχειροτόνησα τὸν ἄνδρα πρὸς τὸν κατ' ἐμοῦ πόλεμον. ἐκάλει δὲ τοὺς μὲν αὐτοῦ λόγους [6]ὁμοίους τοῖς στρατιώταις διὰ τὴν πομπικὴν δύναμιν, τοὺς δὲ Ἰσοκράτους, τοῖς ἀθληταῖς [7]διὰ τὴν πομπήν. τέρψιν [8]μὲν γὰρ παρέχειν αὐτοὺς θεατρικήν. ἑπτὰ δὲ καὶ τριάκοντα ἔτη γεγονὼς, λογιζομένοις ἀπὸ Δεξιθέου εἰς Καλλίμαχον, ἐφ' οὗ παρ' Ὀλυνθίων ἧκε πρε-

1 καὶ 2 ἐπηνωρθώσατο 3 Τερειναίου 4 Deest Δημοσθένους. 5 κατ' αὐτοῦ 6 ὁμοίως 7 Desunt v. διὰ τὴν πομπήν. 8 Deest μέν.

Μὰ γῆν] Videtur aliquid deesse, cujusmodi sit, ὤμοσε δέ ποτε μὰ γῆν, &c. Wolf.

Εὐβουλίδῃ] Hujus etiam Halicarnasseus in Isocratis vita mentionem fecit, et Laertius. Idem.

Εὐβουλίδῃ] De hoc Eubulida Milesio, et quare Plutarchus eum Dialecticum appellat, v. Ions. H. Ph. Scr. I, 13. in fin. Reisk.

Τερειναίου] In altera vita est Μυῤῥιναίου. Forte Μυριναίου, a Lemni urbe, Μυρίνα. Fuerunt et Attici, δῆμον Μυρινούσιοι. Terina urbs est Italica, de qua Stephanus et Plutarchus in consolatione ad Apollonium, Elisium Terinæum Italum appellat. Sed id huc non puto quadrare. Xyland.

Ὁμοίως τοῖς στρατιώταις διὰ τὴν πομπικὴν δύναμιν] Lego, ὁμοίους τοῖς στρατιώταις διὰ τὴν πολεμικὴν, aut certe, πολιτικὴν δύναμιν. οἱ μὲν γὰρ τοῦ Ἰσοκράτους λόγοι πομπικοί εἰσιν· οἱ δὲ τοῦ Δημοσθένους, ἥκιστα. Wolf.

Πομπικὴν] Marg. Lutet. πολεμικήν. quod (inquit Reiskius πολιτικὴν conjectans) præferebat Salmasius, qui hæc adscripserat: Interpres videtur πολεμικὴν legisse; et ita leg. ut et ap. Photium.

Αὐτοὺς] Τούτους Marg. Lutet. quæ mox post v. θεατρικὴν supplet ὁρμὴν δ' ἐκείνους δραστήριον.

Ἐφ' οὗ] V. ad h. l. Schotti comparatas Aristotelis et Demosthenis vitas p. 8.

σβεία περὶ τῆς βοηθείας, ἐπεὶ ἐπιέζοντο ὑπὸ Φιλίππου τῷ πολέμῳ, ἔπεισε ἐκπέμψαι τὴν βοήθειαν. τῷ δὲ ἑξῆς, ἐφ' οὗ Πλάτων ἐτελεύτησεν, Φίλιππος Ὀλυνθίους κατεστρέψατο. ἔγνω δὲ αὐτὸν καὶ Ξενοφῶν ὁ Σωκρατικὸς, ἢ ἀρχόμενον, ἢ ἀκμάζοντα, (τῷ μὲν γὰρ τὰ Ἑλληνικὰ ἐτελεῖτο, [1] εἰς τὰ περὶ τὴν ἐν Μαντινείᾳ μάχην) ἄρχοντα δὲ Χαρικλείδην· ὁ δὲ πρότερον ἐπὶ Τιμοκράτους εἷλε τοὺς ἐπιτρόπους. φεύγοντος δὲ Αἰσχίνου μετὰ τὴν καταδίκην, ἵππῳ κατεδίωξεν αὐτόν. τοῦ δὲ οἰηθέντος [2] αὐτὸν συλλαμβάνεσθαι, καὶ προσπεσόντος, καὶ συγκαλυψαμένου, ἀναστήσας αὐτὸν παρεμυθήσατο, καὶ τάλαντον ἔδωκεν ἀργυρίου. καὶ συνεβούλευσε δὲ τῷ δήμῳ ξενικὸν ἐν Θάσῳ τρέφειν, καὶ ἐπὶ τούτῳ τριηράρχης ἐξέπλευσε. σιτώνης δὲ γενόμενος, καὶ κατηγορηθεὶς κλοπῆς, ἀφείθη. Φιλίππου δὲ Ἐλάτειαν καταλαμβανομένου, καὶ αὐτὸς τοῖς ἐν Χαιρωνείᾳ μαχεσαμένοις συνεξῆλθεν. ὅθεν καὶ δοκεῖ τὴν τάξιν λιπεῖν· φεύγοντος δὲ αὐτοῦ, βάτον ἐπιλαβέσθαι τῆς χλαμύδος, τὸν δὲ ἐπιστραφέντα εἰπεῖν, Ζώγρει. εἶχε δὲ καὶ ἐπίσημον ἐπὶ τῆς ἀσπίδος, Ἀγαθὴν τύχην. εἶπε μέντοι τὸν ἐπιτάφιον ἐπὶ τοῖς πεσοῦσι. μετὰ δὲ ταῦτα πρὸς τὴν ἐπισκευὴν τῆς πόλεως τῇ ἐπιμελείᾳ προσελθὼν, καὶ τῶν τειχῶν ἐπιμελητὴς χειροτονηθεὶς, ἀπὸ τῆς ἰδίας οὐσίας εἰσήνεγκε τὸ ἀναλωθὲν ἀργύριον, μνᾶς ἑκατόν. ἐπέδωκε δὲ καὶ θεωροῖς μυρίας, τριήρους τε ἐπιβὰς, περιέπλευσε τοὺς συμμάχους ἀργυρολογῶν. ἐφ' οἷς πολλάκις ἐστεφανώθη, πρότερον μὲν ὑπὸ [3] Δημομελοῦς, Ἀριστονίκου, Ὑπερίδου χρυσῷ στεφάνῳ, τελευταῖον δὲ ὑπὸ Κτησιφῶντος. καὶ γραφέντος τοῦ ψηφίσματος παρανόμων ὑπὸ Διοδότου καὶ Αἰσχίνου, ἀπολογούμενος ἐνίκησεν, ὥστε τὸ πέμπτον

[1] Deest εἰς. [2] αὐτὸν [3] Δημοτελοῦς Ἀριστονείκου Ὑπερείδου

cujus rationes a rationibus Plutarchi vehementer discrepant. Reisk.

Ἢ ἀρχόμενον] Scilicet, πολιτεύεσθαι. quid si ἀνδρούμενον; *virili prope ætate*, aut etiam *adulta?* ἄρχοντος Χαρικλείδου, lego. Wolf.

Τῷ μὲν γὰρ κ. τ. λ.] F. τῷ γὰρ τὰ Ἑλληνικὰ τελεῖται περὶ μὲν τὴν ἐν Μ. nam *Xenophontis historia rerum Græcarum desinit in pugna ad Mantineam et Archonte Chariclida.* Reisk.

Ἄρχοντα] Ἄρχοντες δὲ Χαρικλείδου Marg. Lutet.

Τάλαντον ἔδωκεν] Supra simile quid ipsi Demostheni in exilium abeunti, accidisse scripsit. Wolf.

Ἐν Θάσῳ] Vitifera et beata insula, quod vel proverbium, Θάσος ἀγαθῶν, declarat. Celebratur et Θάσιος οἶνος, ἀνθ' ὅτου ἡμεῖς πολὺν ἤδη χρόνον ὀξίνην νεκρικὴν, ἄλλοις τε φαρμάκοις καὶ ὕδασι πεφυρμένην, πίνοντες, ἀλγοῦντες ὀσημέραι τὸν στόμαχον, ἀπεσκλήκαμεν. Idem.

Ἐπὶ τοῖς πεσοῦσι] Argumento refutare vult auctor superiorem traditionem, ut calumniam. Nemini enim licebat publice

μέρος τῶν ψήφων τὸν διώκοντα μὴ μεταλαβεῖν. ὕστερον δὲ Ἀλεξάνδρου ἐπὶ τὴν Ἀσίαν στρατευομένου, καὶ φυγόντος Ἁρπάλου μετὰ χρημάτων εἰς Ἀθήνας, τὸ μὲν πρῶτον ἐκώλυσεν αὐτὸν εἰσδεχθῆναι. ἐπειδὴ δὲ εἰσέπλευσε, λαβὼν δαρεικοὺς χιλίους μετετάξατο. βουλομένων τε Ἀθηναίων Ἀντιπάτρῳ παραδοῦναι τὸν ἄνθρωπον, ἀντεῖπεν, ἔγραψέ τε ἀποθέσθαι τὰ χρήματα εἰς ἀκρόπολιν, ἤδη τῷ δήμῳ τὸν ἀριθμὸν εἰπόντα. φήσαντος δὲ Ἁρπάλου ἑπτακόσια [1] καὶ πεντήκοντα, ἢ ὀλίγῳ πλείονα, ὥς φησι Φιλόχορος. μετὰ δὲ ταῦτα φυγόντος Ἁρπάλου ἐκ τοῦ δεσμωτηρίου, ἐν ᾧ ἐφυλάσσετο, μέχρις ἂν ἀφίκηταί τις παρ' Ἀλεξάνδρου, καὶ πορευθέντος εἰς τὴν Κρήτην, ἢ (ὥς ἔνιοι) ἐπὶ Ταίναρον τῆς Λακωνικῆς, αἰτίαν ἔσχεν ὁ Δημοσθένης δωροδοκίας, καὶ διὰ τοῦτο μήτε τὸν ἀριθμὸν τῶν ἀνακομισθέντων μεμηνυκώς, μήτε τὴν τῶν φυλασσόντων ἀμέλειαν. εἰσαχθεὶς δὲ εἰς δικαστήριον ὑπὸ [2] Ὑπερίδου, Πυθέου, Μενεσαίχμου, Ἱμεραίου, Πατροκλέους, οἳ ἐποίησαν καταγνῶναι αὐτοῦ τὴν ἐξ Ἀρείου πάγου βουλήν· καὶ ἁλοὺς ἔφυγε, πενταπλάσιον ἀποτίσαι μὴ δυνάμενος, (εἶχε δὲ αἰτίαν τριάκοντα τάλαντα λαβεῖν,) ἢ (ὥς ἔνιοι) οὐχ ὑπομείνας τὴν κρίσιν. μετὰ δὲ τοῦτον τὸν χρόνον τῶν Ἀθηναίων Πολύευκτον πεμψάντων πρεσβευτὴν πρὸς τὸ κοινὸν τῶν Ἀρκάδων, ὥστε ἀποστῆναι αὐτοὺς τῆς τῶν Μακεδόνων συμμαχίας, καὶ τοῦ Πολυεύκτου πεῖσαι μὴ δυναμένου, ἐπιφανεὶς Δημοσθένης καὶ συνειπὼν ἔπεισεν. ἐφ' ᾧ θαυμασθεὶς μετὰ χρόνον τινὰ κάθοδον εὕρατο, ψηφίσματος γραφέντος, τριήρους ἀποσταλείσης. τῶν δὲ Ἀθηναίων ψηφισαμένων εἰς ἃ ὤφειλε τριάκοντα νῆσαι αὐτὸν τὸν βωμὸν τοῦ σωτῆρος Διὸς ἐν Πειραιεῖ, καὶ ἀφεῖσθαι, τοῦτο γράψαντος τὸ ψήφισμα Δήμωνος Παιανιέως,

[1] ;　　[2] Ὑπερίδου, Πυθαίου

loqui, nedum loco et tempore tam illustri, qui ex acie fugisset et scutum objecisset. Reiske.

Ἀρπάλου] F. Ἁρπάλου, αὐτὸν δὲ φρουρεῖν ἤδη—*ipsum autem Harpalum in custodiam dare, ut qui jam indicasset pecuniarum numerum.* Reiske. Ad v. ἤδη marg. Lutet. asteriscum habet.

Εἰσαχθεὶς] Εἰσήχθη marg. Lutet.

Τριήρους] Καὶ τρι. marg. Lutet. et mox pro νῆσαι, κατασκευάσαι.

Νῆσαι αὐτὸν τὸν βωμὸν] Νῆσαι interpretantur σκευάσαι. fortasse κοσμῆσαι. Supra verbo κατασκευάζειν est usus. Probabile est vetusta et prima vocabula in religionibus retenta esse. Wolf.

Νῆσαι] Eodem redit, quo ea, quæ Photius habet, sententiam eandem planius ita efferens: ἀντὶ τῶν τριάκοντα ταλάντων, ἃ ὤφειλε, τὸν τοῦ Διὸς βωμὸν ἐν Πειραιεῖ ἐπισκευάσασθαι. Quod noster dixit, νῆσαι βωμὸν, est *exaggerare, in altius efferre.*

ὃς ἦν ἀνεψιὸς αὐτῷ, πάλιν ἐν τούτοις ἦν πολιτευόμενος. Ἀντιπάτρου δὲ εἰς [1] Λαμίαν ὑπὸ τῶν Ἑλλήνων συγκλεισθέντος, τῶν Ἀθηναίων εὐαγγέλια θυόντων, πρός τινα τῶν ἑταίρων Ἀγησίστρατον ἔφη, οὐ τὴν αὐτὴν γνώμην ἔχειν τοῖς ἄλλοις περὶ τῶν πραγμάτων· ἐπίσταμαι γὰρ (εἰπεῖν) τοὺς Ἕλληνας στάδιον μὲν πολεμεῖν καὶ εἰδότας καὶ δυναμένους, δόλιχον δὲ οὐκέτι. Φάρσαλον δὲ ἑλόντος Ἀντιπάτρου, καὶ πολιορκήσειν ἀπειλοῦντος Ἀθηναίους, εἰ μὴ τοὺς ῥήτορας ἐκδοίησαν, καταλιπὼν ὁ Δημοσθένης τὴν πόλιν ἔφυγε, πρῶτον μὲν εἰς Αἴγιναν ἐπὶ [2] τὸ Αἰάκειον καθεδούμενος· φοβηθεὶς δὲ, εἰς [3] Καλαυρίαν μετέστη. ἐκδιδόναι δὲ τοὺς ῥήτορας τῶν Ἀθηναίων ψηφισαμένων, κἀκεῖνον, καθέζετο ἱκέτης ἐν τῷ τοῦ Ποσειδῶνος ἱερῷ. ἐλθόντος δὲ ἐπ' αὐτὸν Ἀρχίου τοῦ Φυγαδοθήρου ἐπικαλουμένου, ὃς παρέβαλεν Ἀναξιμένει τῷ ῥήτορι, πείθοντος αὐτὸν ἀναστῆναι, ὡς φίλον Ἀντιπάτρῳ γενησόμενον, εἶπεν, ὅτι Οὔτε, ὅτε ἐτρα-

[1] Λάμειαν [2] τὸν Ἀκραῖον [3] Καλαβρίαν

Reisk.

Πάλιν] Ἦν πάλιν ἐν τοῖς πολιτευομένοις Marg. Lutet. Reiskius autem conj. ἐν τοῖς αὐτοῖς ἦν.

Εἰπεῖν] Εἶπεν. [et mox,] καὶ hoc primum delend. Reisk.

Στάδιον] Suidas, ἑπτὰ ἥμισυ στάδια ποιοῦσι μίλιον ἕν. καὶ τὰ δέκα μίλια ἔχουσι στάδια π'. τὸ στάδιον ἔχει πόδας χ'. τὸ μίλιον πόδας δσ'. τὸ δὲ πλέθρον πόδας ρ'. ἡ ἄρουρα πόδας ν'. ὁ ποῦς δακτύλους ις'. ὁ πῆχυς πόδας ας'. qui locus, an mendis vacet, videndum est. Nam in numeris facillime aberratur, unde portentosa mendacia levi momento existunt. Wolf.

Δόλιχος] Varinus et Suidas, τὸ ἱπποδρόμιον, ἀπὸ τοῦ κάμπτειν· στάδιον δὲ ὁ ὀρθὸς δρόμος ὀργυιαὶ ἑκατὸν, ἢ πηχέων τριακοσίων διάστημα. ἔστι δὲ ὁ δόλιχος κδ' στάδια. δίαυλος ὁ διστάδιος τόπος, ὁ διττὸν ἔχων τὸν δρόμον, ἐν τῇ πορείᾳ πληρῶσαι τὸ στάδιον, καὶ ὑποστρέψαι ἢ μέτρον πηχέων διακοσίων. δίαυλος καὶ ἡ μακρὰ περίοδος. δολιχοδρόμοι δὲ οἱ ζ' τρέχοντες. οἱ γὰρ σταδιοδρόμοι [διαυλοδρόμοι] διπλοῦν ἐποίουν τὸν δρόμον. Idem addit, δίαυλος, ὁπλίτης δρόμος, μεθ' ὅπλων γὰρ ἠγωνίζοντο, ἔχοντες λόφον ἐπὶ τῆς κεφαλῆς. ὀκτὼ δέ εἰσιν ἀγωνίσματα· στάδιον, δίαυλος, δόλιχος, ὁπλίτης, πυγμὴ, παγκράτιον, πάλη καὶ ἅλμα. Alibi τὸ παγκράτιον hoc disticho explicat:

> Ἅλμα ποδὸς, δίσκου τε βολὴ, καὶ ἄκοντος ἐρωὴ,
> Καὶ δρόμος, ἠδὲ πάλη μία δ' ἔπλετο πᾶσι τελευτή.

Ac numeros, qui inter se dissentiant, esse corruptos, non est obscurum. Nobis igitur satis sit, sententiam intelligere, quæ est: *Græcos diuturno bello esse impares,* ut in oratione περὶ συμμοριῶν, τὸν μὲν πρὸς τὸν βασιλέα πόλεμον χαλεπόν· τὸν δὲ ἐκ τοῦ πολέμου ἀγῶνα ῥᾴδιον ἔσεσθαι, disputat. A. Gellius testatur stadium fuisse pedum 600. Idem.

Φάρσαλον] Quid Pharsali expugnatione cum obsidione Athenarum? Videtur nomen loci requiri Athenis propinqui. Verumtamen Antipater tum in Thessalia bellum gerebat. Præterea quoque Pharsalus in bello Lamiaco a scriptoribus non nominatur. Reisk.

Ἐπὶ τὸν Ἀκραῖον καθεδούμενος] Lego, ἐπὶ τὸ Αἰάκειον. *In sacello Æaci* in Ægina sessurus, cujus meminit Pausanias in Atticis. Nisi forte sit Ἀκραῖος Ζεὺς, ut Ἀκραία Ἀφροδίτη, sive quod præsint arcibus et promontoriis, sive quod ibi dedicatæ sint. Wolf. *ad Ajacis fanum.* Reisk.

Εἰς Καλαβρίαν] Supra monui, non Calabriam Italiæ regionem, quæ per β scribitur, sed insulam Calauriam per *αυ* diphthongum intelligendam. Wolf.

Ἀναξιμένει τῷ ῥήτορι καὶ πείθοντος] Alius fuit Anaximenes, Milesius philosophus, Anaximandri successor. De Rhetore Ana-

γώδεις, ἔπειθές με, οὔτε νῦν πείσεις συμβουλεύων. τοῦ δὲ ἐπιχειροῦντος βιάζεσθαι, ἐκώλυσαν αὐτὸν οἱ κατὰ τὴν πόλιν. καὶ Δημοσθένης ἔφη· Οὐ σωτηρίας δεόμενος κατέφυγον εἰς [1]Καλαυρίαν, ἀλλ' ὡς ἐλέγξων Μακεδόνας καὶ κατὰ τῶν θεῶν βιασαμένους. αἰτήσας τε γραμματεῖον, ἔγραψεν (ὡς μὲν Δημήτριος ὁ Μάγνης φησὶ) τὸ ἐπὶ τῆς εἰκόνος [2]αὐτοῦ ἐλεγεῖον ἐπιγεγραμμένον ὑπὸ τῶν Ἀθηναίων ὕστερον·

εἴπερ ἴσην ῥώμην γνώμῃ Δημόσθενες ἔσχες,
οὔ ποτ' ἂν Ἑλλήνων ἦρξεν Ἄρης Μακεδών.

κεῖται δὲ εἰκὼν πλησίον τοῦ περισχοινίσματος καὶ τοῦ βωμοῦ τῶν δώδεκα θεῶν, ὑπὸ Πολυεύκτου πεποιημένη. ὡς δ' ἔνιοί φασι, τοῦτο εὑρέθη γεγραμμένον· Δημοσθένης Ἀντιπάτρῳ χαίρειν. ἀποθανεῖν δὲ αὐτὸν, Φιλόχορος μέν φησι φάρμακον πιόντα· Σάτυρος δὲ ὁ συγγραφεὺς τὸν κάλαμον πεφαρμάχθαι, ᾧ γράφειν ἤρξατο τὴν ἐπιστολὴν, οὗ γευσάμενον ἀποθανεῖν. Ἐρατοσθένης δὲ, ἐκ πολλοῦ δεδοικότα Μακεδόνας, περὶ τῷ βραχίονι κρίκον περικεῖσθαι πεφαρμαγμένον. εἰσὶ δ' οἵ φασι, συσχόντα αὐτὸν τὸ πνεῦμα ἀποθανεῖν· οἱ δὲ εἶπον, τοῦ κατὰ τὴν σφραγῖδα φαρμάκου γευσάμενον * * * δὲ δύο καὶ εἴκοσιν. ἡνίκα δὲ Φίλιππος ἐτεθνήκει, λαμπρὰν ἐσθῆτα προῆλθεν ἔχων, καίτοι τῆς θυγατρὸς αὐτοῦ νεωστὶ τετελευτηκυίας, ἐφηδόμενος τῷ τοῦ Μα-

[1] Καλαβρίαν

[2] αὑτοῦ

ximene non memini me legere. Idem.

Κεῖται δὲ ἡ εἰκὼν πλησίον τοῦ περισχοινίσματος καὶ τοῦ βωμοῦ τῶν δώδεκα θεῶν] Περισχοίνισμα locum aliquem circumseptum fuisse, probabile est, a funibus circumdatis certe nomen habet. τοῦ περισχοινίζεσθαι mentionem facit Æschines κατὰ Κτησιφῶντος. XII. autem dii hi recensentur a D. Augustino de Civ. Dei ex Ennio:

Juno, Vesta, Minerva, Ceres, Diana,
Venus, Mars,
Mercurius, Jovi', Neptunus, Vulcanus,
Apollo. Idem.

Ὑπὸ Πολυεύκτου πεποιημένου] Lege. Idem.

Πεποιημένη] Πεποιημένου marg. Lutet.

Πεφαρμαγμένον] A verbo φαρμάττω vel φαρμάζω. unde paulo ante πεφαρμάχθαι. Wolf.

Γευσάμενον, ἔτη δὲ βιῶναι δύο καὶ ἑξήκοντα] Sic puto legendum ex ipsa historia, pro, δὲ δύο καὶ εἴκοσιν. Idem.

Γευσάμενον] F. γευσάμενον. ἐβίω δὲ δύο καὶ ἑξήκοντα ἔτη. ἡνίκα [ita marg. Lutet.] —Sic quidem juxta calculos Plutarchi; aliter autem computat Schottus, et tantum 60. annos ei tribuit, natum aiens Olymp. 99. anno 4. et defunctum ann. 3. Olymp. 114. Plutarchus autem natum eum ait Archonte Dexitheo ann. 4. Olymp. 98. ergo quadriennio citius. Salmasius hæc adscripserat: γευσάμενον. ἐβίω δὲ, ὡς μὲν οἱ τὰ πλείω λέγουσιν, ἔτη ἑβδομήκοντα· ὡς δὲ οἱ τὰ ἐλάττω, ἑπτὰ καὶ ἑξήκοντα. ἐπολιτεύσατο δύο καὶ εἴκοσιν. Ita reponendum e Photio.—Reisk.

κεδόνος θανάτῳ. συνήργησε δὲ καὶ Θηβαίοις πρὸς Ἀλέξανδρον πολεμοῦσι, καὶ τοὺς ἄλλους Ἕλληνας ἐπέῤῥωσεν ἀεί. διόπερ Θήβας κατασκάψας, ἐζήτει παρ' Ἀθηναίων Ἀλέξανδρος αὐτὸν, ἀπειλῶν εἰ μὴ δοίησαν. στρατευομένῳ δὲ αὐτῷ ἐπὶ Πέρσας, καὶ αἰτοῦντι ναυτικὸν παρ' Ἀθηναίων, ἀντεῖπεν, ἄδηλον εἰπὼν, εἰ οὐ κατὰ τῶν παρασχόντων χρήσεται. κατέλιπε δύο παῖδας ἐκ μιᾶς γυναικὸς, [1]τῆς τῶν εὐδοκίμων τινὸς Ἡλιοδώρου θυγατρός. θυγατέρα μίαν ἔσχεν, ἣ παῖς ἔτι οὖσα πρὸ γάμου ἐτελεύτησεν. εἶχε δὲ καὶ ἀδελφὴν, ἐξ ἧς καὶ Λάχου [2]Λευκονέως ἀδελφιδοῦς αὐτῷ Δημοχάρης ἐγένετο, ἀνὴρ καὶ κατὰ πόλεμον ἀγαθὸς, καὶ κατὰ τοὺς πολιτικοὺς λόγους οὐδενὸς χείρων. ἔστι δὲ αὐτοῦ εἰκὼν ἐν τῷ Πρυτανείῳ εἰσιόντων πρὸς τὴν ἑστίαν δεξιᾷ, ὁ πρῶτος περιεζωσμένος ἅμα τῷ ἱματίῳ καὶ ξίφος. οὕτω γὰρ δημηγορῆσαι λέγεται, ἡνίκα Ἀντίπατρος ἐζήτει τοὺς ῥήτορας. χρόνῳ δὲ ὕστερον Ἀθηναῖοι σίτησίν τε ἐν Πρυτανείῳ τοῖς συγγενέσι τοῦ Δημοσθένους ἔδοσαν, καὶ αὐτῷ τετελευτηκότι τὴν εἰκόνα ἀνέθεσαν ἐν ἀγορᾷ, ἐπὶ Γοργίου ἄρχοντος, αἰτησαμένου αὐτῷ τὰς δωρεὰς τοῦ ἀδελφιδοῦ Δημοχάρους· ᾧ καὶ αὐτῷ πάλιν ὁ υἱὸς Δημοχάρους [3]Λάχης Λευκονεὺς ᾐτήσατο δωρεὰς, ἐπὶ Πυθαράτου ἄρχοντος, δεκάτῳ ὕστερον [4]ἔτει εἰς τὴν τῆς εἰκόνος στάσιν ἐν ἀγορᾷ, καὶ σίτησιν ἐν

[1] τῶν εὐδοκίμου Ἡλιοδώρου τινὸς θυγατρὸς
[2] Λευκωνέως
[3] Λάχης Δημοχάρους Λευκωνεὺς
[4] Deest ἔτει.

Συνείργησε δὲ καὶ Θηβαίοις] Hic legendum per ει. nam ἀργεῖν est *ignavum esse*, et συναργεῖν si diceretur, *socium esse ignariæ*. Sed συνεργεῖν *adjuvare laborantem*, id quod sensus postulat. Wolf.

Ἐκ μιᾶς γυναικὸς τῶν εὐδοκίμου Ἡλιοδώρου τινὸς θυγατρὸς] Supra e Samia quadam suscepisse filiolam scripsit. Puto legendum, τῶν εὐδοκίμων, hoc est, ἐξ εὐδοκίμου γυναικὸς, *e nobili et probata muliere*. Multa hic inter se minime consentientia congeruntur, ut et in vita Isocratis et aliorum, ut propemodum suspicer Plutarchum huc congessisse, quicquid uspiam de hoc oratore legerat, non quod omnia probaret, sed ut suum judicium per otium interponeret, atque accurate omnia describeret, ut superiore libro factum est. Deinde hæ sive schedæ sive rhapsodiæ propter tanti viri auctoritatem temerario editionis honore (ut loquitur Fabius) vulgatæ sunt. Idem.

Τῶν εὐδοκ.] F. τῶν ἀδοκίμων. Nam si nobilis fuisset Heliodorus ille, non addidisset Noster τινός. Reisk.

Καὶ Λάχου] Ἀντὶ τοῦ Λάχητος, ὁ Λάχης τοῦ Λάχου καὶ Λάχητος. Est, τῶν δικλίτων, ut, Χρέμης Χρέμου καὶ Χρέμητος. Wolf.

Εἰσιόντων] Pro, ἐάν τις εἰσίῃ. utuntur et dativo Græci in hoc genere: Pausanias præsertim in descriptione Græciæ. Idem.

Ἐζήτει] Et hic, ut supra, legendum, ἐξῄτει ab ἐξαιτέω, non a ζητέω. Idem.

Ἐζήτει] Ἐξῄτει marg. Lutet.

Ὧ καὶ αὐτῷ πάλιν ὁ υἱὸς Λάχης Δημοχάρους Λευκονεὺς ᾐτήσατο δωρεὰς] Ὧ καὶ αὐτῷ, ambiguum, Demosthenine an Demochari? Demochari et patrem et filium Lachetem fuisse hinc apparet. Sed Lachetem filium hæc postulasse patri Demochari ex eo intelligitur, quod sequitur: καὶ ἔστι τὰ ψηφίσματα ὑπὲρ ἀμφοτέρων ἀναγεγραμμένα. Wolf.

Ἐπὶ [illegible]] Fortasse, [illegible]. Hæc

Πρυτανείῳ, αὐτῷ τε καὶ ἐγγόνων ἀεὶ τῷ πρεσβυτάτῳ, καὶ προεδρίαν ἐν ἅπασι τοῖς ἀγῶσι. καὶ ἔστι τὰ ψηφίσματα ὑπὲρ ἀμφοτέρων ἀναγεγραμμένα. ἡ δὲ εἰκὼν τοῦ Δημοχάρους εἰς τὸ Πρυτανεῖον μετεκομίσθη, περὶ ἧς προείρηται. φέρονται δὲ αὐτοῦ λόγοι γνήσιοι [1] ἑξηκονταπέντε. φασὶ δέ τινες καὶ ἀσώτως αὐτὸν βιῶναι, γυναικείαις τε ἐσθῆσι χρώμενον, καὶ κωμάζοντα ἑκάστοτε· ὅθεν [2] Βάτταλον ἐπικληθῆναι. οἱ δὲ ὑποκοριστικῶς ἀπὸ τοῦ ὀνόματος τῆς τροφοῦ λέγουσιν αὐτὸν οὕτω λελοιδορῆσθαι. Διογένης δὲ ὁ Κύων θεασάμενος αὐτόν ποτε ἐν καπηλείῳ αἰσχυνόμενον καὶ ὑποχωροῦντα, εἶπεν· Ὅσῳ μᾶλλον ὑποχωρεῖς, τοσούτῳ μᾶλλον ἐν τῷ καπηλείῳ ἔσῃ. ἔλεγε δὲ αὐτὸν παρασκώπτων ἐν μὲν τοῖς λόγοις Σκύθην εἶναι, ἐν δὲ ταῖς μάχαις [3] ἀστυκόν. ἔλαβε καὶ παρὰ Ἐφιάλτου χρυσίον, ἑνὸς τῶν δημαγωγῶν, ὃς, πρεσβεύσας πρὸς βασιλέα, χρήματα φέρων ἧκε λάθρα, ὅπως διανείμας τοῖς δημαγωγοῖς τὸν πρὸς Φίλιππον ἐξάψῃ πόλεμον· καὶ ἰδίᾳ αὐτὸν δωροδοκῆσαι παρὰ βασιλέως φασὶ δαρεικοὺς τρισχιλίους. Ἀναξίλαν δέ τινα Ὠρείτην, ξένον [4] αὐτοῦ γεγονότα, συλλαβὼν ἐβασάνιζεν, ὡς κατάσκοπον. οὐδὲν δὲ ἐξειπόντα ἐψηφίσατο τοῖς ἕνδεκα παραδοῦναι. λέγειν δέ ποτε κωλυόμενος ὑπὸ Ἀθηναίων ἐν ἐκκλησίᾳ, βραχὺ ἔφη βούλεσθαι πρὸς αὐτοὺς εἰπεῖν· τῶν δὲ σιωπησάντων· Νεανίας (εἶπε) θέρους ὥρᾳ ἐμισθώσατο ἐξ ἄστεος ὄνον Μεγα-

[1] ἑξήκοντα πέντε [2] Βάταλον [3] ἀστικὸν [4] αὐτοῦ

Episcopii nostri editio habet στάσιν, *ad collationem statuæ.* Idem.

Ἀεὶ] V. ad h. l. Casaubon. ad Theophrasti Charact. 6. Reisk.

Ἐν δὲ ταῖς μάχαις ἀστικὸν] Aut, ἀστυκὸν, aut potius, ἀττικόν. Scytharum barbaries in loquendo quæ fuerit, vel proverbium, ἡ ἀπὸ Σκυθῶν ῥῆσις, testatur: et apud Aristophanem vide τὸν Σκυθισμὸν ἐν Θεσμοφοριαζούσαις. Atticæ vero eloquentiæ commendatio non est ignota: et erant Attici eo tempore ignavi. Cynicus igitur τὸ αὐστηρὸν πολὺ καὶ πυκνὸν τῶν Δημοσθένους λόγων irridet, et una etiam Atheniensium non minus quam Demosthenis ignaviam, quem in dicendo Atticum, in pugnando Scytham esse decuisset. Semper enim Scythæ et barbari et bellicosi habiti fuerunt. Wolf.

Ἐφιάλτου] Scribe. Legebatur Ἀλφιάτου, [ita Petav.] et in scripto aliquanto rectius Ἐλεφιάτου. Ephialtæ nomen etiam alibi in historia Attica occurrit, sed Demagogus iste Ephialtes, qui Persicam tractarit pecuniam, in Hyperidis vita nominatim commemoratur. Xyland.

Δωροδοκῆσαι] Id est, δῶρα λαβεῖν καὶ δέχεσθαι, τὸ δωροδοκεῖσθαι· Est, et τινὰ δωροδοκεῖν τινὰ, τὸ χρήμασι διαφθείρειν, δῶρα διδόναι, δεκάζειν, χρήμασιν ἀναπείθειν.

δῶρα θεοὺς πείθει καὶ αἰδοίους βασιλῆας.
Munera crede mihi placant hominesque deosque:
Placatur donis Jupiter ipse datis.

δωροδόκος, δωροφάγος, δωροδοκία, ἀδωροδόκητος ὁ καθαρῶς ἕκαστα πράττων. Wolf.

Ἐβασάνιζεν] Ἐβασάνισεν marg. Lutet.

ραδε. μεσούσης δὲ τῆς ἡμέρας, καὶ σφοδρῶς φλέγοντος τοῦ ἡλίου, ἑκάτερος αὐτῶν ἐβούλετο ὑποδύεσθαι ὑπὸ τὴν σκιάν· εἶργον δὲ ἀλλήλους, ὁ μὲν μεμισθωκέναι τὸν ὄνον, οὐ τὴν σκιὰν, λέγων, ὁ δὲ μεμισθωμένος, τὴν πᾶσαν ἔχειν ἐξουσίαν. καὶ ταῦτα εἰπὼν, ἀπῄει· τῶν δὲ Ἀθηναίων ἐπισχόντων καὶ δεομένων πέρας ἐπιθεῖναι τῷ λόγῳ· Εἶθ' ὑπὲρ μὲν ὄνου σκιᾶς (ἔφη) βούλεσθε ἀκούειν, λέγοντος δὲ ὑπὲρ σπουδαίων πραγμάτων οὐ βούλεσθε; Πώλου δέ ποτε τοῦ ὑποκριτοῦ πρὸς αὐτὸν εἰπόντος, ὅτι δυσὶν ἡμέραις ἀγωνισάμενος τάλαντον λάβοι μισθόν· Ἐγὼ δὲ (εἶπε) πέντε τάλαντα μίαν ἡμέραν σιωπήσας. παραφθαρεὶς δὲ τὴν φωνὴν ἐν ἐκκλησίᾳ καὶ θορυβηθείς· Τοὺς ὑποκριτὰς (ἔφη) δεῖν κρίνειν ἐκ τῆς φωνῆς, τοὺς δὲ ῥήτορας ἐκ τῆς γνώμης. ὀνειδίσαντος δὲ αὐτὸν Ἐπικλέους, ὅτι ἀεὶ σκέπτοιτο· Αἰσχυνοίμην γὰρ, (εἶπεν) εἰ τηλικούτῳ δήμῳ συμβουλεύων αὐτοσχεδιάζοιμι. ἱστοροῦσι δὲ, ὡς οὐδὲ λύχνον ἔσβεσεν, ἄχρι πεντήκοντα ἐτῶν ἐγένετο, διακρίνων τοὺς λόγους. αὐτὸς δέ φησιν ὑδροποσίᾳ χρήσασθαι. ἔγνω δὲ αὐτὸν καὶ Λυσίας ὁ ῥήτωρ, καὶ Ἰσοκράτης εἶδε πολιτευόμενον ἄχρι τῆς ἐν Χαιρωνείᾳ μάχης, καί τινες τῶν Σωκρατικῶν φιλοσόφων. τοὺς δὲ πλείστους λόγους εἶπεν αὐτοσχεδιάσας, εὖ πρὸς αὐτοὺς πεφυκώς. πρῶτος δὲ ἔγραψε στεφανωθῆναι αὐτὸν χρυσῷ στεφάνῳ Ἀριστόνικος Νικοφάνους Ἀναγυράσιος, ὑπωμόσατο δὲ Διώνδας.

Μεμισθωκέναι, ὁ δὲ μεμισθωμένος] Observa discrimen, *μισθοῦν*, *locare*, *μισθοῦσθαι*, *conducere*, ut *liceri* et *licere* apud Latinos. Wolf.

Μίαν ἡμέραν] Μιᾶς ἡμέρας marg. Lutet.

Αὐτοσχεδιάζοιμι] Αὐτοσχεδιάζειν est non tantum ψεύδεσθαι, ἀσκέπτως λαλεῖν ἢ γράφειν παρὰ τὸ ἀληθὲς, sed etiam παραυτίκα λέγειν. Wolf.

Οὐδὲ λύχνον ἔσβεσε] Ὑπερβολικῶς, pro *lucubrare non destitit*, nisi forte lucernam, tota nocte ardentem, aluit, ut experrectus studio vacare posset: quæ res homini studioso, et subindo aliquid meditanti percommoda est. Cicero contra: Lucubrationes, inquit, detraxi, meridiationes addidi, sed senectute et valetudine postulante: quæ venia non est danda adolescentibus. Idem.

Διακρίνων] Lego, ἐξακριβῶν, quanquam et διακρίνων locum habere potest. Idem.

Διακρίνων] Διακριβῶν marg. Lutet.

Εὖ πρὸς αὐτοὺς πεφυκὼς] Hoc ex aliquo inculcatum videtur, qui etiam ingenii laude ornare Demosthenem voluerit: aut certe ad maturiorem ætatem referendum est, ut juvenis scripserit orationes, senex etiam extempore habuerit, ingenio exercitatione diuturna et dilatato et confirmato. Wolf.

Αὐτοὺς] Αὐτὸ, sc. τὸ αὐτοσχεδιάζειν. Reisk.

Ὑπωμόσατο δὲ Διώνδας] Suidas, ὑπερτίθεσθαι τὴν δίκην προφάσει χρώμενον ἀποδημίας ἢ νόσου ἢ τινι τῶν παραπλησίων μεθ' ὅρκου. Unde ὑπωμοσία ἔνορκος ἀναβολή. *Diondas intercessit, rem distulit.* quod nescio quam belle huc quadret. Quare non abest mendi suspicio. Wolf.

ΔΗΜΟΣΘΕΝΟΥΣ

ΕΓΚΩΜΙΟΝ ΚΑΤΑ ΛΟΥΚΙΑΝΟΝ.

---

[1] ΒΑΔΙΖΟΝΤΙ μοι κατὰ τὴν στοὰν, τὴν ἐντεῦθεν ἐξιόντων ἐν ἀριστερᾷ, τῆς ἕκτης ἐπὶ δέκα, σμικρὸν πρὸ μεσημβρίας, Θερσαγόρας περιτυγχάνει. τάχα τινὲς αὐτὸν ὑμῶν ἐπίσταιντο· σμικρός τίς ἐστι, γρυπὸς, ὑπόλευκος, ἀνδρικὸς τὴν φύσιν. ἰδὼν οὖν αὐτὸν ἔτι προσιόντα, Θερσαγόρας, ἔφην, ὁ ποιητὴς, ποῖ δὴ, καὶ πόθεν; ΘΕΡΣ. Οἴκοθεν, ἦδ' ὃς, ἐνταῦθα. ΛΥΚ. Πότερον δ', ἦν δ' ἐγὼ, διαβαδίσων; ΘΕΡΣ. Ἀμέλει μὲν, ἔφη, καὶ τούτου δεόμενος· ἀωρὶ γάρ τοι τῶν νυκτῶν ἐξαναστὰς, ἔδοξέ μοι χρῆναι τοῖς Ὁμήρου γενεθλίοις τῆς ποιητικῆς ἀπάρξασθαι. ΛΥΚ. Καλῶς γε σὺ ποιῶν, ἔφην, καὶ τὰ τροφεῖα τῆς παιδεύσεως ἐκείνῳ τίνων. ΘΕΡΣ. Ἐκεῖθεν οὖν

[1] Τὴν ἐντεῦθεν ἐξιόντων ἐν ἀριστερᾷ] Scilicet οὖσαν, *quæ hinc exeuntibus ad lævam est.* WOLF.

Τῆς ἕκτης ἐπὶ δέκα] Scilicet, ἡμέρας, sed mensis nomen dissimulatur, ob incertum, ut opinor, Homeri natalem. Nam si, quo seculo fuerit natus, ignoratur, ut paulo post fatetur: dies ejus natalis sciri qui potuit? Eum igitur natalem arbitratu poetarum confictum fuisse existimo. Julius Firmicus tamen hujusmodi thema illi constituit cum Pindaro commune, cujus longe alia et fortuna et natura fuit: ut et Demosthenis et Hermodori. IDEM.

Ἕκτης ἐπὶ δέκα] Eo die mensis Pyanepsionis obiisse Demosthenem, auctor est Plut. sub fin. ej. vitæ §. λ'. SOLAN. Cum mensem non nominet, nihil inde de natali die vel Homeri vel Demosthenis colligas. Et lusit, credo, auctor in hoc etiam, quod natalem inducit celebrantes poetæ et oratoris maximi, cum de neutro aliquid constaret. GESN.

Θερσαγόρας] Adjecerat Hemst. videndum L. Bos ad Evang. Luc. XVIII. 13. ubi cum itidem nominativus legatur, ὁ Θεὸς, ἱλάσθητί μοι, post exempla alia etiam hoc Luciani affert, addens: *Neque tamen Atticismum hunc animadvertit Luciani interpres h. l. quando reddidit:* Hic Thersagoras poeta est. *Debebat:* Thersagora poeta, quonam, et unde? — At Gesnerus vel sine hac admonitione pristinum errorem jam correxit. cf. Bis Accus. c. 20 f. et 33 pr. Adde, si vis, Æsop. F. 129 f. τῶν ἐδείπνησας, φίλος; REITZ.

Ἀμέλει μὲν ἔφη καὶ τούτου δεόμενος] *Omnino quidem, inquit, et ea re indigens*, id est, eam quoque ob causam. ἀμέλει, adverbialiter. Varinus, τοιγαροῦν, τὸ λοιπὸν, ἁπλῶς, καὶ διὰ τοῦτο, βεβαιωτικῶς. Hesychius addit, διὸ, οὕτως, οὖν. Etymologicon, δηλαδὴ, πάντως· ἐπίῤῥημα γάρ ἐστι συγκατάθεσιν δηλοῦν. Budæus, *Atqui, nimirum, scilicet, certe, prorsus*, ἐπειδὴ, *etenim.* Aristophanes, ἀμέλει δίδασκε; *Quin tu doces?* WOLF.

Ἐξαναστὰς ἔδοξέ μοι] Ἀνακόλουθον sive ἀντίπτωσις pro ἐξαναστάντι [quod exhibet marg. Lutet.] vel ἐπειδὴ ἐξανέστην. IDEM.

Καλῶς γε σὺ ποιῶν] Approbandi formula. IDEM.

Ἐκεῖθεν οὖν ἀρξάμενος] Ἐκ τοῦ ἀωρὶ τῶν νυκτῶν. IDEM.

ἀρξάμενος, ἦδ' ὅς, ἔλαθον ἐμαυτὸν εἰς τοῦτο τῆς μεσημβρίας ἐκπεσών. ὅπερ οὖν ἔφην, δεῖ μέν μοι καὶ τοῦ περιπάτου. [2] Πολὺ μέν τοι πρότερον, ἔφη, προσειπεῖν τουτονὶ δεόμενος ἥκω, τῇ χειρὶ τὸν Ὅμηρον ἐπιδείξας. ἴστε δή που τὸν ἐν δεξιᾷ τοῦ τῶν Πτολεμαίων νεὼ, τὸν καθειμένον τὰς κόμας. προσερῶν τε οὖν αὐτὸν ἀφικόμην, ἔφη, καὶ προσευξόμενος ἀφθόνων μεταδιδόναι τῶν ἐπῶν. ΛΥΚ. Εἰ γὰρ, ἔφην, ἐν εὐχαῖς τὰ πράγματα εἴη. πάλαι γάρ τοι καὶ αὐτὸς ἐνοχλεῖν μοι δοκῶ τὸν Δημοσθένην, ἐπικουρῆσαί τι πρὸς τὴν αὐτοῦ γενέθλιον. εἰ οὖν ἡμῖν ἐπαρκέσοι τὸ εὔχεσθαι, συμβουλοίμην ἄν σοι. κοινὸν γὰρ ἡμῖν τὸ [1] Ἑρμαῖον. ΘΕΡΣ. Ἐγὼ μὲν, ἔφη, καὶ τῶν νύκτωρ τε καὶ τήμερον πεποιημένων, δοκῶ μοι τῆς [2] εὐνοίας τὸν Ὅμηρον ἐπιγράψασθαι· θείως γάρ πως καὶ μαντικῶς εἰς τὴν ποίησιν ἐξεβακχεύθην· κρινεῖς δ' αὐτός. ἐπίτηδες γάρ τοι τουτὶ τὸ γραμματεῖον περιηγόμην, εἰ ἄρα τῳ σχολὴν ἄγοντι τῶν ἑταίρων περιτύχοιμι. δοκεῖς οὖν μοι ἐν καλῷ σὺ τῆς σχολῆς εἶναι. [3] ΛΥΚ. Μακάριος γὰρ εἶ, ἦν δ' ἐγὼ, καὶ πέπονθας τὸ τοῦ τὸν δόλιχον νενικηκότος, ὃς ἤδη λελουμένος τὴν κόνιν καὶ τὸ λοιπὸν τῆς θέας ψυχαγωγούμενος μυθολογεῖν πρὸς τὸν παλαιστὴν διενοεῖτο, [3] ἐπιδόξου κληθήσε-

[1] Ἕρμαιον [2] εὐρσίας [3] ἐπίδοξον

[2] Προσειπεῖν τουτονὶ δεόμενος] *Necesse habens hunc salutare.* Idem.

Ἴστε δή που τὸν] V. Plut. 1557. 1. Erat etiam in Ceramico statua intra urbem, quam a Polyeucto factam tradit Plut. in ejus vita. Meurs. Ath. Att. 23. AG. IV, 974. Solan.

Νεὼ] Templi Homero a Philop. Ptolemæo structi mentio est apud Ælian. V. H. XIII. 22. quod Alexandreæ collocat, nescio quam bene, Marshamus in Can. Chron. p. 441. An, illud idem templum hic signari dicemus, et scenam dialogi esse in Ægypti Alexandrea? Nolim sane hoc solo argumento: cum præsertim Ptolemæi Gymnasium in ipsis Athenis Atticis inveniam. Pausan. l. I. p. 29, 31. Gesn.

Καθειμένον] A καθίεμαι παρακείμενον. καθήμενος, aliud est, παρὰ τὸ κάθημαι. Wolf.

Ἐνοχλεῖν τὸν Δημοσθένην] Pro τῷ Δημοσθένει ἐνοχλῆσαι, *negotium Demostheni jamdudum*, inquit, *utique facessissem.* Alludit, opinor, ad Doricum illud proverbium, ὅτι τὼ χεῖρε ποτιφέροντα ἐπικαλεῖσθαι δεῖ τὼς θεὼς, quod Latinus poeta interpretans:

Ignavæque, inquit, *movent numina nulla preces.* Idem.

Δοκῶ μοι τῆς εὐρσίας τὸν Ὅμηρον ἐπιγράψασθαι] Sic Aldus: alii, εὐνοίας. εὔρσια *copiosum flumen versuum* significat hoc loco. alias *prosperitatem, successum.* Unde τὸ εἰρσεῖν, frequens Epicteto nostro verbum. εὔνοια, *benevolentiam.* Etsi autem utrumque sententia ferre potest: tamen εὔρσια plus arridet. Sic Cic. Tus. 1. "Poetam," inquit, "grave plerumque carmen fundere, id non fit sine cœlesti aliquo mentis impulsu." τῆς εὐρσίας, subintelligitur ἕνεκα, διὰ τὴν εὔρσιαν, et tamen ἐπιγράψασθαι τῶν πεποιημένων, insolentior constructio et suspecta est, pro τοῖς πεποιημένοις. Et hæc mutatio casuum oriri videtur ex notis compendiariis scribendi, quas alii aliter et pingunt et legunt. Sic non multo post, τοὺς δὲ ῥητορικοὺς λόγους καταφρονεῖς, fortas-

σθαι τῆς πάλης οὔσης. ὅδ', Ἀλλ' ἐπὶ τῆς βαλβῖδος οὐκ ἂν ἐμυθολόγεις, ἔφη· καὶ σὺ δή μοι δοκεῖς νενικηκὼς τὸν δόλιχον τῶν ἐπῶν, ἐντρυφᾷν ἀνδρὶ μάλα δὴ κατοῤῥωδοῦντι τὴν τοῦ σταδίου τύχην. ΘΕΡΣ. Καὶ ὃς γελάσας, Ὡς [1]δὴ σύ τι τῶν ἀπόρων, εἶπεν, ἐργασόμενος; [4] ΛΥΚ. Ἴσως γὰρ, ἔφην, ὁ Δημοσθένης ἐλάττονος ἢ καθ' Ὅμηρον εἶναί σοι λόγου καταφαίνεται· καὶ σὺ μὲν μέγα φρονεῖς, Ὅμηρον ἐπαινέσας· ἐμοὶ δὲ ὁ Δημοσθένης σμικρὸν καὶ τὸ μηδέν. ΘΕΡΣ. Συκοφαντεῖς, ἔφη· διαστασιάσαιμι δ' οὐκ ἂν τοὺς [2]ἥρωας, εἰ καὶ πλείων εἰμὶ τὴν γνώμην πρὸς Ὁμήρου τετάχθαι. ΛΥΚ. Εὖγε, εἶπον· ἐμὲ δ' οὐκ ἂν νομίζοις πρὸς τοῦ Δημοσθένους; [5] Ἀλλ' ἐπεί γε μὴ ταύτῃ τὸν λόγον ἀτιμάζεις κατὰ τὴν ὑπόθεσιν, δῆλον ὡς τὴν ποιητικὴν ἔργον ἡγῇ μόνον, τοὺς δὲ ῥητορικοὺς λόγους καταφρονεῖς ἀτεχνῶς, οἷον ἱππεὺς παρὰ πεζοὺς ἐλαύνων. ΘΕΡΣ. Μὴ μανείην, ἔφη, ταῦτά γε, κἂν εἰ πολλῆς δεῖ τῆς μανίας ἐπὶ τὰς ποιητικὰς ἰοῦσι θύρας. ΛΥΚ. Δεῖ γάρ τοι καὶ τοῖς καταλογάδην, ἔφην, ἐνθέου τινὸς ἐπιπνοίας, εἰ μέλλουσι μὴ ταπεινοὶ φανεῖσθαι, καὶ φαύλης φροντίδος. ΘΕΡΣ. Οἶδά τοι, ἔφη, ὦ ἑταῖρε, καὶ χαίρω πολλάκις, ἄλλων τε δὴ λογοποιῶν, καὶ τὰ Δημοσθένους ἐγγὺς τῶν Ὁμήρου τιθείς. οἷον λέγω τὴν σφοδρότητα καὶ πικρίαν καὶ τὸν ἐνθουσιασμόν· καὶ τὸ μὲν οἰνοβαρὲς, πρὸς τὰς Φιλίππου μέθας καὶ κορδακισμοὺς καὶ τὴν ἀσέλγειαν· τὸ δ', εἷς οἰωνὸς ἄριστος, πρὸς τὸ, δεῖ γὰρ τοὺς

[1] δή σοι τὶ

[2] ἥρως

sis ἀντὶ τοῦ, τῶν δὲ ῥητορικῶν λόγων [ita marg. Lutet.] καταφρονεῖς. IDEM.

[3] Ὡς δὴ σύ τι] Sic legendum pro σοί. IDEM.

Ὡς δή σοι — ἐργασαμένῳ] Sic legendum arbitror, ut pendeat ab κατοῤῥωδοῦντι. GESN. δή τοι forsan. GUYET.

[4] Πλείων εἰμὶ] *Plus in eo sum animo meo, ut ab Homero faciam*, id est, magis inclinat animus ad Homeri laudes. τετάχθαι πρὸς Ὁμήρου ἢ Δημοσθένους, *stare ab Homero, facere cum Demosthene.* WOLF.

[5] Ταύτῃ—κατὰ τὴν ὑπόθεσιν] Τὸ ταύτῃ, παρέλκειν δοκεῖ, aut κατὰ τὴν ὑπόθεσιν, ἐπεξήγησις est sive διασάφησις. *Sed quoniam ipsum argumentum orationis præclarum tibi videtur:* quoniam Demosthenem, quem celebrare institui, magnum virum judicas. IDEM.

Τοὺς δὲ ῥητορικοὺς λόγους καταφρονεῖς] Non multo post, πόθεν γὰρ δὴ περιφρονοίην ἂν τὴν σὴν Καλλιόπην. et apud Aristophanem, [Νεφ. 225.] ἀεροβατῶ καὶ περιφρονῶ τὸν ἥλιον. ubi περιφρονῶ ἀντὶ τοῦ κατανοῶ καὶ ἐπισκέπτομαι, οὐχὶ δὲ ἀντὶ τοῦ καταφρονῶ poni videtur. IDEM.

Οἰνοβαρὲς] Iliados A. [v. 225.] IDEM.

Μέθας] Olynthiaca B. [A. §. ζ'.] IDEM.

Τὴν ἀσέλγειαν] Ἀκρασίαν τοῦ βίου habet Demosthenes, nisi ad Midianam alludat. IDEM.

Εἷς οἰωνὸς ἄριστος] Iliados M. [v. 243.] IDEM.

Δεῖ γὰρ τοὺς ἀγαθοὺς] Oratione περὶ στε-

ἀγαθοὺς ἄνδρας, τὰς ἀγαθὰς ὑποθεμένους ἐλπίδας· καὶ τὸ, ἧκε μέγ' οἰμώξειε γέρων ἱππηλάτα Πηλεὺς, πρὸς τὸ, πηλίκον ποτὲ στενάξαιεν ἂν οἱ ἄνδρες ἐκεῖνοι, οἱ ὑπὲρ δόξης καὶ ἐλευθερίας τελευτήσαντες. παραβάλλω δὲ καὶ τὸν ῥέοντα Πύθωνα πρὸς τὰς Ὀδυσσέως νιφάδας τῶν λόγων· καὶ τὸ, εἰ μὲν μέλλοιμεν ἀγήρωτ' ἀθανάτω τε ἔσεσθαι, πρὸς τὸ, πέρας μὲν γὰρ ἅπασιν ἀνθρώποις τοῦ βίου θάνατος, κἂν ἐν οἰκίσκῳ τις αὐτὸν καθείρξας τηρῇ. καὶ μυρίαι γεγόνασιν αὖθις αὐτοῖς ἐπὶ ταὐτὸν τῆς διανοίας ἐπιδρομαί. [6] Ἥδομαι δὲ καὶ πάθη, καὶ διαθέσεις, καὶ τροπὰς λέξεως καταμανθάνων, καὶ τὰς ἀφαιρούσας τὸν κόρον μεταβολὰς, καὶ τὰς ἐκ τῶν παρατροπῶν ἐπανόδους, καὶ τὰς τῶν παραβολῶν σὺν τῷ καιρῷ γλαφυρότητας, καὶ τὸ τοῦ τρόπου μισοβάρβαρον πανταχοῦ. [7] Καί μοι πολλάκις ἔδοξεν (οὐ γὰρ ἂν τἀληθὲς ἀποκρυψαίμην) εὐπρεπέστερον μὲν ῥαθυμίας Ἀττικῆς καθάπτεσθαι Δημοσθένης, ὁ τὴν παῤῥησίαν, ὥς φασιν, ἀνειμένος, τοῦ τοὺς Ἀχαιοὺς Ἀχαιΐδας προσειπόντος· διαρκεστέρῳ δὲ τόνῳ πνεύματος τὰς Ἑλληνικὰς ἀποπληροῦν τραγῳδίας, τοῦ μεταξὺ τῆς ἀκμαιοτάτης μάχης διαλόγους ἀναπλάττοντος, καὶ μύθοις

φάνου. [§. κή.] Idem.

Ἧκε μέγ' οἰμώξειε] Iliados Θ. [H. v. 125.] Idem.

Πηλίκον ποτὲ στενάξαιεν] Oratione κατ' Ἀριστοκράτους. [p. 690. ed. Reisk.] Idem.

Ῥέοντα Πύθωνα] Oratione περὶ στεφάνου. [§. μγ'.] Idem.

Νιφάδας] Iliados Θ. [Γ. 222.] Idem.

Μέλλοιμεν] Il. M. 323.

Πέρας μὲν γὰρ] Oratione περὶ στεφάνου. [§. κή.] Wolf.

[6] Ἥδομαι δὲ καὶ πάθη καὶ διαθέσεις καὶ τροπὰς λέξεως] Πάθη non refero ad λέξεως, sed *vehementiores affectus*, διαθέσεις *leniores*, quæ alias ἤθη dicuntur, intelligo. Idem.

Ἐκ τῶν παρατροπῶν ἐπανόδους] Παρατροπὰς vocat, τὰς παρεκβάσεις, καὶ ἐκβολὰς *regressiones ab egressionibus*. Idem.

Καὶ τὸ τοῦ τρόπου μισοβάρβαρον πανταχοῦ] *Et animum barbaris ubique infestum.* τὸ τοῦ τρόπου, scilicet, τοῦ Δημοσθένους. *Mores inimici barbaris*, id est, animus Demosthenis amans Græcorum, infestus barbaris, sicut τὸ μισοβάρβαρον etiam in Homero commendant Plutarchus et Isocrates in Panegyrico. Idem.

[7] Ὁ τὴν παῤῥησίαν, ὥς φασιν, ἀνειμένος] *Libertate, ut aiunt, soluta*, ab ἀνίεμαι, id est, ὁ μηδὲν ὑποστειλάμενος εἰπεῖν, καὶ παῤῥησιάσεσθαι περὶ πάντων εἰωθώς. Idem.

Τοῦ τοὺς Ἀχαιοὺς] *Illo qui Achæos*, id est, Homero, quem in reprehendendo nominare veretur, μάλα πρεπόντως. quanquam persona Thersitis fœdissimi et importunissimi scurræ excusari potest, cujus ea verba sunt Iliados A. [B. v. 235.] Sic autem commendatur: [v. 212.]

Θερσίτης δ' ἔτι μοῦνος ἀμετροεπὴς ἐκολῴα,
Ὅς ῥ' ἔπεα φρεσὶν ᾗσιν ἄκοσμά τε πολλάτε ᾔδη.

Deinde ἐπέσβολος ille sic increpat Græcos:

Ὦ πέπονες, κάκ' ἐλέγχε', Ἀχαιΐδες, οὐκ ἔτ' Ἀχαιοί. Idem.

Μύθοις τὴν φορὰν σκεδαννύντος] *Fabulis*

τὴν φορὰν σκεδαννύντος. [8] Πολλάκις [1]δέ με τὰ τοῦ Δημοσθένους καὶ μέτρα κώλων καὶ ῥυθμοὶ καὶ βάσεις οὐκ ἔξω τῆς ποιητικῆς ἡδονῆς ἐμβιβάζουσιν, ὥσπερ οὐδ' Ὅμηρος ἐλλιπὴς ἀντιθέσεων ἢ παρισώσεων ἢ σχημάτων τραχύτητος ἢ καθαρότητος. ἀλλ' ἔοικε φύσει πως ὑπάρχειν, [2]ταύταις ταῖς δυνάμεσι τὰς ἀρετὰς ἐπιπεπλέχθαι. πόθεν γὰρ δὴ περιφρονοίην ἂν τὴν σὴν Καλλιόπην, ταύτην δὲ γιγνώσκων; [9] Ἀλλ' οὐδὲν ἧττον τοὐμὸν ἀγώνισμα τῶν εἰς Ὅμηρον ἐγκωμίων διπλάσιον ἔργον, ἢ τοὺς σοὺς εἰς Δημοσθένην ἐπαίνους τίθημι, οὐ τοῖς μέτροις, ἀλλὰ τῇ ὑποθέσει φημί· τῷ τοὐμὸν μὲν οὐκ ἔχειν ἑδραίαν τινὰ κρηπῖδα ὑποβαλέσθαι τῶν ἐπαίνων, πλήν γε τῆς ποιητικῆς αὐτῆς· τὰ δ' ἄλλα, τὰ μὲν ἀσαφῆ, πατρὶς καὶ γένος καὶ χρόνος. εἰ γοῦν τι σαφὲς αὐτῶν ἦν, οὐκ ἦν ἂν ἀμφίλεκτος ἀνθρώποις ἔρις, πατρίδα μὲν διδόντων αὐτῷ, Ἰωνικὴν Κολοφῶνα, ἢ Κύμην, ἢ Χίον, ἢ Σμύρναν, ἢ Θήβας τὰς Αἰγυπτίας, ἢ μυρίας ἄλλας· πατέρα δὲ Μαίονα τὸν Λυδὸν, ἢ ποταμὸν, καὶ μητέρα Μελανώπην, φασὶν, ἢ νύμφην τῶν Δρυάδων,

[1] δὲ μετὰ τοῦ

[2] Deest ταύταις.

impetum belli dissipantis, vel *luxantis*: quod est contra naturam rerum. Animus enim concitatus, deque vita dimicans, prolixas disputationes non admittit. Vide Glauci et Diomedis permutationem, Hectoris item et Ajacis: aliorumque complurium. IDEM.

[8] Βάσεις] Sic videtur appellare *numerosas clausulas periodorum:* quæ iis tanquam innitantur. Budæus, *clausula rhythmi, et rhythmus ipse, et pars rhythmi*, ἀνάπαυσις, *rhythmi positio.* ἑδραία βάσις, Ciceroni, *id quod numerose sedet.* Hesychius, βάσις ὁ ῥυθμὸς, στήριγμα, βῆμα, πορεία, ἕδρα, ὁδός. ὅθεν βάσιμον, ἑδραῖον, βέβαιον, στάσιμον, πορευτικὸν, ἐπίβατον. IDEM.

Οὐκ ἔξω τῆς] *Non extra poeticam voluptatem collocant*, id est, perinde me afficiunt, ac si poema legerem. IDEM.

Σχημάτων τραχύτητος] De his consulatur Hermogenes. IDEM.

Ὑπάρχειν ταῖς δυνάμεσι τὰς ἀρετὰς ἐπιπεπλέχθαι] Δυνάμεις appellat, τὴν ποιητικὴν, καὶ ῥητορικήν. Sic Cic. 1. de Orat. "Finitimus oratori poeta, numeris astrictior paulo, verborum autem licentia uberior." Item alibi, "oratori poeta multis ornandi generibus socius ac pæne par." IDEM.

Πόθεν γὰρ δὴ περιφρονοίην τὴν σὴν Καλλιόπην, ταύτην δὲ γιγνώσκων] Suspecta mihi lectio est. Malim, ὑπερφρονοίην, τοιαύτην εἶναι, vel, τοιαύτην γε. *Qui igitur tuam Calliopen aspernarer, quam talem esse norim?* IDEM. τοιαύτην marg. Lutet.

[9] Ἑδραίαν τινὰ κρηπῖδα] *Satis firmum fundamentum jacere.* Pertinet hoc ad ignorationem τῶν περιστάσεων, quas subjicit, ætatis, natalium, patriæ, &c. WOLF.

Οὐκ ἦν ἂν ἀμφίλεκτος] Euripid. Phœniss. v. 499. ed. Matth.

Εἰ πᾶσι ταὐτὸ καλὸν ἔφυ σοφόν θ' ἅμα,
Οὐκ ἦν ἂν ἀμφίλεκτος ἀνθρώποις ἔρις.

Ἢ Στυππίαν] Sic Aldinus codex, quod quid sibi velit, nescio, sed alii Σμύρναν, rectius opinor, ut in Epigrammate:

Ἑπτὰ πόλεις διερίζουσι περὶ ῥίζαν Ὁμήρου,
Σμύρνα, Ῥόδος, Κολοφὼν, Ἴος, Χίος, Ἄργος, Ἀθῆναι. WOLF.

Θήβας τὰς Αἰγυπτίας] De Homero vel Ægyptio vel Ind. adeo, v. quos laudat Casaubon. ad Athen. IV. 14. Ægyptium etiam vocat Calasiris apud Heliodor. Æthiop. l. III. p. 148. GESN.

Ἢ νύμφην τῶν Δρυάδων] *Aut nympham*

ἀνθρωπίνου γένους ἀπορία· χρόνον δὲ, τὸν Ἡρωϊκὸν ἢ τὸν Ἰωνικόν. καὶ μηδ' ὅπως πρὸς τὸν Ἡσίοδον εἶχεν ἡλικίας σαφῶς εἰδέναι, ὅπου γε καὶ τοὔνομα πρὸ τοῦ γνωρίμου, [1] τὸν Μελησιγενῆ προκρίνουσιν, ἅτε αὐτῷ τεθῆναι δοκοῦντος διὰ τύχην πενίας, ἢ πάθος ὀμμάτων· ἀλλὰ μὴ βέλτιον εἴη καὶ ταῦτα ἐᾷν ἐν ἀσαφεῖ κείμενα. [2] περὶ στενὸν δή μοι κομιδῇ τὸ ἐγκώμιον, ποίησιν ἄπρακτον ἐπαινέσαι, καὶ σοφίαν ἐκ τῶν ἐπῶν εἰκαζομένην συλλέγειν. [10] Τὸ δὲ σὸν, ἔφη, κατὰ χειρὸς, ἐπίδρομόν τε καὶ λεῖον, ἐφ' ὡρισμένοις τε καὶ γνωρίμοις μόνον ὀνομάτων, οἷον, ὄψον ἕτοιμον ἡδυσμάτων παρὰ σοῦ δεόμενον. τί γὰρ οὐ μέγα, καὶ λαμπρὸν ἡ τύχη τῷ Δημοσθένει προσῆψε; τί δ' οὐ γνώριμον; οὐκ Ἀθῆναι μὲν αὐτῷ πατρὶς, αἱ λιπαραὶ καὶ ἀοίδιμοι, καὶ

[1] Τὸ Μελησιγενῆ προκρίνουσι· τύχην δὲ, πενίαν, ἢ πάθος ὀμμάτων, ἀλλὰ μὴν βέλτιον
[2] περιστενὸν

e genere Dryadum, scilicet, μίαν. Wolf.

Τὸν Ἡρωϊκὸν] Trojani belli tempus, et paulo superius, quo Hercules et Theseus floruerunt. Idem.

Τὸν Ἰωνικὸν] Quo tempore Smyrna et Cumæ conditæ sunt, ut ex Herodoto colligo. Idem.

Ἢ τὸν Ἰωνικὸν] Forte *Ionicum* hoc *tempus* pertinet ad migrationem illam Ionicam, quæ facta est Attico anno 536. id est, post Trojam captam annis 163. Sane Arundellianum marmor posteriorem facit Homerum Trojano bello annis 168. V. Marsham. Ca. Chron. p. 352. et 360. seq. Gesn.

Μηδ' ὅπως πρὸς τὸν Ἡσίοδον] Sunt qui Homerum et Hesiodum æquales fuisse scribant, et citatur ex Hesiodi opere nescio quo, versus:

Ὕμνῳ νικήσας ἐνὶ Χίῳ θεῖον Ὅμηρον.

Quo se hymno vicisse Homerum gloriatur. Wolf.

Τύχην δὲ πενίας ἢ πάθος ὀμμάτων] Fortasse, διὰ τύχην πενίας ἢ πάθος ὀμμάτων. Vide Suidam in nomine ὅμηρος. Herodotus in vita Homeri, οἱ Κυμαῖοι τοὺς τυφλοὺς, inquit, ὁμήρους λέγουσι. Idem.

Ἀλλὰ μὴ βέλτιον εἴη] Pro, ἴσως δὲ βέλτιόν ἐστιν. est ἐλλειπτικὴ oratio. ὅρα ὅπως μὴ βέλτιον εἴη. Idem.

Περὶ στενὸν δή μοι κομιδῇ] Scilicet, γέγονεν, ἢ κατέστη, ut I. (III.) Olynth. εἰς στενὸν αὐτῷ κομιδῇ τὰ τῆς τροφῆς τοῖς ξένοις καταστήσεται, de præterito tempore intelligendum. Nam encomium Homeri absolutum jam erat. Idem.

Ποίησιν ἄπρακτον] *Poesin absque rebus gestis, otiosam, ignavam.* Idem.

[10] Ἐπίδρομόν τε καὶ λεῖον] *Et ad cursum expeditum et planum.* Idem.

Μόνον ὀνομάτων] *Tantum a te verba tanquam ad paratum obsonium condimenta requiruntur.* Idem.

Αἱ λιπαραὶ] Ἀνθηραὶ, Suidas. Videntur hæc ex aliquo Lyrico aut Melico esse sumpta. Hoc epitheton, nisi fallor, Diogenes Athenis commune esse dixit cum aphyis, pinguibus pisciculis. Idem.

Αἱ λιπαραὶ] Pindaricum hoc Athenarum elogium agnoscit Schol. Aristoph. Νεφ. 298. cujus Lyrici loca pluscula laudat Spanh. ad l. c. qui non *pingues* intelligi vult Athenas, cum λεπτόγεων sit solum Atticæ, sed *splendidas*. Videtur tamen neque altera illa exsulare significatio debere, quod olearum ferax fuit Attica, vel ob id ipsum, quod λεπτόγεως. Florentinus Geopon. 9. 4. extr. de oleis Ἡ δὲ λεπτόγειος ἐπιτηδεία, καὶ μαρτυρεῖ ἡ Ἀττική. Add. Cerda ad Virg. Georg. II. 179 seq. Deinde nisi λιπαραὶ Ἀθῆναι sint pingues, vix intelligitur jocus Aristophanis Acharn. 640. ubi ridet eos, qui hoc epitheto Athenarum ita delectentur, cum eodem plane modo laudentur apuæ. Εἰ δέ τις ὑμᾶς ὑποθωπεύσας λιπαρὰς καλέσειεν Ἀθήνας. Εὗρε τὸ πᾶν ἂν διὰ τὰς λιπαρὰς, ἀφύων τιμὴν περιάψας. V. Casaub. ad Athen. v. 3. Interim *nitidas* dicere in versione placuit, quia *nitere* dicuntur, qui bene habiti sunt, imprimis ab oleo &c. Gesn.

τῆς Ἑλλάδος ἔρεισμα; καίτοι λαβόμενος ἂν ἐγὼ τῶν Ἀθηνῶν, ἐπὶ τῆς ποιητικῆς ἐξουσίας ἐπεισῆγον ἂν ἔρωτας θεῶν, καὶ κρίσεις, καὶ κατοικήσεις, καὶ δωρεὰς, καὶ τὴν Ἐλευσῖνα. νόμων δὲ, καὶ δικαστηρίων, καὶ πανηγύρεων, καὶ Πειραιῶς, καὶ ἀποικιῶν, καὶ τροπαίων θαλαττίων τε καὶ χερσαίων ἐπεισηγμένων, [1] ὧν οὐδ' ἂν εἷς ἐπ' ἴσης [2] ἀξίως ἐφικέσθαι δύναιτο τῷ λόγῳ, φησὶν ὁ [3] Δημοσθένης, ἀφθονία μὲν ἦν ἄν μοι περιττὴ πάντως. [4] τόδ' ἐγκώμιον οὐκ ἂν ἀπαρτᾶν ἐνομιζόμην, ἐν νόμῳ τοῖς ἐπαίνοις ὂν, ἐκ τῶν πατρίδων ἐπικοσμεῖν τοὺς ἐπαινουμένους. Ἰσοκράτης δὲ παρεμπόρευμα τῆς Ἑλένης φέρων ἐνέθηκε τὸν Θησέα. τὸ μὲν δὴ ποιητικὸν

[1] Deest ὧν. [2] ἀξίας [3] Δημοσθένης. [4] τὸ δ'

Τῆς Ἑλλάδος ἔρεισμα] Videtur et hoc e poeta quopiam—Pindaro, vide Athen. l. 5. p. 94. v. 18. τὴν Ἀθηναίων πόλιν, τὸ τῆς Ἑλλάδος μουσεῖον, ἣν ὁ μὲν Πίνδαρος Ἑλλάδος ἔρεισμα ἔφη, Θουκυδίδης (ἐν τῷ εἰς Εὐριπίδην ἐπιγράμματι) Ἑλλάδος Ἑλλάδα, ὁ δὲ Πύθιος ἑστίαν καὶ πρυτανεῖον τῶν Ἑλλήνων. Locus in libris editis mutilus est—sumptum. ἔρεισμα per ει, ab ἐρείδομαι, *fulcrum, munitio, arx, propugnaculum.* Hesychius ὑποβαστακτῆρα interpretatur. Varinus ἔδρασμα, τείχισμα, στήριγμα, ἕρκος. IDEM.

Ἔρωτας θεῶν] Ut Vulcanus adamavit Minervam, Boreas Orythiam rapuit. IDEM.

Κρίσεις] Ut Neptuni et Martis de cæde Alirothii: et Orestem Minerva contra Furias defendit. IDEM.

Κατοικήσεις] Ut Pallas arcem Atheniensem incolit. IDEM.

Καὶ δωρεὰς] Pallas oleam, Neptunus equum, Ceres frumentum, initia et leges. IDEM.

Ἐλευσῖνα] Atticæ oppidum, ubi initia Cereris celebrata fuerunt. IDEM.

Νόμων.] Ut Draconis et Solonis. IDEM.

Δικαστηρίων] In oratione κατ' Ἀριστοκράτους recensentur, τὸ ἐν Ἀρείῳ πάγῳ δικαστήριον, τὸ ἐπὶ Παλλαδίῳ, τὸ ἐπὶ Δελφινίῳ, τὸ ἐπὶ Πρυτανείῳ, τὸ ἐν Φρεαττοῖ. Ubi etiam quæ cujusque prætorii aut judicii ratio fuerit, explicatur. IDEM.

Πειραιῶς] Contracte pro Πειραιέως, a nominativo Πειραιεύς. Videtur autem dici, παρὰ τὸ περᾷν, a trajectu. Piræeum, ut lib. 11. Diodorus tradit, Themistocles, profligatis Persis, κατεσκεύασε κάλλιστον καὶ μέγιστον λιμένα τῶν κατὰ τὴν Ἑλλάδα. IDEM.

Καὶ ἀποικιῶν] Isocrates in Panegyrico, Athenienses, inquit, πολλὰς μὲν ἐφ' ἑκάτερα τῆς ἠπείρου πόλεις ἔκτισαν, πάσας δὲ τὰς νήσους κατῴκισαν. IDEM.

Τροπαίων θαλαττίων τε καὶ χερσαίων] De his ullum facere verbum supervacaneum est, cum res gestæ Atheniensium monimentis omnium fere doctorum celebrentur. Quæ qui non legit, vel Panegyrico Isocratis contentus esse potest, quod ad hanc quidem rem attinet. IDEM.

Ἐπίσης ἀξίως] *Ex æquo, pro dignitate.* Pleonasmi quædam species, fortasse legendum, ἐπ' ἴσης ἀξίας, *pari dignitate.* Locus autem qui citatur ex Demosthene, extat in oratione περὶ στεφάνου. WOLF. ἀξίας marg. Lutet. Locus autem, ni fallor, ad quem respicit Noster, extat ap. Dem. περὶ τῶν Συμμ. *ad init.* ὧν οὐδ' ἂν εἷς ἀξίως ἐφικέσθαι δύναιτο τῷ λόγῳ· quamvis Solanus se nil tale in ea Orat. invenisse affirmat; et provocat Gesnerus ad formulas ejusmodi in Orat. περὶ Στεφ. c. 2. et 39.

Ἀπαρτᾶν τὸ ἐγκώμιον] Ἀπαρτῆσαι τὸ κρεμάσαι, ἀπαρτίσαι δὲ τὸ τελειῶσαι, Suidas. Sic Demosthenes περὶ στεφάνου, [§. ιη.] ἀπαρτῆσαι τὸν λόγον τῆς γραφῆς, *subterfugere, et de industria aberrare ab objecto crimine, et inferre a re aliena.* WOLF.

Ἐν νόμῳ τοῖς ἐπαίνοις ὂν] Pro, ἐννόμου ὄντος ἢ νομιζομένου. IDEM.

Παρεμπόρευμα φέρων ἐνέθηκε] Ἐμπόρευμα *ipsam mercem* significat, παρεμπόρευμα, προσθήκην ἢ πάρεργον, *accessionem mercis, corollarium, auctarium, additamentum.* τὸ φέρων autem eleganti et usitato pleonasmo accedit. IDEM.

Τὸν Θησέα] Et quidem apparet, eum maluisse celebrare Theseum Atheniensem heroem, et patriam rempublicam, quam Laconicam meretriculam, ingeniose quæsita occasione, ut aliud agere videretur. Est igitur et illa oratio τῶν ἐσχηματισμένων λόγων. IDEM.

φῦλον, ἐλεύθερον· σοὶ δ' ἴσως εὐλάβεια τὸ τῆς παροιμίας σκῶμμα ἐπὶ τῇ ἀσυμμετρίᾳ ἐπαγαγέσθαι, μή σοι μεῖζον προσκέοιτο τοὐπίγραμμα τῷ θυλάκῳ. [11] Παρέντι δὴ τὰς Ἀθήνας, ἐκδέχεται τὸν λόγον πατὴρ τριήραρχος, χρυσέα κρηπὶς κατὰ Πίνδαρον. οὐ γὰρ ἦν Ἀθήνῃσι λαμπρότερον τιμήματος τριηραρχικοῦ. εἰ δὲ τοῦ Δημοσθένους ἔτι κομιδῇ παιδὸς ὄντος, ἐτελεύτα, τὴν ὀρφανίαν οὐ συμφορὰν ὑποληπτέον ἀλλὰ δόξης ὑπόθεσιν, τὸ τῆς φύσεως γενναῖον ἀποκαλυπτούσης. [12] Ὁμήρου μὲν οὖν οὔτε παίδευσιν, οὔτ' ἄσκησιν μνήμῃ καθ' ἱστορίαν παρειλήφαμεν, ἀλλ' εὐθὺς ἀνάγκη τῶν ἐπαίνων ἅπτεσθαι τῶν ὑπ' αὐτοῦ δεδημιουργημένων, ὕλην ἐκ τροφῆς καὶ μελέτης καὶ διδασκαλίας οὐκ ἔχοντα· μηδ' οὖν ἐπὶ τὴν Ἡσιόδου δάφνην καταφυγόντα, τὴν ῥαθύμως καὶ τοῖς ποιμέσι τῶν ἐπῶν ἐπιπνέουσαν· σοὶ δὲ ἐνταῦθα δή που πολὺς μὲν ὁ Καλλίστρατος, λαμπρὸς δ' ὁ κατάλογος, Ἀλκιδάμας, Ἰσοκράτης, Ἰσαῖος, Εὐβουλίδης· μυρίων μὲν ἐφελκομένων Ἀθήνῃσι τῶν ἡδονῶν καὶ τοὺς πατρονομίας ἀνάγκαις ὑποκειμένους, ταχείας δ' οὔσης τοῖς

Μή σοι μεῖζον προσκέοιτο τοὐπίγραμμα τῷ θυλάκῳ] *Ne inscriptio sacco major adjiciatur.* fortasse legendum, μεῖζον τοὐπίσαγμα τοῦ θυλάκου. ut sit ἐπίσαγμα *res quæ in saccum confertur.* Lexica interpretantur, tum *centones* qui asinis et mulis insternantur, tum *accessorias sarcinas.* Inscriptio sacco major esse qui potest? ἀδύνατον ergo et παράδοξον videtur idem hic significare, quod τὸ παρεμπόρευμα. IDEM. τοὐπίσαγμα marg. Lutet.

Τοὐπίγραμμα] Placuerat mihi quoque illud ἐπίσαγμα Erasmi et Wolfii: sed reduxit me in viam doctissimus Hemsterhusius, cum illud ambitiose factum a mercatoribus moneret, ut pittacia, tabellas, inscriptiones s. titulos affigerent saccis. GESN.

[11] Χρυσέα κρηπὶς] Pythior. 7 pr. patriam et genus Megaclis tanquam crepidinem aut fundamentum laudibus ejus substerni scribit. Jam respexerat ad hunc locum paulo ante, ubi negat ejusmodi ἑδραίαν κρηπῖδα laudum Homeri esse. IDEM.

Λαμπρότερον τιμήματος τριηραρχικοῦ] De trierarchiis egimus in Isocrate, nec pauca ea de re sunt apud Libanium et Ulpianum. Ordines apud Athenienses olim fuerunt, τῶν γεωμόρων, πεντακοσιομεδίμνων, ἱππέων καὶ ζευγιτῶν. De quibus vide Libanium in argumento Midianæ orationis. WOLF.

[12] Ἐπὶ τὴν Ἡσιόδου δάφνην] Vide initium Theogoniæ apud Hesiodum. Et Persius:

Nec fonte, inquit, *labra prolui Caballino:*
Nec in bicipiti somniasse Parnasso,
Memini ut repente sic poeta prodirem.

IDEM.

Πολὺς μὲν ὁ] Πολλῶν ἀντάξιος ἄλλων. *Multus tibi est*, id est, multorum instar, copiamque dicendi suppeditat. IDEM.

Ὁ Καλλίστρατος] Commendatio a præceptorum excellentia. Sic Demosthenes in oratione πρὸς τὴν Λακρίτου παραγραφὴν, [p. 928. ed. R.] μέγα πρᾶγμα, inquit, Ἰσοκράτους μαθητής. IDEM.

Ἀλκιδάμας] Hujus extat oratio κατὰ σοφιστῶν. IDEM.

Ἀλκιδάμας] Is est quem Cic. Tusc. I. *nobilem Rhetorem* appellat; nisi quod ibi prave legitur *Alcidamus.* Plutarchus Alcidamantem, ut Lucianus, appellat. SOLAN. Ita quoque Bentleius.

Εὐβουλίδης] De hoc libet adscribere versus, quos citat Laertius e Comico quodam in vita Euclidis:

Ὁ ὑβριστικὸς δ' Εὐβουλίδης κερατίνας ἐρωτῶν,
Καὶ ψευδαλαζόσι λόγοις τοὺς ῥήτορας κυλίων,
Ἀπῆλθ', ἔχων τὴν Δημοσθένους ῥωβοστωμυλήθραν.

μειρακίοις τῆς ἡλικίας εἰς τὰς τέρψεις ἀπολισθαίνειν, παρὸν δ' αὐτῷ κατ' ἐξουσίαν [1]κωμᾷν, ἐκ τῆς τῶν ἐπιτρόπων ὀλιγωρίας, ὁ τῆς φιλοσοφίας καὶ τῆς πολιτικῆς ἀρετῆς κατεῖχε πόθος, ὃς αὐτὸν ἦγεν οὐκ ἐπὶ τὰς Φρύνης, ἀλλ' ἐπὶ τὰς Ἀριστοτέλους, καὶ Θεοφράστου, καὶ Ξενοκράτους, καὶ Πλάτωνος θύρας. [13] Κἀνταῦθα, ὦ βέλτιστε, φιλοσοφοίης τῷ λόγῳ, διττὰς ἐπ' ἀνθρώποις ἐρώτων ἀγωγὰς, τὴν μὲν θαλαττίου τινὸς ἔρωτος παράφορόν τε καὶ ἀγρίαν καὶ κυμαίνουσαν ἐν ψυχῇ, Ἀφροδίτης πανδήμου κλύδωνα, φλεγμαινούσαις νέων ὁρμαῖς, αὐτόχρημα θαλάττιον, τὴν δ' οὐρανίου χρυσῆς τινὸς σειρᾶς ἕλξιν, οὐ πυρὶ καὶ τόξοις ἐντιθεῖσαν δυσαλθεῖς νόσους τραυμάτων, ἀλλ' ἐπὶ τὴν αὐτοῦ τοῦ κάλλους ἄχραντόν τε καὶ καθαρὰν ἰδέαν ἐξορμῶσαν μανίᾳ σώφρονι τῶν ψυχῶν, ὅσαι Ζηνὸς ἐγγὺς, καὶ θεῶν ἀγχίσποροι, φησὶν ὁ τραγικός. [14] Ἔρωτι δὴ [2]τούτῳ πάντα πόριμα, κουρὰ, σπήλαιον, κάτοπτρον, ξίφος, γλῶτταν διαρθρῶσαι, μετελθεῖν ὀψὲ τῆς ἡλικίας ὑπόκρισιν, μνήμην ἀκριβῶσαι, θορύβου καταφρονῆσαι, συνάψαι νύκτας

[1] κομᾷν

[2] Deest τούτῳ.

ἐδόκει γὰρ αὐτοῦ καὶ Δημοσθένης ἀκηκοέναι καὶ ῥωβικώτερος ὢν παύσασθαι. Ubi forte legendum, ῥωβικὸς, ὁ τραῦλος, ὁ τὸ ρ μὴ δυνάμενος ἐκφέρειν. Cæteri rhetores vel ex Plutarcho satis noti sunt. Wolf.

Κωμᾷν] Κομᾷν per ο, γαυριᾷν, μέγα φρονεῖν, τρυφᾷν, γαυριᾶσθαι, στεφανοῦσθαι, χλοηφορεῖν, proprie est, τριχῶν ὑπερβολῇ κοσμεῖσθαι: κωμᾷν vero per ω, si recte scribitur, quod non existimo, ἀντὶ τοῦ κωμάσαι, pro *commessari* capitur. utcunque sit, hoc vult, impune illum indulgere genio potuisse. Idem. κωμάζειν, γρ. κομᾷν marg. Lutet.

Οὐκ ἐπὶ τὰς Φρύνης] Hanc παλαιὰν ἑταίραν appellat Suidas, quæ cum maximas opes impudico quæstu congessisset, Thebarum patriæ suæ mœnia restituit, cum hac inscriptione, Ἀλέξανδρος μὲν κατέβαλε, Φρύνη δ' ἀνώρθωσε. Vir autem factus, Laidem 10000. drachmis noctem unam æstimantem, hoc dicto, μεταμέλειαν [τὸ μεταμέλειν] τοσούτου οὐκ ὠνοῦμαι, contempsit. Wolf.

Ἀριστοτέλους] Horum trium Plutarchus non meminit, nec ego alibi legi. Sed Lucianum aut de industria fingere, aut non citra auctorem hoc affirmare, facile crediderim: quamvis temporum rationem hic minus curare videatur, qui æquales et minores etiam Demostheni magistros tribuat. Idem.

[13] Διττὰς ἐπ' ἀνθρώποις ἐρώτων ἀγωγὰς] De duplici amore et venere, οὐρανίας καὶ πανδήμου, non dissimilem in modum Plato quoque et Xenophon in Symposiis disserunt. Lemmata autem, quæ hic e tragico citantur, Euripidis esse existimo, cætera vero ipsius Luciani. Idem.

Ἀγρίαν καὶ κυμαίνουσαν κλύδωνα] Κλύδων usitatius genere masculino. Conjuges autem, κυμαίνουσαν φλεγμαινούσαις νέων ὁρμαῖς: ut sit organicus dativus. Idem.

Αὐτόχρημα θαλάττιον] Αὐτόχρημα Suidas, ἀψευδῶς, πάνυ ἀληθῶς, παντελῶς, quasi esset adverbium, τῷ ὄντι, τῇ ἀληθείᾳ, ὡς ἀληθῶς. Idem.

Δυσαλθεῖς] Δυσιάτους, a verbo ἀλθαίνω, *juvo, sano*: unde et πολυαλθής. et, ἄλθαια τὸ χρίσμα. Idem.

Αὐτοῦ τοῦ κάλλους] Platoni particula αὐτὸ addita nomini, significat τὴν ἰδέαν τοῦ πράγματος, quam vocem et Aristoteles ἐν τοῖς μετὰ τὰ φυσικὰ sæpe repetens parum probare videtur. Idem.

[14] Συνάψαι νύκτας ἐπιπόνοις ἡμέραις] Hinc ipse rogatus, quo pacto tantam dicendi vim sibi parasset? πλέον οἴνου ἔφη τ' ἔλαιον ἀναλίσκων. Idem.

ἐπιπόνοις ἡμέραις. ἐξ ὧν τίς οὐκ οἶδεν ὁποῖος ὁ Δημοσθένης, ἔφη, σοι τὴν ῥητορικὴν ἐγένετο, ταῖς μὲν ἐννοίαις καὶ τοῖς ὀνόμασι καταπυκνῶν τὸν λόγον, ταῖς δὲ διαθέσεσιν ἐξακριβῶν τὰς πιθανότητας; λαμπρὸς μὲν τῷ μεγέθει, σφοδρὸς δὲ τῷ πνεύματι, σωφρονέστατος δὲ τὴν τῶν ὀνομάτων καὶ νοημάτων ἐγκράτειαν, ποικιλώτατος δ' ἐναλλαγαῖς σχημάτων. μόνος γέ τοι τῶν ῥητόρων, ὡς ὁ Λεωσθένης ἐτόλμησεν εἰπεῖν, ἔμψυχον, οὐ σφυρήλατον παρεῖχε τὸν λόγον. [15] Οὐ γὰρ ὡς τὸν Αἰσχύλον ὁ Καλλισθένης ἔφη που λέγων τὰς τραγῳδίας ἐν οἴνῳ γράφειν, ἐξορμῶντα καὶ ἀναθερμαίνοντα τὴν ψυχὴν, οὐχ οὕτως ὁ Δημοσθένης συνετίθει πρὸς μέθην τοὺς λόγους, ἀλλ' ὕδωρ πίνων· ᾗ καὶ τὸν Δημάδην παῖξαί φασιν εἰς ταύτην αὐτοῦ τὴν ὑδροποσίαν, ὡς οἱ μὲν ἄλλοι πρὸς ὕδωρ λέγοιεν, τὸν Δημοσθένην δὲ πρὸς ὕδωρ γράφειν. Πυθέᾳ δὲ ὁ κρότος τῶν Δημοσθενικῶν λόγων ἀπόζειν ἐφαίνετο τοῦ νυκτερινοῦ λύχνου· καὶ τουτὶ μὲν, ἔφη, σοι τὸ χωρίον τοῦ λόγου, κοινὸν πρὸς τὴν ἐμὴν ὑπόθεσιν· οὐ γάρ τοι μείων ὁ περὶ τὴν Ὁμήρου ποίησιν ὑπῆρχε κἀμοὶ

Ταῖς ἐννοίαις καὶ τοῖς ὀνόμασι καταπυκνῶν τὸν λόγον] Orationem sententiosam, et verbis minime otiosis, sed valde significantibus densam intelligit. IDEM.

Ταῖς διαθέσεσιν ἐξακριβῶν τὰς πιθανότητας] Quanta cura levioribus affectibus adhibitis, probabilitati serviat. IDEM.

Ὁ Λεωσθένης] Dux opinor ille Atheniensium, cujus, præter Plutarchum et Diodorum, in Atticis Pausanias meminit. Callisthenes Aristotelis discipulus, satis notus est. IDEM.

Ἔμψυχον, οὐ σφυρ.] Legendum, ut est in MS. ἔμψυχον καὶ σφυρήλατον παρεῖχε τὸν λόγον, *vivam et solidam orationem edidit.* Utraque vox, qua laudat orationem Demosthenis, est translata a statuariorum arte. Signa enim vivere dicuntur et spirare, cum singulari artificis ingenio sic ficta sunt, ut videantur non statuæ esse, sed viva animantia.—Σφυρήλατα, quæ et dicuntur ὁλόσφυρα et ὁλοσφύρατα, sunt solida, compacta, plena, non conflata. Plin. H. N. l. 23. c. 4. Est igitur σφυρήλατος oratio, solida, plena gravissimis sententiis, in qua nullus est inanis verborum strepitus: cui opponitur *oratorum inanis sententiis verborum volubilitas*, ut vocatur ab Augusto. GRÆV. Obsequamur Grævio, i. e. libris antiquis, de καὶ pro οὐ ponendo. Alioquin mihi videbatur pulcre etiam dici ἔμψυχος οὐ σφυρήλατος, *viva et spirans, non rigida et dura, ut quæ malleo ducuntur.* GESN. Et ob hanc rationem ego in vulgato nihil mutavi. REITZ.

[15] Οὐ γὰρ ὡς τὸν Αἰσχύλον] Athenæus lib. 1. μεθύων ἐποίει τὰς τραγῳδίας ὁ Αἰσχύλος, ὥς φησι Χαμαιλέων. Σοφοκλῆς οὖν ὠνείδιζεν αὐτῷ, ὅτι εἰ καὶ τὰ δέοντα ποιεῖ· ἀλλ' οὐκ εἰδώς γε. WOLF.

Ἀλλ' ὕδωρ πίνων] Vid. Brod. Misc. part. II. p. 525. REITZ.

Πρὸς ὕδωρ λέγειν] Hinc Clepsydræ nomen habent, item proverbium, Hæret aqua. Sed hac de re plura suo loco. WOLF.

Δημοσθένην δὲ πρὸς ὕδωρ γράφειν] Hemsterhusius notarat, videndum Davis. ad Cic. Tusc. ad l. II. c. postr. in fin. ubi is de more ad clepsydram dicendi allegat Schol. Aristoph. in Acharn. v. 693. et Suidam, tum et hunc Luciani locum, Plinium, Synesium, aliosque, unde hæc allusio ad aquam scribendi satis intelligitur. REITZ.

Τοῦ νυκτερινοῦ λύχνου] Epitheton νυκτερινοῦ omisi. Neque enim lucerna in meridie accenditur, scilicet. Intelligendæ autem sunt lucubrationes, quas Ciceroni etiam fuisse usitatas, illa verba declarant, quibus jam senex ad Atticum scribit, se lucubrationes detraxisse, et meridiationes addidisse. WOLF.

λόγος. [16] Ἀλλ' εἰ μετείοις ἐπὶ τὰς φιλανθρωπίας, καὶ τὴν ἐν τοῖς χρήμασι φιλοτιμίαν, καὶ τῆς πολιτείας τὴν ὅλην λαμπρότητα. καὶ ὁ μὲν ᾔει συνείρων, ὡς τὰ λοιπὰ προσθήσων· ἐγὼ δὲ γελάσας· ΛΥΚ. Ἦ πού γε, ἔφην, διανοῇ καταχεῖν μου τῶν ὤτων, ὥσπερ βαλανεὺς καταντλήσας τὸν λοιπὸν λόγον; ΘΕΡΣ. Νὴ Δία γε, εἶπε, δημοθοινίας τε καὶ χορηγίας ἐθελουσίους, καὶ τριηραρχίας, καὶ τεῖχος, καὶ τάφρον, καὶ λύσεις αἰχμαλώτων, καὶ παρθένων ἐκδόσεις, ἀρίστην πολιτείαν, καὶ πρέσβεις, καὶ νομοθεσίας, καὶ μέγεθος πολιτευμάτων ἐμπεσὸν, γελᾷν ἔπεισί μοι τοῦ τὰς ὀφρῦς συνάγοντος, καὶ δεδιότος μὴ λόγοι τῶν Δημοσθένους αὐτὸν ἔργων ἐπιλίποιεν. [17] ΛΥΚ. Ἴσως γὰρ, ἔφην, ὦ 'γαθὲ, νομίζεις, ἐμὲ δὴ μόνον τῶν ἐν ῥητορικῇ βεβιωκότων, μὴ διατεθρυλλῆσθαι τὰ ὦτα ταῖς Δημοσθένους πράξεσιν; ΘΕΡΣ. Εἴγε, ἔφη, περὶ τὸν λόγον ἐπικουρίας τινὸς, ὡς σὺ φῂς, δεόμεθα· πλὴν εἰ μή σε τοὐναντίον κατέχει πάθος, οἷον αὐγῆς περιλαμπούσης, οὐκ ἔχοις πρὸς λαμπρὰν τὴν Δημοσθένους δόξαν τὴν ὄψιν ἀπερεῖσαι. καὶ γὰρ αὐτός τι τοιοῦτον ἐφ' Ὁμήρῳ κατὰ τὰς ἀρχὰς πέπονθα. κατέβαλον γοῦν μικροῦ δεῖν, ὡς οὐκ ἀντιβλεπτέον ὄν μοι πρὸς τὴν ὑπόθεσιν· εἶτ' ἐγὼ μὲν, οὐκ οἶδ' ὅπως,

[16] Ἀλλ' εἰ μετείοις] *Sed si transires.* μετίοις, in medio per ι scribendum, non per diphthongum, a μέτειμι, μεθείης, ἀορ. β. fieret a μεθίημι, *remitto, laxo.* Pendet sententia, quia Thersagoram Lucianus interpellat. Idem.

Καταντλήσας] Puto hic servandam suam vim verbi ex etymologia, et ab eo pendere accusativos, quæ sequuntur, χορηγίας, τριηραρχίας, reliquos. Nec tamen ignoro, quam pulcre ex Medicorum disciplina hoc verbum apud Longinum c. 12. extr. interpretetur Tollius, *fovere, et amabili ac jucunda verborum sententiarumque copia rigare, animorumque ulcera emollire atque lenire.* Ceterum ipsa hæc Demosthenis κατορθώματα repetiisse videtur auctor ex illius oratione pro Cor. v. g. c. 93. ubi τειχισμὸν καὶ ταφρείαν commemorat, c. 18. εἴ τινες ἐκ τῶν πολεμίων ἐλυσάμην, εἴ τισι θυγατέρας συνεξέδωκα κ. τ. λ. Gesn.

Δημοθοινίας] Viscerationis et epuli usum apud Athenienses fuisse, nusquam me legere memini: nisi forte Panathenæa eo referri possint: qua de re vide argumentum Panathenaici Isocratici. Θοίνη καὶ θοινητήριον, ἡ εὐωχία, βρῶμα, θοινδομαι, εὐωχοῦμαι. Cætera vero ex ipso Demosthene, ac in primis Oratione περὶ στεφάνου, clara erunt. Wolf.

Ἐκδόσεις ἀρίστην πολιτείαν] *Elocationes quæ sunt optimi civis officia.* Est ἐπεξήγησις. Idem.

Πρέσβεις] Lego, πρεσβείας. Idem. Ita quoque Gesn. et *legationes* interpr. Melanchthon.

Νομοθεσίας καὶ μέγεθος πολιτευμάτων ἐμπεσὸν] Ἀντίπτωσις ἀττικὴ, pro μεγέθους ἐμπεσόντος. *Cum rerum ab eo in repub. gestarum mentio incidit: ridere mihi subit eum, qui supercilia contrahat,* id est, te Lucianum. Sunt verba Thersagoræ. Wolf.

[17] Διατεθρυλλῆσθαι τὰ ὦτα] Ovid. [Tr. 4. 10. 49.]

Personuitque meas numerosus Horatius aures,
Qui ferit Ausonia carmina culta lyra.

Idem.

Εἴγε, ἔφη, περὶ τὸν λόγον] *Si quidem, inquit, in Oratione aliquo auxilio egemus,* id est, si tu eges auxilio, κατ' ἀστείαν τοῦ προσώπου ἐναλλαγήν: supple, non puto perso-

ἀνήνεγκα, δοκῶ μοι κατὰ σμικρὸν προσεθιζόμενος ἀντίον ὁρᾷν, καὶ μηδ' ἀποστρέπων, ὥσπερ ἡλίου τὰς ὄψεις, νόθος τοῦ τῶν Ὁμηριδῶν γένους ἐλέγχεσθαι. [18] Σοὶ δέ μοι φαίνεται καὶ τοῦτο, ἔφη, πολὺ ῥᾷον, ἢ κατ' ἐμὲ εἶναι. τῆς μὲν γὰρ Ὁμήρου δόξης, οἷον ἐπὶ μιᾶς ὁρμώσης τῆς ποιητικῆς δυνάμεως, ἀθρόως ἐξ ἀνάγκης ἦν ἁπάσης λαβέσθαι· σὺ δ' εἰ μὲν ἐπὶ τὸν Δημοσθένην ὅλον ἐφάπαξ τῇ γνώμῃ τράποιο, καὶ μάλα ἂν ἀποροίης περὶ τὸν λόγον ἄττων, οὐκ ἔχων ὅτου πρώτου τὴν γνώμην [1] λάβοιο, καθάπερ οἱ λίχνοι πάσχουσι περὶ τὰς Συρακουσίους τραπέζας, ἢ οἱ φιλήκοοι καὶ φιλοθεάμονες, εἰς μυρίας ἀκουσμάτων καὶ θεαμάτων ἡδονὰς ἐμπεσόντες· οὐκ ἔχουσι γὰρ ἐφ' ἣν ἔλθωσιν, ἀεὶ τὴν ἐπιθυμίαν μετατιθέντες. οἶμαι δὲ καὶ σὲ μεταπηδᾷν, οὐκ ἔχοντα ἐφ' ὅ,τι σταίης, ἐν κύκλῳ σε περιελκόντων, φύσεως μεγαλοπρεποῦς, ὁρμῆς διαπύρου, βίου σώφρονος, λόγου δεινότητος, τῆς ἐν ταῖς πράξεσιν ἀνδρίας, λημμάτων πολλῶν καὶ μεγάλων ὑπεροψίας, δικαιοσύνης, φιλανθρωπίας, πίστεως, φρονήματος, συνέσεως, ἑκάστου τῶν πολλῶν καὶ μεγάλων πολιτευμάτων. ἴσως οὖν ὁρῶν ἔνθεν μὲν ψηφίσματα, πρέσβεις, δημηγορίας, νόμους, ἐκεῖθεν ἀποστόλους, Εὔβοιαν, Μέγαρα, τὴν Βοιωτίαν, Χίον, Ῥόδον, τὸν Ἑλλήσποντον, Βυζάντιον, οὐκ ἔχεις ὅποι τὴν γνώμην ἀποκλίνῃς, συμπεριφερόμενος τοῖς πλεονεκτήμασιν. [19] Ὥσπερ οὖν ὁ

[1] λάβοις

nuisse tuas aures rebus gestis Demosthenis. Idem.

Νόθος] Alludit ad consuetudinem aquilarum, quæ pullos ad splendorem solis explorant, utrum germani sint necne? Idem.

[18] Σοὶ δέ μοι φαίνεται] Scribendum σόν. *Tuum opus*, laudatio Homeri scil. quæ comparatur cum laudatione Demosthenis, utra majoris difficultatis res sit. Iens. quocum sentiunt Solan. et Reitz.

Οἷον ἐπὶ μιᾶς ὁρμώσης] Fortassis, ὁρμούσης, a verbo ὁρμέω. οἷον ἐπὶ μιᾶς, scilicet, ἀγκύρας. unde proverbium, ἐπὶ δυεῖν ὁρμεῖν. Wolf. ὁρμούσης marg. Lutet. et paulo ante pro καὶ μηδ', καὶ μή.

Καὶ μάλα ἂν ἀποροίης περὶ τὸν λόγον ἄττων, οὐκ ἔχων] Videtur legendum, ἀποροίης περὶ τὸν λόγον, δεῦρο κἀκεῖσε ἄττων, καὶ οὐκ ἔχων ὅτου πρώτου τῇ γνώμῃ λάβοιο. Nam ὅτου πρώτου τὴν γνώμην λάβοις, duriusculum videtur. Wolf.

Περὶ τὸν λόγον ἄττων] Glossema videtur. Guyet.

Συρακουσίους τραπέζας] Harum luxum, ut et Italicarum, Plato etiam perstringit epistola 7. et Horatius: [l. 3. od. 1. v. 17.]

Districtus ensis cui super impia
Cervice pendet, non Siculæ dapes
Dulcem elaborabunt saporem;
Non avium citharæque cantus
Somnum reducent. Wolf.

Λημμάτων πολλῶν καὶ μεγάλων ὑπεροψίας] *Largitionum multarum et magnarum despectionem*, id est, τὸ ἀδέκαστον, καὶ ἀδωροδόκητον. Videtur alludere ad leges Trierarchicas, de quibus περὶ στεφάνου gloriatur. De Persicis largitionibus vide Plutarchum. Idem.

Πρέσβεις] Et hic, ut supra quoque, πρεσβείας lego. Idem.

Συμπεριφερόμενος τοῖς πλεονεκτήμασι]

Πίνδαρος, ἐπὶ πολλὰ τῷ νῷ τραπόμενος, οὕτω πως [1] ἠπόρησεν,

Ἰσμηνὸν, ἢ χρυσηλάκατον Μελίαν,
Ἢ Κάδμον, ἢ σπαρτῶν ἱερὸν γένος,
Ἢ τὰν κυανάμπυκα Θήβαν,
Ἢ τὸ πάντολμον σθένος Ἡρακλέος,
Ἢ τὰν Διονύσου πουλυγαθέα τιμὰν,
Ἢ γάμον λευκωλένου Ἁρμονίας ὑμνήσομεν;

οὑτωσὶ δὲ καὶ σύ γε ταὐτὸν ἔοικας ἀπορεῖν, λόγον, ἢ βίον, ἢ ῥητορικὴν, ἢ φιλοσοφίαν, ἢ δημαγωγίαν, ἢ τὸν θάνατον τἀνδρὸς ὑμνητέον. [20] Ἔστι δ᾽ οὐδὲν ἔργον ἐκφυγεῖν, ἔφη, τὴν πλάνην, ἀλλ᾽ ἑνὸς ὅτου δὴ λαβόμενος, ἢ τῆς ῥητορικῆς καθ᾽ αὑτὴν, εἰς ταύτην κατάθου τοῦτον τὸν λόγον. ἱκανὴ [2] γοῦν σοι ᾖ ἡ Περικλέους. ἐκείνου μέν γε τὰς ἀστραπὰς, καὶ βροντὰς, καὶ πειθοῦς τι κέντρον δόξῃ παραλαβόντες, ἀλλ᾽ αὐ-

[1] ἠπόρηκεν

[2] γ᾽ ἂν σοι οὐδ᾽ ἡ Περικλέους

Hoc vult, singula bona te ad se rapiunt, nec facile ad aliud te deflectere patiuntur. Idem.

Ἰσμηνὸν ἢ χρυσηλάκατον] Hymnus hic non extat in nostris codicibus, quem Horat. videtur imitatus lib. 1. carm. 12.

Quem virum aut heroa lyra vel acri
Tibia sumis celebrare, Clio?
Aut Deum? cujus recinat jocosa
Nomen imago,—Idem.

Ἰσμηνὸν] Bœotiæ fluvius, ab Ismeno Pelasgi filio cognominatus. Idem.

Μελίαν] Μελία δένδρου εἶδος ἀπὸ Μελίας τῆς Ὠκεανοῦ. Item μελίαι, μελίσσαι, ἢ δόρατα, et μελίας καρπὸς, τὸ τῶν ἀνθρώπων γένος. Hæc Hesychius. hic neque arborem fraxinum, neque fraxineam hastam intelligendam esse, declarat epitheton χρυσηλάκατον, quod ad mulierem, sive Deam, sive Nympham pertinet, *aurea colu ornatam.* Meliam autem Oceani filiam, hoc est, Nereidem facere videtur Hesychius. Apud Hesiodum in Theogonia sunt Nymphæ Μελίαι, quæ et Μελιάδες, sicut Δρυάδες καὶ Ἁμαδρυάδες, vel quod una cum arboribus natæ sint, vel quod in sylvis et montibus versentur. Idem.

Σπαρτῶν] Παρὰ τὸ ἐσπάρθαι, quod e satis a Cadmo draconis dentibus orta sit armatorum seges. Vide Ovidium Metamorph. lib. 3. Idem.

Κυανάμπυκα Θήβαν] Non Thebas urbem, sed hic Asopi Bœotiæ fluvii uxorem, de qua Bocatius lib. 9. cap. 36. intelligo. κυανάμπυκα vero a cæruleo colore fluminis. ἄμπυξ autem τὸ κρήδεμνον, *reticulum* aut *mitra muliebris*, παρὰ τὸ ἀναπυκάζειν καὶ συνέχειν τὰς τρίχας. Idem.

Ἁρμονίας] Martis et Veneris filia, Cadmi Thebarum conditoris uxoris. Idem.

Ὑμνήσομεν] De variis hymnorum sic notis nominibus vid. Spanhem. ad Callim. v. 1. Reitz.

[20] Ἡ Περικλέους] Ex præcedentibus repetendum est ῥητορικὴ, *sufficit tibi Periclis*, sc. eloquentia, si conferatur cum Demosthenis. Græv. Plutarchus docet, nihil ejus præter decreta superesse, ejus tamen aliqua ferri Cicero in Bruto auctor est n. 7. teste Quintiliano III. 1. p. 126 A. qui hæc verba addit: "equidem non reperio quidquam tanta eloquentiæ fama dignum. Ideoque minus miror, esse, qui nihil ab eo scriptum putent: hæc autem, quæ feruntur, ab aliis esse composita." De Orat. tamen II. 22. *constare scripta* Periclis ait: nisi forsan ea tantum intelligit, quæ apud Thucydidem extant. "Ab Aristophane poeta fulgurare, tonare, permiscere Græciam dictus est," Cic. Or. 9. Vide autem Νιγρ. c. 4. ubi versus Eupolidis legitur, in quo κέντρον illud Periclis memoratur. Solan. Verba Aristophanis Acharn. v. 530. sunt: Ἐντεῦθεν ὀργῇ Περικλέης οὑλύμπιος Ἤστραπτεν, ἐβρόντα, ξυνεκύκα τὴν Ἑλλάδα.—τὸ κέντρον, ait Reitz., legi jubet Hemsterhusius ad Nigrin. §. 7 f.

τήν γε οὐχ ὁρῶμεν, δῆλον ὡς ὑπὲρ τὴν φαντασίαν οὐδὲν ἔμμονον [1]ἔχοντες, οὐδ' οἵαν ἐξαρκέσαι πρὸς τὴν τοῦ χρόνου βάσανον καὶ κρίσιν. τὰ δὲ τοῦ Δημοσθένους —— [2]ἀλλά σοι καταλελείφθω λέγειν, εἰ ταύτῃ τράποιο. [21] Πρός γε [3]μὴν τὰς τῆς ψυχῆς ἀρετὰς, ἢ τὰς πολιτείας αὐτοῦ τραπομένῳ, καλὸν μίαν ἡντιναοῦν ἀποτέμνεσθαι τὴν διατριβήν· εἰ δὲ βούλοιο δαψιλῶς, δύο καὶ σύντρεις ἑλόμενον, ἔχειν ἀποχρῶσαν λόγων ὑποβολήν. πολλὴ γὰρ ἐν ἅπασιν ἡ λαμπρότης. εἰ δ' οὐκ ἐκ τοῦ παντὸς, ἀλλ' ἐκ μέρους ἐπαινεσόμεθα· νόμος μὲν γὰρ Ὁμηρικὸς, ἡρώων ἐπαίνους ἐκ μερῶν διατίθεσθαι, ποδῶν, ἢ κεφαλῆς, ἢ κόμης, ἤδη δὲ κἀκ τῶν φορημάτων, ἢ ἀσπίδων, μεμπτὸν δὲ οὐδὲ τοῖς θεοῖς ἐγένετο, ὑμνεῖσθαι πρὸς τῶν ποιητῶν, ἐξ ἠλακάτης, ἢ τόξων, ἢ τῆς αἰγίδος, μήτι γε δὴ μέρους σώματος, ἢ τῆς ψυχῆς· τῶν εὐεργεσιῶν δὲ οὐδὲ δυνατὸν ἐφάπαξ ἐλθεῖν. οὔκουν οὐδ' ὁ Δημοσθένης αἰτιάσεται, καθ' ἓν τῶν αὐτοῦ καλῶν ἐπαινούμενος· ἐπεὶ τό γε σύμπαν οὐδ' αὐτὸς ἂν αὑτὸν ἐξαρκέσειεν ἐπαινέσαι. [22] Ταῦτα τοῦ Θερσαγόρου διελθόντος, ΛΥΚ. Οἶμαί σε, ἔφην, ἓν ἐπιδεδεῖχθαί μοι βουλόμενον, τὸ μὴ μόνον ποιητὴν ἀγαθὸν εἶναι, τῶν λόγων παρεμπόρευμα πεποιῆσθαι τὸν Δημοσθένην, τὰ πεζὰ τοῖς ἐμμέτροις προστιθέντα. ΘΕΡΣ. Σοὶ μὲν οὖν, ἔφη, τὴν ῥᾳστώνην ὑποτιθεὶς, προήχθην ἐπιδραμεῖν [4]τῶν λόγων, εἴ τι τῆς φροντίδος ἀνεὶς, ἀκροατὴς ἡμῖν γένοιο. ΛΥΚ. Προὔργου τοίνυν,

[1] ἔχουσαν, οὐδ' οἷον [2] ἄλλα σοὶ [3] μὲν [4] τὸν λόγον

Οὐδὲν ἔμμονον ἔχοντες] Ἔχοντος lego, scilicet, τοῦ Περικλέους. de quo Aristophanes, οὗτος δὲ μόνος ἐγκατέλιπε τὸ κέντρον τοῖς ἀκροωμένοις: et alibi, ὃς βροντῶν καὶ ἀστράπτων συμπέφυρκεν Ἑλλάδα. Wolf. marg. Lutet. ἔχουσαν.

Οἵαν] Non pertinet ad *φαντασίαν*, sed ad ῥητορικήν. Græv.

Βάσανον καὶ κρίσιν] Hic arbitror abrumpi orationem. Thersagoras satis habet viam quasi monstrasse dicendorum in comparatione Periclis cum Demosthene: reliqua ingenio amici permittit. Gesn.

Τὰ δὲ τοῦ Δημοσθένους, ἀλλά σοι] Est ἀποσιώπησις. non absolvit alteram collationis partem, in qua scripta Demosthenis celebranda erant. *Sed scripta Demosthenis: verum illa*, &c. Wolf.

[21] Φορημάτων] Ovidius [Virgilius Æn. 3. v. 286.] *magni gestamen Abantis.* Et Juvenalis [Sat. 2. v. 99.] *pathici gestamen Othonis.* Idem.

Ἠλακάτης] *A colu.* ut in Pindarico carmine, χρυσηλάκατον Μελίαν. Idem.

Εὐεργεσιῶν] Beneficia Deorum potius quam Demosthenis intelligo. Mira constructio est, ut et in Orat. ad Nicoclem, καθόλου δὲ τῶν ἐπιτηδευμάτων ὧν χρὴ στοχάζεσθαι, &c. Sed quid si legas, ἐφ' ἅπασας ἐλθεῖν. Idem.

Καθ' ἓν τῶν αὐτοῦ καλῶν ἐπαινούμενος] Hoc est, ἑνὸς τῶν αὐτοῦ καλῶν ἐπαινουμένου. καθ' ἓν, pro, ἐφ' ἑνὶ, δι' ἕν. alias adverbialiter, pro *singulatim*, quod Isocrates ad Nicoclem conduplicavit, τί γὰρ δεῖ καθ' ἓν, ἕκαστον λέγοντα, διατρίβειν; τῷ καθὲν, opponitur, τὸ σύμπαν. Idem.

[22] Προὔργου —— θάτερον] Προὔργου εἶναι,

ἔφην, σοι γέγονεν οὐδὲν, εὖ ἴσθι. σκόπει δὲ μὴ καὶ πλέον ᾖ γεγονὸς θάτερον. ΘΕΡΣ. Καλὸν ἂν λέγοις, ἔφη, τὸ ἴαμα. ΛΥΚ. Σὺ γὰρ, ἔφην, ἀγνοεῖς, οἶμαι, τὸ παρὸν ἄπορον, εἶτα ἰατροῦ δίκην τὸ τοῦ νοσοῦντος σαθρὸν ἀγνοήσαντος ἄλλο θεραπεύεις. ΘΕΡΣ. Ὅτι τί δή; ΛΥΚ. Σὺ μὲν, ἃ ταράξειεν ἂν τὸν πρῶτον ἰόντα πρὸς τὸν λόγον, ἐπεχείρησας ἰᾶσθαι, [1] τὰ δ' ἤδη κατηνάλωται παλαιαῖς ἐτῶν περιόδοις. ὥστε ταύτης τῆς ἀπορίας ἕωλά σοι τὰ ἰάματα. ΘΕΡΣ. Τοῦτο δ' οὖν, ἔφη, σοι [2] τόδε ἴαμα. χρὴ μέντοι, καθάπερ ὁδοῦ, θαῤῥαλεωτάτην εἶναι τὴν συνηθεστάτην. [23] ΛΥΚ. Τὴν ἐναντίαν γὰρ, εἶπον, προὐθέμην, ᾗ φασὶν Ἀννίκεριν τὸν Κυρηναῖον φιλοτιμηθῆναι πρὸς Πλάτωνά τε καὶ τοὺς ἑταίρους. τὸν μὲν γὰρ Κυρηναῖον ἁρματηλασίαν ἐπιδεικνῦντα, πολλοὺς περὶ τὴν Ἀκαδημίαν ἐξελαύνειν δρόμους, ἐπὶ τῆς αὐτῆς ἁρματοτροχίας ἅπαντας, μηδὲν παραβάντα, ὥσθ' ἑνὸς δρόμου σημεῖα κατὰ τῆς γῆς ὑπολείπεσθαι· τοὐμὸν δέ γε τοὐναντίον σπεύδει, τὰς ἁρματοτροχίας ἀλεείνειν· οὐ μάλα ῥάδιον δ', οἶμαι, καινουργεῖν ὁδοὺς, τῶν τετριμμένων ἐκτρεπόμενον. ΘΕΡΣ. Ἀλλά τοι τὸ [3] Πάσσωνος, ἔφη, σοφόν. ΛΥΚ. Ποῖον; ἔφην· οὐ γὰρ ἀκήκοα. [24] ΘΕΡΣ. [4] Πάσσωνι τῷ ζω-

[1] τάδ' [2] τόγε [3] Παύσωνος [4] Παύσωνι

operæ pretium esse, προὔργου γίγνεσθαί τινι, *proficere, promovere, facere operæ pretium.* θάτερον autem τὸ ἕτερον, videlicet, οὐκ ἄνεσις, ἀλλ' ἐπίτασις τῆς φροντίδος. Idem.

Καλὸν ἂν λέγοις, ἔφη, τὸ ἴαμα] *Egregium sane, inquit, remedium dixeris,* id est, si ita res habet, ut morbus factus sit auctior: ineptam ego medicinam adhibui. Idem.

Τὸν πρῶτον ἰόντα] *Eum qui primus* (id est, *antequam quisquam alius*) *hanc orationem aggrederetur,* ὁ πρῶτος ἰὼν, non τὸ πρῶτον, hoc est, ἐξ ἀρχῆς ἰών. Idem.

Τάδε (f. ταῦτα δὲ) ἤδη κατηνάλωται] *Ista vero ante complura secula sunt absumpta,* id est, tractata ab aliis scriptoribus. Idem.

Θαῤῥαλεωτάτην εἶναι τὴν συνηθεστάτην] Proverbium, ἡ τετριμμένη ὁδὸς ἀσφαλεστάτη. Idem.

[23] Τὴν ἐναντίαν γὰρ (f. δὲ,) εἶπεν, προὐθέμην ᾗ φασὶν] *Ego vero diversam institui tenere viam, quam Annicerim ferunt.* De Anniceride et Anniceriis philosophis, consule Diogenem in vita Aristippi. Idem.

Τὴν ἐναντίαν γὰρ, εἶπον] Quod in interpretatione huic responsioni verba præmisi *male narras,* lucis inferendæ causa factum est. Nempe sic abrupte loquuntur Græci et Latini, cum concedunt quidem, quod alter dixit, sed ad se nihil pertinere ostendunt. Aliquoties ita Noster in Hermotimo. De Latinis diximus ad Quintil. II. 7 extr. Ceterum hanc de Anniceri narrationem habet etiam Ælian. V. H. II. 27. Gesn.

Ἀννίκεριν] Ille ipse, qui Platonem, cum jussu Dionysii veniret, redemerat. Diog. Laert. 74 E. et 54 C. ubi tamen alium Annicerim esse contendit Menagius, quem vide p. 70 D. ubi plura de eo testimonia congessit. Idem de eo narrat et Ælianus V. H. II. 27. teste Men. et Lactantius III. 25. ubi et pretium addit *octo sestertia.* Solan.

Παύσωνος] Menagius ita emendandum esse viderat, et MS. Gr. et Flor. ed. confirmant. In reliquis enim prave ubique legitur Πάσσωνος &c. vid. Plut. 705 f.

γράφῳ φασὶν ἐκδοθῆναι γράψαι ἵππον καλινδούμενον· τὸν δὲ γράψαι τρέχοντα, καὶ πολὺν κονιορτὸν περὶ τὸν ἵππον· ὡς δ' ἔτι γράφοντος, ἐπιστῆναι τὸν ἐκδόντα, μέμφεσθαι, μὴ γὰρ τοῦτο προστάξαι· τὸν οὖν [1]Πάσωνα τοῦ πίνακος τὰ μετέωρα κάτω περιαγαγόντα, τῷ παιδὶ τὴν γραφὴν ἐπιδεῖξαι κελεῦσαι, καὶ τὸν ἵππον ἔμπαλιν κείμενον ὀφθῆναι καλινδούμενον. ΛΥΚ. Ἡδὺς εἶ, ἔφην, Θερσαγόρα, ἂν μίαν οἴῃ με στροφὴν μεμηχανῆσθαι τοσούτων ἐτῶν, ἀλλ' οὐχὶ πάσας στροφὰς καὶ περιαγωγὰς ἐναλλάττοντα, καὶ μετατιθέντα, δεδιέναι μὴ τὸ τελευταῖον πάθοιμι τὸ τοῦ Πρωτέως. ΘΕΡΣ. Ποῖον, ἔφη, πάθος; ΛΥΚ. τὸ γενόμενον, ὅ φασιν αὐτὸν γενέσθαι, δρασμὸν ἐξευρίσκοντα τῆς ἀνθρωπίνης ὄψεως, ἐπεὶ κατηναλώκει πάσας [2]ἰδέας ἀνθρώπων, καὶ θηρίων, καὶ φυτῶν, καὶ στοιχείων, αὖθις αὖ πενίᾳ μορφῆς ἐπεισάκτου, Πρωτέα γενέσθαι. [25] ΘΕΡΣ. Σὺ μὲν, εἶπεν, ὑπὲρ τὸν Πρωτέα μηχανᾷ τὴν ἐμὴν ἀκρόασιν ἀποδιδράσκειν. ΛΥΚ. Οὐκ, ὦ 'γαθὲ, ἔφην, τοῦτο. παρέξω γοῦν ἐμαυτὸν ἀκροᾶσθαι, παρεὶς τὴν ἐπηρτημένην φροντίδα. τάχα γὰρ ἄν τι περὶ τοῦ σοῦ κυήματος ἄφροντις γενόμενος, καὶ τῆς ἐμῆς ὠδῖνος συμφροντίσαις. Ὡς οὖν ἐδόκει ταῦτα αὐτῷ, καθίσαντες ἐπὶ τῆς πλησίον κρηπῖδος, ἐγὼ μὲν ἠκροώμην, ὁδ' ἀνελέγετο μάλα γενναῖα ποιήματα. μεταξὺ δ' ὥσπερ ἔνθους γενόμενος, ἐπιπτύξας τὸ γραμματεῖον. ΘΕΡΣ. Κομίζου τὸν ἀκροατικὸν, ἔφη, μισθὸν, καθάπερ Ἀθήνησιν ἐκκλησιαστικὸν ἢ δικαστικόν· ἀλλ' ὅπως εἴσῃ μοι χάριν. ΛΥΚ. Χάριν μὲν, ἔφην, εἴσομαι, καὶ πρὶν ὅ, τι καὶ λέγεις εἰδέναι. [26] Τί δ' ἐστὶν ὅ, τι καὶ λέγεις; ΘΕΡΣ. Μακεδονικοῖς, εἶπεν, ἐντυχὼν τῆς βασιλικῆς οἰκίας ὑπομνήμασι, καὶ τότε ὑπερησθεὶς, τὸ βιβλίον οὐ κατὰ

[1] Παύσωνα [2] ἰδέας ἂν θηρίων

Ælian. V. H. XIV. 15. De hoc Pausone judicium Aristotelis vide de Poet. c. 2 pr. (Non viderat forte Menagius, sed Guyeto, ut solet, surripuit). SOLAN.

[25] Παρεὶς τὴν ἐπηρτημένην φροντίδα] Vertitur *dimissa ex animo impendente cogitatione:* malim, *demissa, suspensa illa cogitatione.* VITRING. V. Dem. Phil. I. §. έ. *ad fin.* ubi ἀπηρτημένοι καὶ ταῖς παρασκευαῖς καὶ ταῖς γνώμαις. SOLAN.

Ἐπὶ τῆς πλησίον κρηπῖδος] Ὑποβάθρα, θεμελίωσις, ὑπόδημα, καταρχαὶ, βάσις, ἕδρα. WOLF.

Ἐκκλησιαστικὸν ἢ δικαστικὸν] Concionibus etiam propositam fuisse mercedem non memini me observasse. τὰ θεωρικὰ καὶ δικαστικὰ καὶ στρατιωτικὰ, vel ex Olynthiacis nota sunt. IDEM.

Ἀλλ' ὅπως] Subaudi ὅρα, σκόπει. GUYET.

[26] Ὑπομνήμασι] A M. Æmilio captos regum Macedoniæ commentarios legimus

πάρεργον ἐκτησάμην, καὶ νῦν ὑπεμνήσθην ἔχων οἴκαδε. γέγραπται δ' ἄλλα τε τῶν Ἀντιπάτρῳ πραχθέντων ἐπὶ τῆς οἰκίας, καὶ περὶ Δημοσθένους, ἅ μοι δοκεῖς οὐκ ἂν παρέργως ἀκοῦσαι. ΛΥΚ. Καὶ μὴν, εἶπον, ἤδη γέ σοι τῶν εὐαγγελίων χάρις, καὶ τὰ λοιπὰ τῶν ἐπῶν. ἐγὼ μὲν οὖν οὐκ ἀπολείψομαί σου πρὶν ἢ τὴν ὑπόσχεσιν ἔργον σοι γενέσθαι· σὺ δ' εἱστίακας μέν με λαμπρῶς τὴν Ὁμήρου γενέθλιον, ἔοικας δ' ἑστιάσειν αὐτὸς καὶ τὴν Δημοσθένους. [27] Ὡς οὖν ἀνέγνω τὰ λοιπὰ τοῦ γραμματείου, διατρίψαντες ὀλίγον, ὅσον ἀποδοῦναι τῷ ποιήματι τοὺς δικαίους ἐπαίνους, ᾔειμεν εἰς τοῦ Θερσαγόρου, καὶ μόλις μὲν, ἐπιτυγχάνει δὲ τῷ βιβλίῳ, κἀγὼ λαβὼν τότε μὲν ἀπηλλαττόμην. ἐντυχὼν δ' οὕτω τὴν γνώμην διετέθην, ὡς οὐδέν τι περιτρέψας, ἀλλ' ἐπ' αὐτῶν ὀνομάτων τε καὶ ῥημάτων ὑμῖν ἀναλέξομαι. οὐδὲ γὰρ τῷ Ἀσκληπιῷ μεῖόν τι γίγνεται τῆς τιμῆς, εἰ, μὴ τῶν προσιόντων αὐτῷ ποιησάντων ᾄσματα, τὰ Ἀλισοδήμου τοῦ Τροιζηνίου καὶ Σοφοκλέους ᾄδεται, καὶ τῷ Διονύσῳ, τὸ μὲν ποίησιν καινὴν ποιεῖν, κωμῳδίας, ἢ τραγῳδίας, ἐκλέλειπται· τὰ δ' ἑτέροις συντεθέντα, τοῖς νῦν εἰς μέσον ἐν καιρῷ κομίζουσι χάριν οὐκ ἐλάττω φέρει, τῷ τὸν θεὸν δοκεῖν τετιμηκέναι. [28] Τὸ μὲν οὖν βιβλίον τοῦτο. [1]ἔστι δὲ τῶν ὑπομνημάτων τὸ προσῆκον ἡμῖν μέρος, τὸ δὲ

[1] (ἔστι - - - μέρος τόδε δρᾶμα) τὸ βιβλίον φησὶν

in ejus vita a Plut. conscripta; sed ab hoc visos &c. non credo. SOLAN. Vid. Misc. Obs. Brit. Mai. et Jun. 1733. p. 368. REITZ.

Ἔχων οἴκαδε] Ἀντὶ τοῦ οἴκοι. WOLF. οἴκοι marg. Lutet.

Καὶ τὰ λοιπὰ τῶν ἐπῶν] Aliquid excidisse videtur: petit enim, quod sequentia indicant, ut reliquum poema sibi peragat. SOLAN. Ἀκούσομαι legisse videtur interpr. GUYET. Marg. Lutet. ἀνάγνωθι supplet.

[27] Ἤειμεν εἰς τοῦ Θερσαγόρου] Scilicet οἰκίαν, ut εἰς ᾅδου, et apud Terentium, *ad Dianæ*. WOLF.

Περιτρέψας] Lego παρατρέψας. IDEM. ita marg. Lutet.

Ἀλισοδήμου] Hunc poetam ab aliis laudatum non memini. SOLAN.

Σοφοκλέους] Scripserat ergo et Sophocles hymnos. IDEM.

Ἐκλέλειπται] Hujus ergo ætate neque Tragœdiæ, neque Comœdiæ novæ Athenis scribebantur. IDEM.

[28] Τὸ μὲν οὖν βιβλίον τοῦτο (ἔστι δὲ τῶν ὑπομνημάτων τὸ προσῆκον ἡμῖν μέρος, τὸ δὲ δρᾶμα τοῦ βιβλίου) φησὶν] Lego μέρος τόδε δρᾶμα: τοῦ βιβλίου vel redundare videtur, vel potius transpositum, ut sic legatur, μέρος τοῦ βιβλίου τόδε, δρᾶμα: vel τὸ προσῆκον ἡμῖν τοῦ βιβλίου τοδὶ (Attice pro τόδε) μέρος, δρᾶμα. Si τοῦ βιβλίου retinueris, τῶν ὑπομνημάτων redundabit. *At libellus quidem hic (est autem ea hujus libelli pars, quæ nostro instituto servit, actio*, hoc est, non narratio, sed dialogus) *ait*, &c. Hunc sensum esse non dubito: transposita esse verba quædam, nemo, nisi imperitissimus mirabitur, qui unius et ejusdem auctoris non nisi unum exemplar legerit, quique doctiss. et diligentiss. auctores quam librarios vel seipsum potius inscitiæ et incuriæ accusare maluerit. WOLF. τόδε δρᾶμα τοῦ βιβλίου, οὗ φησὶν Ἀντιπ. marg. Lutet.

δρᾶμα τοῦ βιβλίου φησὶν, Ἀντιπάτρῳ μεμηνύσθαι παρόντα τὸν Ἀρχίαν. ὁ δ' Ἀρχίας, εἴ τις ἄρα τῶν νεωτέρων ἀγνοεῖ, τοὺς φυγάδας ἐτέτακτο συλλαμβάνειν. ἐπέσταλτο δ' αὐτῷ καὶ Δημοσθένην ἀπὸ τῆς Καλαυρίας πεῖσαι μᾶλλον, ἢ βιάσασθαι πρὸς τὸν Ἀντίπατρον ἥκειν. καὶ δὴ καὶ μετέωρος ὁ Ἀντίπατρος ἐπὶ ταύτης ἦν τῆς ἐλπίδος, τὸν Δημοσθένην ἀεὶ προσδοκῶν. ὡς οὖν ἤκουσεν ἀπὸ τῆς Καλαυρίας ἥκοντα τὸν Ἀρχίαν, εὐθὺς ὡς εἶχεν ἐκέλευσεν εἴσω καλεῖν. [29] Ἐπεὶ δ' εἰσῆλθεν, αὐτὸ φράσει τὰ λοιπὰ τὸ βιβλίον. ΑΡΧ. Χαῖρε, ὦ Ἀντίπατρε. ΑΝΤ. Τί δ' οὐ μέλλω χαίρειν, εἰ Δημοσθένην ἤγαγες; ΑΡΧ. Ἤγαγον ὡς ἐδυνάμην· ὑδρίαν γὰρ κομίζω τῶν Δημοσθένους λειψάνων. ΑΝΤ. Ἀπ' ἐλπίδος γε μὴν ἔσφηλας, ὦ Ἀρχία. τί γὰρ τῶν ὀστῶν καὶ τῆς ὑδρίας Δημοσθένην οὐκ ἔχοντι; ΑΡΧ. Τὴν γὰρ ψυχὴν αὐτοῦ, ὦ βασιλεῦ, πρὸς βίαν κατέχειν ἀδύνατον. †-†-† ΑΝΤ. Τί δ' οὐ ζῶντα κατειλήφατε; ΑΡΧ. Κατειλήφαμεν. ΑΝΤ. Κατὰ τὴν ὁδὸν οὖν τέθνηκεν; ΑΡΧ. Οὐκ, ἀλλ' οὗπερ ἦν, ἐν Καλαυρίᾳ. ΑΝΤ. Τάχα τῆς ὑμετέρας

Δρᾶμα τοῦ βιβλίου] Sic legendum videtur: *τὸ προσῆκον ἡμῖν μέρος τὸ δὲ φησὶν Ἀντιπ.* &c. *τὸ δρᾶμα τοῦ βιβλίου* insititium videtur. Guyet. Quid in his veri sit, ex Plutarcho intelligis in vita Dem. qui, excepto Antipatri colloquio, eadem ferme habet. Solan. Legebatur, *τὸ δὲ δρᾶμα τοῦ βιβλίου*, præmisso etiam puncto ante *τὸ δέ*. Sed parenthesi addita, distinctioneque mutata, et pro *τοῦ βιβλίου* rescribendo *βιβλίον*, Gesnerus vulgatum emendavit, cui obsecundavi, quod vulgatum sensu carebat, nec aliter ex Codd. restitui poterat. Reitz.

Τοὺς φυγάδας ἐτέτακτο] Unde *φυγαδοθήρας*, auctore Plutarcho, quasi *venatorem exulum* dicas, nominabatur. Wolf.

Καλαυρίας] Sæpius in hac voce apud Plut. peccatur hac in historia: pro Calauria enim ubique Calabriam libri impressi habent. V. in Dem. §. κθ'. et §. λ'. Solan.

[29] Ἐπεὶ δ' εἰσῆλθεν, αὐτὸ φράσει τὰ λοιπὰ τὸ βιβλίον] *Postquam vero ingressus est, ipse libellus narrabit cætera.* id est: Quid post Archiæ ingressum factum sit, ipse liber explicabit. Sunt autem hæc *ὑπομνήματα* non in aula Antipatri (uti reor) sed ex ingenio Luciani nata, *τὰ κοινὰ καινῶς λέγειν* aggressi: magno sane ingenio, acerrimo hoste, eoque rege, laudes Demosthenis recitante. Wolf.

Χαῖρε, ὦ Ἀντίπατρε] Hic incipit monumentum antiquum et lectu dignum: cætera non sunt magni pretii. La Croze. Hic incipit quasi novus dialogus. Vid. Miscell. Obs. supra laudat. p. 368 f. et 369. Reitz.

Τί γὰρ τῶν ὀστῶν καὶ τῆς ὑδρίας Δημοσθένην οὐκ ἔχοντι] Scilicet, *δεῖ ἐμοί*; vel, *ὄφελός ἐστι*; Wolf. *γρ. ὑδρίας ὀναίμην, Δημ.* marg. Lutet.

Τί δ' οὐ ζῶντα] Ad hunc Auctoris nostri locum eam libuit admittere medicinam, quam Solanus, Gesnerus, et Anonym. in Misc. Obs. Brit. Maii et Jun. 1733. p. 370., adstipulantibus Heumanno, Hemsterhusio, Reitzio, et aliis viris doctis, multis approbaverunt. Partes autem orationis, quas translocatum ivimus, obelis notatas edere curavimus, ut nescio quis vetustorum fautor ad priorem ordinem actutum revertatur. Solanus quidem paulo aliter ac Gesnerus, quem nos sequimur, locum transposuit, quem cujus refert consulat.

γέγονεν ἔργον ὀλιγωρίας, οὐ θεραπευόντων τὸν ἄνθρωπον; ΑΡΧ. Ἀλλ' οὐδ' [1]ὑφ' ἡμῖν ἐγένετο. ΑΝΤ. Τί φής; αἰνίγματα λέγεις, ὦ Ἀρχία, ζῶντα λαβόντες οὐκ ἔχετε. [30] ΑΡΧ. Οὐ γὰρ ἐκέλευες τήν γε πρώτην μὴ βιάζεσθαι; καίτοι πλέον ἂν οὐδὲ βιασαμένοις οὐδὲν ἦν· καὶ γὰρ οὖν [2]ἐμελλήσαμεν. ΑΝΤ. Οὐκ εὖγε ὑμεῖς οὐδὲ [3]μελλήσαντες· ἴσως οὖν ἐκ τῆς ὑμετέρας τέθνηκε βίας. ΑΡΧ. Ἡμεῖς μὲν αὐτὸν οὐκ ἀπεκτείναμεν, βιάζεσθαι δὲ αὐτὸν μὴ πείθουσιν ἀναγκαῖον ἦν. σοὶ δ', ὦ βασιλεῦ, τί τὸ πλέον, εἰ ζῶν ἀφίκετο; πάντως οὐδὲν ἂν αὐτὸν, ἢ ἀπέκτεινας. [31] ΑΝΤ. Εὐφήμει, ὦ Ἀρχία· δοκεῖς μοι μὴ συννενοηκέναι, μήθ' ὅστις ὁ Δημοσθένης, μήτε τὴν ἐμὴν γνώμην· ἀλλὰ νομίζειν ὅμοιον εἶναι Δημοσθένην εὑρεῖν, καὶ τούτους ζητεῖν τοὺς κακῶς ἀπολωλότας, Ἱμεραῖον τὸν Φαληρέα, καὶ τὸν Μαραθώνιον Ἀριστόνικον, καὶ τὸν ἐκ Πειραιῶς Εὐκράτην, τῶν ῥαγδαίων ῥευμάτων οὐδὲν διαφέροντας, ἀνθρώπους ταπεινοὺς, ἀφορμῇ προσκαίρων θορύβων ἐπιπολάσαντας, καὶ πρὸς μικρὰν ταραχῆς ἐλπίδα θρασέως ἐξαναστάντας, εἶτα πτήξαντας οὐκ εἰς μακρὰν, δίκην τῶν δειλινῶν πνευμάτων· καὶ τὸν ἄπιστον Ὑπερίδην, καὶ τὸν ἄφιλον Δημοκόλακα, τὸν οὐδὲν αἰσχρὸν νομίσαντα [4]κολακείᾳ τοῦ πλήθους συκοφαντῆσαι Δημοσθένην, οὐδ' αὐτὸν εἰς ταῦτα παρασχεῖν διάκονον, ἐφ' οἷς αὐτοὶ μετενόησαν, οἷς

[1] ἐφ' [2] ἐμελήσαμεν [3] μελήσαντες [4] κολακίᾳ

Οὐδ' ὑφ' ἡμῖν ἐγένετο] Malim, ἐφ' ἡμῖν. Wolf. ἐφ' ἡμῖν marg. Lutet.

Ζῶντα λαβόντες οὐκ ἔχετε] Videtur ad ænigma illud piscatorum, de quo Herodotus in Homeri vita agit, alludere: [c. 35.] Ἅσσ' ἕλομεν, λιπόμεσθα· ἃ δ' οὐχ ἕλομεν, φερόμεσθα. Wolf.

[30] Καίτοι πλέον ἂν οὐδὲ βιασαμένοις] Pro, οὐδὲ μελήσαντες, lego etiam infra, οὖν μελλήσαντες, duplex λλ a futuro μελλήσω, scil. βιάζεσθαι, pro βιασόμενοι. Est enim ἀορ. α. a verbo μέλλω. Sic legendum esse testatur quod sequitur: βιάζεσθαι δ' αὐτὸν μὴ πείθουσιν ἀναγκαῖον ἦν. Idem.

[31] Καὶ τούτους ζητεῖν] Himeræus Phalereus, Demetrii frater, et Marathonius Aristonicus et Eucrates Piræensis fuerunt, ut conjicio; sive oratores sive demagogi Atheniensium, nostris historicis minus noti. Idem.

Ἱμεραῖον] De Himeræo Phalereo, Demetrii fratre, et Aristonico Marathonio, atque Hyperide, Plut. in V. Dem. §. κη'. narrat, eos Æginæ ab Archia ex Ajacis monumento detractos, Cleonas missos ad Antipatrum, et ibi periisse. Gesn.

Δίκην τῶν δειλινῶν πνευμάτων] Hanc observationem, ventos quosdam vespertinos mox ponere, firmat Aristot. Probl. 26. 35. διὰ τί ὁ ζέφυρος πρὸς τὴν δείλην πνεῖ, πρωῒ δ' οὔ; Idem.

Καὶ τὸν ἄφιλον Δημοκόλακα] Fortasse, καὶ Δημάδην τὸν, &c. Demadem certe intelligit, οὗ γράψαντος, ut scribit Plutarchus, ὁ δῆμος τοῦ Δημοσθένους θάνατον κατέγνω. Ὑπερίδην cur ἄπιστον vocet, eam esse caussam conjicio, quod florente repub. et ipse Demostheni suffragatus sit, mutataque fortuna, cum non modo deseruerit, sed etiam accusarit. Vide Hyperidis vitam apud Plutarchum, qui eum sibi ipsi præmordisse linguam asserit, ne reipub. ar-

ἐχαρίζετο. μετ' οὐ πολὺ γοῦν τῆς συκοφαντίας λαμπροτέραν ἢ κατ' Ἀλκιβιάδην αὐτῷ τὴν κάθοδον ἀκηκόαμεν γενέσθαι· τῷ δὲ οὐκ ἔμελεν, οὐδ' ἐπῃσχύνετο κατὰ τῶν ποτὲ φιλτάτων τῇ γλώττῃ χρώμενος, ἣν ἐχρῆν δή που τῆς ἀγνωμοσύνης ἐκτεμεῖν. [32] ΑΡΧ. Τί δ' οὐκ ἐχθρῶν ἡμῖν ἔχθιστος ὁ Δημοσθένης; ΑΝΤ. Οὐχ ὅτῳ μέλοι τρόπου [1] καὶ πίστεως, φίλον πᾶν ἄδολον, καὶ βέβαιον ἦθος ἡγουμένῳ· τὰ γάρ τοι καλὰ, καὶ παρ' ἐχθροῖς καλὰ, καὶ τὸ τῆς ἀρετῆς, πανταχοῦ τίμιον. οὐδὲ κακίων ἐγὼ Ξέρξου, τοῦ Βοῦλιν καὶ Σπέρχιν τοὺς Λακεδαιμονίους θαυμάσαντος, καὶ κτεῖναι παρὸν ἀφέντος. ἀλλ' εἰ δή τινα πάντων, καὶ Δημοσθένην, αὐτός τε δὶς Ἀθήνησιν, εἰ καὶ μὴ κατὰ πολλὴν σχολὴν συγγενόμενος, καὶ παρὰ τῶν ἄλλων ἀναπυνθανόμενος, ἔκ τε τῶν πολιτευμάτων αὐτῶν εἶχον θαυμάσας, οὐχ ὡς ἂν νομίσειέ τις τῆς τῶν λόγων δεινότητος· εἰ καὶ μηδὲν μὲν ὁ Πύθων πρὸς αὐτὸν, οἱ δ' Ἀττικοὶ [2] ῥήτορες, παιδιὰ παραβάλλειν τῷ τούτου κρότῳ, καὶ τόνῳ, καὶ λέξεων εὐρυθμίᾳ, καὶ ταῖς τῶν διανοιῶν περιγραφαῖς,

[1] Deest καί.

[2] ῥήτορες παιδιὰ, παραβάλλειν τῷ

cana prodere posset. Wolf.

Λαμπροτέραν] Magnes Demetrius apud Plut. Dem. refert, in illo suo reditu Demosthenem ἀνατείναντα τὰς χεῖρας μακαρίσαι τῆς ἡμέρας ἐκείνης αὐτὸν, ὡς βέλτιον Ἀλκιβιάδου κατιόντα. πεπεισμένους γὰρ οὐ βεβιασμένους ὑπ' αὐτοῦ δέχεσθαι τοὺς πολίτας. Gesn.

[32] Οὐχ ὅτῳ μέλοι τρόπου πίστεως φίλων] *Non si cui curæ sint mores fidei amicorum, omne sincerum et constans ingenium existimanti.* Hæc ego non intelligo, sed sic legendum censeo, οὐχ, ὅτῳ μέλοι τρόπου καὶ πίστεως, φίλον πᾶν ἄδολον, &c. *Non, si cui curæ sint mores et fides, amicum omne sincerum et constans ingenium existimanti.* Wolf.

Βοῦλιν καὶ Σπέρχιν] Vide Herodotum lib. 7. [c. 134.] qui Polyhymnia inscribitur. Darii legati a Lacedæmoniis conjecti erant in puteos. Qua de re Xerxe expostulante, hi duo se ultro ad illi satisfaciendum obtulerunt. Idem.

Εἰ καὶ μὴ κατὰ πολλὴν σχολὴν] *Quamvis otio non abundarem*, id est, quamvis congressus ille brevior fuerit, quam voluissem. Idem.

Ἔκ τε τῶν πολιτευμάτων αὐτῶν, εἶχον θαυμάσας] Id est, ἐθαύμαζον, *propter ipsa in repub. acta admirabar.* Sed malim, θαυμάσαι. Idem. θαυμάσαι marg. Lutet.

Πύθων] Orator Byzantinus eloquentissimus, cujus Demosthenes et Æschines in oratt. meminerunt. Guyet.

Οἱ δ' Ἀττικοὶ ῥήτορες παιδιὰ παραβάλλειν] Pro, εἴ τις ἂν αὐτοὺς παραβάλοι τῷ Δημοσθένει. Observentur hic Demostheniсæ orationis elogia. κρότος, *plausus* est, sed videtur effectus pro causa poni, ut dicatur oratio plausibilis, quæ applausum excitat. κροτῆσαι, inquit Suidas, τὸ ταῖς χερσὶν ἐπαινέσαι. ἔστι γὰρ ὁ κρότος τῶν νενικηκότων τόνος, est *contentio vocis.* λέξεων εὐρυθμία, *compositio et numeri oratorii.* αἱ διανοιῶν περιγραφαὶ sunt αἱ περίοδοι, quas Cicero *ambitus, circuitus et quasi orbes verborum, comprehensiones, continuationes, et circumscriptiones orationis* appellat. συνέχεια ἀποδείξεων, *densitas argumentorum et crebræ probationes.* ἀποδείξεις, hic non Aristotelico aut Geometrico more sunt accipiendæ, sed ἀντὶ τῶν ἐπιχειρημάτων, cujuscunque generis illa fuerint. τὸ συνακτικὸν, παρὰ τὸ συνάγειν τὸ ἀθροίζειν, est *densitas et frequentatio verborum et sententiarum.* Fabius lib. 10. Demosthenis dictionem judicat Ciceroniana densiorem, astrictiorem, acutiorem, et talem cui nihil possit

καὶ συνεχείαις ἀποδείξεων, καὶ τῷ συνακτικῷ γε καὶ κρουστικῷ. μετενοοῦμεν γοῦν, ὅτε τοὺς Ἕλληνας Ἀθήναζε συνηγάγομεν, ὡς ἐλέγξοντες Ἀθηναίους, Πύθωνι καὶ τοῖς Πύθωνος ἐπαγγέλμασι πεπιστευκότες, εἶτα Δημοσθένει, καὶ τοῖς Δημοσθένους ἐλέγχοις περιπεσόντες. ἀλλ' ἡμῖν ἀπρόσιτος ἡ δύναμις [1] αὐτοῦ τοῦ λόγου. [33] Ἐγὼ δὲ ταύτην μὲν δευτέραν ἔταττον, ἐν χώρᾳ τιθεὶς ὀργάνου· Δημοσθένην δ' αὐτὸν ὑπερηγάμην τοῦ τε φρονήματος, καὶ τῆς συνέσεως, ἀκλινῆ τὴν ψυχὴν ἐπ' ὀρθῆς ἐν ἁπάσαις φυλάττοντα τρικυμίαις τῆς τύχης, καὶ πρὸς μηδὲν τῶν δεινῶν ἐνδιδόντα. καὶ Φίλιππον δὲ τὴν ἐμὴν γνώμην ἔχοντα περὶ τἀνδρὸς ἠπιστάμην. οὗτος μέν γε δημηγορίας ἐξαγγελθείσης Ἀθήνηθέν ποτε, καθαπτομένης τοῦ Φιλίππου, καὶ Παρμενίωνος ἠγανακτηκότος, καί τι καὶ σκωπτικὸν εἰς τὸν Δημοσθένην ἐπειπόντος, Ὦ Παρμενίων, ἔφη, δίκαιος ὁ Δημοσθένης παῤῥησίας τυγχάνειν· μόνος γέ τοι τῶν ἀπὸ τῆς Ἑλλάδος δημαγωγῶν οὐδαμοῦ τοῖς ἀπολογισμοῖς ἐγγέγραπται τῶν ἐμῶν ἀναλωμάτων. καίτοι μᾶλλον ἠβουλόμην, ἢ γραμματεῦσι τριηρίταις ἐμαυτὸν πεπιστευκέναι. νῦν δ' ἐκείνων μὲν ἕκαστος ἀπογέγραπται, χρυσίον, ξύλα, πόρους, θρέμματα, γῆν † † † οὐ Βοιωτίας, [2] οὐδ' ἔνθα τι παρ' ἐμοῦ λαβόντες.

[1] αὐτῷ [2] οὐ δ'

detrahi. Wolf.

Τῷ συνακτικῷ] Aliud est, τὸ συνεκτικὸν αἴτιον, de qua pugnæ philosophorum et medicorum. τὸ κρουστικὸν, intelligo, *impetum et vim*, ut si robustus miles umbone propellat hostem. Idem.

[33] Ἐπ' ὀρθῆς] Int. γραμμῆς, linea, s. via, in qua mentem suam tanquam navim tenuit. Respicitur ad Rhodium illum gubernatorem, ὅς ἔφη, ut est apud Aristidem Rhod. p. 542. Jebb. χειμαζομένης αὐτῷ τῆς νεὼς, καὶ καταδύσεσθαι προσδοκῶν, τοῦτο δὴ τὸ θρυλλούμενον· ἀλλ', ὦ Πότειδαν, ἴσθι ὅτι ὀρθὰν τὰν ναῦν καταδύσω. *Dum clavum rectum teneam*, ut est in Quintil. II. 17. 24. ubi reliqua dedimus. Sed fractum animo fuisse in exilio illo Demosthen. similemque Ciceroni, monet Plutarchus. Gesn.

Τὴν ἐμὴν γνώμην ἔχοντα] Quid si τὴν αὐτὴν ἐμοὶ γνώμην: etsi et hoc bonum est, *mecum sentientem, me adstipulatore.* Wolf. τὴν αὐτὴν ἐμοὶ γν. marg. Lutet.

Γραμματεῦσι τριηρίταις] Fortasse, καὶ τριηρίταις. Innuit enim Æschinem, opinor, qui scriba, et Demadem, qui nauta fuisse perhibetur. Wolf.

Χρυσίον] Subaudi κατά. Guyet.

Οὐ Βοιωτίας, οὐδ' ἔνθα τι] Hæc ita apparet arcte cohærere, ut sine injuria et internecione sententiæ divelli non possint: et tamen longe erant distracta. Scrupulum quidem injiciunt verba, quæ posuimus, in quibus multa varie tentata per hosce XX annos cum ab aliis, tum a nobis quoque et nostris amicis. Ponam illud, in quo non δευτέραις, sed δεκάταις minimum φροντίσιν acquiescere mihi visus sum. Primo igitur aio, cum ἕκαστος ἀπογέγραπται pulcre cohærere participium παρ' ἐμοῦ λαβόντες, plurali ad distributivum nomen relato. Deinde Bœotiam Atticæ illam conterminam, et Demagogis Atticis commodam, in potestate Philippi bis

ἡμεῖς δὲ θᾶττον ἂν τὸ Βυζαντίων τεῖχος ἕλοιμεν μηχαναῖς, ἢ Δημοσθένην χρυσίῳ. [34] Ἐγὼ δὲ, ὦ Παρμενίων, ἔφη, εἰ μέν τις Ἀθηναῖος ὢν ἐν Ἀθήναις λέγων, ἐμὲ τῆς πατρίδος προτιμᾷ, τούτῳ ἀργύριον μὲν προείμην ἂν, φιλίαν δ' οὐκ ἄν· εἰ δέ τις ὑπὲρ τῆς πατρίδος ἐμὲ μισεῖ, τούτῳ προσπολεμῶ μὲν, ὡς ἀκροπόλει, καὶ τείχει, καὶ νεωρίοις, καὶ τάφρῳ, θαυμάζω δὲ τῆς ἀρετῆς, καὶ μακαρίζω γε τοῦ κτήματος τὴν πόλιν· καὶ τοὺς μὲν, ἔξω τῆς χρείας γενόμενος, ἥδιστ' ἂν προσαπολέσαιμι, τὸν δὲ βουλοίμην ἂν ἐνταυθοῖ παρ' ἡμῖν τυχεῖν γενόμενον μᾶλλον, ἢ τὴν Ἰλλυριῶν ἵππον καὶ Τριβαλλῶν, καὶ πᾶν τὸ μισθοφορικὸν, τῆς ὅπλων βίας τὴν τοῦ λόγου πειθὼ, καὶ τὸ τῆς γνώμης ἐμβριθὲς οὐδαμῇ τιθεὶς δεύτερον. [35] Πρὸς Παρμενίωνα μὲν ταῦτα· τοιούτους δέ τινας καὶ πρὸς ἐμὲ λόγους ἐποιή-

fuisse constat, in tantum certe, ut inde ligna, reditus s. vectigalia, pecora, prædia dare et assignare suis illis amicis mercenariis posset, semel in bello sacro, et deinde post pugnam Chæronensem. Igitur legendum videtur: νῦν δ' ἐκείνων μὲν ἕκαστος ἀπογέγραπται, χρυσίον, ξύλα, πόρους, θρέμματα, γῆν ὃς Βοιωτίας, ὃς δ' ἔνθα τι παρ' ἐμοῦ λαβόντες, ea sententia, quam interpretando expressi, seu magis ad verbum placeat, *Nunc illorum unusquisque scriptus est aurum—alius Bœotiæ, alius hic aliquid eorum, a me accepisse.* Ita sanari potest locus difficillimus, nulla litera immutata, nisi illa negatione, quæ orta videtur ex studio conglutinandi, quæ tamen cohærere nullo modo possunt. Nisi poeticum esset, (certe non satis attendi, an etiam in soluta oratione adhibeatur) poteramus etiam suspicari, ὃ ὐκ i.e. ὁ ἐκ Βοιωτίας, ὁ δ' ἔνθα τι λαβόντες, sententia plane eadem. GESN.

Τὸ Βυζαντίων τεῖχος] Herodianus lib. 3. Σεβῆρος μαθὼν τὸ Βυζάντιον προκατειλημμένον, καὶ εἰδὼς ὀχυρώτατα τετειχισμένον, &c. et τεῖχος πεποιημένον μυλίτου λίθου ἐς τετράγωνον ἐργασμένου. τοσαύτῃ δὲ συναφείᾳ καὶ κολλήσει, ὡς μηδένα οἴεσθαι τὸ ἔργον σύνθετον, ἑνὸς δὲ λίθου τὸ πᾶν πεποιῆσθαι. WOLF.

Βυζαντίων τεῖχος] A qua urbe capienda depulsus Demosthenis consiliis fuerat Philippus. V. Orat. de Coron. c. 27. Μασχάλην τῆς Ἑλλάδος vocat apud Athenæum VIII. 10. Stratonicus, quod scilicet uti homo ala, ita Græcia Byzantio capi possit. Vid. Casaub. pag. 384. GESN.

[34] Ἐγὼ δὲ, ὦ Παρμενίων] Cum Parmenion ab Alexandro Magno, priusquam Antipater rerum in Græcia potiretur, occisus fuerit: necesse est hunc locum esse mutilum et præcessisse aliquid, quo Philippi et Parmenionis colloquium Antipater referat. Facilis autem conjectura est, invectum esse Parmenionem in Demosthenem, ut perturbatorem Græciæ, et belli concitatorem inter Philippum et Athenienses. Mutila sunt et ea quæ antecedunt, οὐ Βοιωτίας, οὐδ' ἔνθα τι παρ' ἐμοῦ λαβόντες: fortassis οὐ χρυσίον ἐκ Βοιωτίας, &c. ut suppleatur ἂν ἐπείσατε ἀφικέσθαι πρὸς ἡμᾶς. *Non auro e Bœotia* (quæ tum Macedonicæ ditionis erat) *aut hinc a nobis accepto persuadere illi potuissetis?* hoc est, cur non auro expugnastis ejus constantiam? Videtur alludere ad Philippi dictum, Nullum castellum tam esse firmum, quin expugnari possit, si asino aurum gestanti pateat aditus. WOLF.

Προείμην ἂν] Objecerim, ut canibus, ut latronibus, ad incommoda majora effugienda. Herodot. I. 24. de Arione inter nautas latrones constituto, τὸν δὲ συνιέντα λίσσεσθαι, χρήματα προϊέντα σφι, ψυχὴν δὲ παραιτεόμενον. GESN.

Παρ' ἡμῖν τυχεῖν γενόμενον] *Apud nos fuisse natum*: velim ita cecidisse, ut apud nos esset natus, ut eodem amore patriam Macedoniam complecteretur, quo nunc Athenas. Sed hic sensus ad τὴν Ἰλλυριῶν ἵππον accommodari non potest. Erat is quidem equitatus apud Philippum, sed in Macedonia natus non erat. videtur itaque nihil aliud dicere, nisi: *vellem eum apud nos fuisse.* γενέσθαι παρ' ἡμῖν. WOLF.

σατο. τῶν γὰρ μετὰ Διοπείθους Ἀθήνηθεν ἀπεσταλμένων, ἐγὼ μὲν εἶχον διὰ φροντίδος. [1]ὁ δ' εὖ μάλα γελάσας, ἔφη, Σὺ δ' Ἀττικὸν στρατηγὸν, ἢ στρατιώτην δέδοικας ἡμῖν; αἱ μὲν τριήρεις καὶ ὁ Πειραιεὺς καὶ τὰ νεώρια, λῆρος ἔμοι γε καὶ φλήναφος. τί δ' ἂν ἄνθρωποι πράξαιεν διονυσιάζοντες, ἐν κρεανομίαις καταζῶντες καὶ χοροῖς; εἰ δὲ μὴ Δημοσθένης εἷς ἐν Ἀθηναίοις ἐγένετο, ῥᾷον ἂν εἴχομεν τὴν πόλιν, ἢ Θηβαίους καὶ Θετταλοὺς ἀπατῶντες, βιαζόμενοι, φθάνοντες, ὠνούμενοι· νῦν δὲ εἷς ἐκεῖνος ἐγρήγορε, καὶ πᾶσι τοῖς καιροῖς ἐφέστηκε, καὶ ταῖς ἡμετέραις ὁρμαῖς ἐπακολουθεῖ, καὶ τοῖς στρατηγήμασιν ἀντιπαρατάττεται. λανθάνομεν δὲ αὐτὸν οὐ τεχνάζοντες, οὐκ ἐπιχειροῦντες, οὐ βουλευόμενοι, καὶ καθάπαξ κώλυμά τι καὶ πρόβολος ἡμῖν ἄνθρωπός ἐστι, μὴ πάντ' ἔχειν ἐξ ἐπιδρομῆς. τό γέ τοι κατ' αὐτὸν, οὐκ Ἀμφίπολιν εἵλομεν, οὐκ Ὄλυνθον, οὐ Φωκέας, καὶ [2]Πύλον ἔσχομεν· οὐχὶ Χεῤῥονήσου καὶ τῶν περὶ τὸν Ἑλλήσποντον κεκρατήκαμεν. [36] Ἀλλ' ἀνίστησι μὲν ἄκοντας, οἷον ἐκ μανδραγόρου καθεύδοντας τοὺς αὐτοῦ πολίτας, ὥσπερ τομῇ τινὶ καὶ καύσει τῆς ῥαθυμίας τῇ παῤῥησίᾳ χρώμενος, ὀλίγον τοῦ πρὸς ἡδονὴν φροντίσας. μετατίθησι δὲ τῶν χρημάτων τοὺς πόρους ἀπὸ τῶν θεάτρων ἐπὶ τὰ στρατόπεδα, συντίθησι δὲ τὸ ναυτικὸν νόμοις τριηραρχικοῖς, ὑπὸ τῆς ἀταξίας μονονοὺ τελέως διεφθαρμένον, ἐγείρει δ' ἐῤῥιμμένον ἤδη χρόνου πρὸς τὴν δραχμὴν καὶ τὸ τριώβολον

[1] ὃδ'

[2] Πύλας

Τῶν γὰρ μετὰ Διοπείθους] Vide orationem Demosthenis περὶ τῶν ἐν Χεῤῥονήσῳ. Lectio suspecta est: εἶχον διὰ φροντίδος τῶν ἀπεσταλμένων ἀντὶ τοῦ, τοὺς ἀπεσταλμένους. ἐφρόντιζον quidem τῶν ἀπεσταλμένων usilate dicitur. Idem.

Πρόβολος ἡμῖν] Suidas πρόβολον interpretatur, πρόμαχον, προστάτην, τεῖχος, ἀσφάλειαν. Item, πρόβολοι, inquit, αἱ εἰς θάλασσαν προκείμεναι πέτραι, καὶ οἷον ἀκταί τινες. Et in hac significatione hic accipiendum est hoc nomen, ut significet: quemadmodum rupes aut promontorium fluctuum impetum frangit: ita conatus nostros Demosthenes facit irritos. Idem.

Οὐκ Ἀμφίπολιν εἵλομεν] Sine interrogationibus hæc sunt legenda. Quod autem ad res a Philippo gestas attinet, consulatur 16. Diodori Siculi. Idem.

Πύλον ἔσχομεν] Fortasse, Πύλας. Subactis enim Phocensibus, Philippus factus est Pylagoras. Qua de re agitur in oratione Demosthenis de pace, et apud Diodorum, et Plutarchum. Idem. Πύλας marg. Lutet. ita quoque Palmerius reponi jussit, et sic ed. Florentina.

[36] Οἷον ἐκ μανδραγόρου καθεύδοντας] Soporifica Mandragoræ vis non est ignota. Wolf. Vid. Plin. H. N. l. 25.

Τοῦ πρὸς ἡδονὴν] Scilicet ὄντος, id est, τοῦ ἡδέος καὶ τοῦ χαρίσασθαι. Wolf.

Ἀπὸ τῶν θεάτρων] Ὅτι δεῖ τὰ θεωρικὰ στρατιωτικὰ γενέσθαι, tractatur Olynthiaca tertia (secunda). Idem.

Νόμοις τριηραρχικοῖς] Harum legum fit mentio in Oratione περὶ στεφάνου. Idem.

Ἤδη χρόνου] *Nunc temporis*, id est, hoc tempore. Idem.

Πρὸς τὴν δραχμὴν καὶ τὸ τριώβολον] *Abjectum ad drachmam et tres obolos*, id est,

τὸ τῆς πόλεως ἀξίωμα, πάλαι τούτους κατακεκλιμένους εἰς τοὺς προγόνους ἐπανάγων, καὶ τὸν ζῆλον τῶν Μαραθῶνι καὶ Σαλαμῖνι κατειργασμένων· συνίστησι δ' ἐπὶ συμμαχίας, καὶ συντάξεις Ἑλληνικάς. τοῦτον οὐ λαθεῖν ἐστὶν, οὐ φενακίσαι, οὐ πρίασθαι δ' οὐ μᾶλλον, ἢ τὸν Ἀριστείδην ἐκεῖνον ὁ Περσῶν βασιλεὺς ἐπρίατο. [37] Τοῦτον οὖν, ὦ Ἀντίπατρε, χρὴ δεδιέναι μᾶλλον, ἢ πάσας τριήρεις, καὶ πάντας ἀποστόλους. ὃ γὰρ Ἀθηναίοις τοῖς πάλαι Θεμιστοκλῆς καὶ Περικλῆς ἐγένετο, [1] τούτοις νῦν ὁ Δημοσθένης, ἐφάμιλλος Θεμιστοκλεῖ μὲν τὴν σύνεσιν, Περικλεῖ δὲ τὸ φρόνημα. ἐκτήσατο γοῦν αὐτοῖς ἀκούειν Εὔβοιαν, Μέγαρα, τὰ περὶ τὸν Ἑλλήσποντον, τὴν Βοιωτίαν. καὶ καλῶς γε, ἔφη, ποιοῦσιν Ἀθηναῖοι, Χάρητα μὲν καὶ Διοπείθην καὶ Πρόξενον καὶ τοιούτους τινὰς ἀποδεικνύντες στρατηγεῖν, Δημοσθένην δὲ εἴσω κατέχοντες ἐπὶ τοῦ βήματος. ὡς, εἰ τοῦτον τὸν ἄνθρωπον ὅπλων ἀπέφηναν καὶ νεῶν καὶ στρατοπέδων καὶ καιρῶν καὶ χρημάτων κύριον, ὀκνῶ, μὴ περὶ

[1] τοῦτο τοῖς νῦν

semidrachmam. Libanius δυοῖν ὀβολοῖν facit mentionem in argumento Olynthiacarum. δραχμὴν vero vel δικαστικὸν, vel ἐκκλησιαστικὸν μισθὸν fuisse conjicio. Unde Isocrates in Areopagitico, ὅταν, inquit, ἴδῃ τινὰς τῶν πολιτῶν, αὐτοὺς μὲν περὶ τῶν ἀναγκαίων εἴθ' ἕξουσιν εἴτε μὴ, πρὸ τῶν δικαστηρίων κληρουμένους, &c. De hac sortitione suo loco. IDEM.

Πρὸς τὴν δραχμὴν] Drachma, τὸ συνηγορικὸν, h. e. pretium oratori solutum, quoties vel in privata causa, vel in publica adesset. Triobolum τὸ δικανικὸν, s. merces judicis. Vid. Spanhem. ad Aristoph. Plut. v. 329. GESN.

Μαραθῶνι] Tum alias, tum nusquam fortius, quam eo loco, quem etiam Longinus laudat §. 16. nempe de Corona c. 60. IDEM.

Οὐ πρίασθαι δ' οὐ μᾶλλον] Repetita negatio vehementius negat. WOLF.

Ἀριστείδην ἐκεῖνον] Vide Plutarchum in vita Aristidis. IDEM.

[37] Ἀποστόλους] I. e. *duces classis.* GUYET.

Ὃ γὰρ Ἀθηναίοις, &c. τούτοις νῦν ὁ Δημοσθένης ἐφάμιλλος] Ἀνακόλουθον. Ratio Grammatica postulabat, τοῦτο τοῖς νῦν ὁ Δημοσθένης. Sed hujusmodi καινοτομίαις sæpe et Latini et Græci scriptores sibi indulgent. WOLF. τοῦτο τοῖς νῦν οὖσι γίνεται ὁ Δημοσθένης, καὶ marg. Lutet.

Τούτοις] Perspicuum est, legendum τοῦτο. *Quod priscis Atheniensibus Themistocles et Pericles fuit, id nunc est Demosthenes, par Themistocli quidem prudentia, Pericli autem animo.* Idque recte consideravit interpres. IENS.

Αὐτοῖς ἀκούειν] Malim, αὐτῶν. WOLF.

Χάρητα μὲν] Hujus meminit argumentum orationis Isocraticæ de pace. Proxenus aditu Thermopylarum exclusit Philippum, ut in Orat. περὶ παραπρεσβείας Demosthenes asserit. IDEM.

Ὀκνῶ μὴ περὶ τῆς Μακεδονίας] Nihil est quod verearis, Philippe. Nam Demostheni, ut et Dranci Virgiliano, Mavors ventosa in lingua pedibusque fugacibus istis Semper erit.—Non statim bonus imperator erit, qui bonus orator fuerit. Nec id de se quoque Cicero dissimulat, cum Homericos versus Jovis Venerem castigantis, ad se detorquet: [Il. E. 428.]

Οὔ τοι, τέκνον ἐμὸν, δέδοται πολεμήϊα ἔργα·
Ἀλλὰ σύ γ' ἱμερόεντα μετέρχεο ἔργα γάμοιο.

Etsi enim rem in Cilicia non pessime gesserat: tamen Parthorum incursionem pertimescebat: et Marcum Antonium hostem quidem judicavit, sed non profligavit. Et quid, si Virgilio Drances est Cicero? M. Antonius, Turnus? IDEM.

Περὶ τῆς Μακεδ.] An, *de Macedonia ipsa rationem a me exegisset.* GUYET.

τῆς Μακεδονίας ἂν κατέστησέ μοι τὸν λόγον, ὃς καὶ νῦν ἀπὸ ψηφισμάτων ἀνταγωνιζόμενος ἡμῖν, πανταχοῦ συμπεριτρέχει, καταλαμβάνει, πόρους εὑρίσκει, δύναμιν συλλέγει, † † † [ὁ δὲ] ἐπιμήκεις στόλους ἀποπέμπει, συντάττει δυνάμεις, ἀντιμεθίσταται. [38] Τοιαῦτα καὶ τότε καὶ πολλάκις πρός με Φίλιππος περὶ τἀνδρὸς ἔλεγεν, ἓν τῶν παρὰ τῆς τύχης χρηστῶν τιθέμενος, τὸ μὴ στρατηγεῖν τὸν Δημοσθένην· οὗ γε καὶ τοὺς λόγους, ὥσπερ κριοὺς ἢ καταπέλτας, Ἀθήνηθεν ὡρμωμένους, διασείειν [1]αὐτοῦ καὶ καταράττειν τὰ βουλεύματα. περὶ μὲν γὰρ Χαιρωνείας οὐδὲ μετὰ τὴν νίκην ἐπαύετο πρὸς ἡμᾶς λέγων, εἰς ὅσον ἄνθρωπος ἡμᾶς κινδύνου κατέστησε. [2]καὶ γὰρ εἰ παρ' ἐλπίδα, καὶ κακίᾳ στρατηγῶν, καὶ στρατιωτῶν ἀταξίᾳ, καὶ τῇ παραδόξῳ ῥοπῇ τῆς τύχης, τῇ πολλὰ πολλάκις ἡμῖν συνειργασμένῃ, κεκρατήκαμεν, ἀλλ' ἐπὶ μιᾶς γε ταύτης ἡμέρας, τὸν περὶ τῆς ἀρχῆς καὶ τῆς ψυχῆς κίνδυνον ἐπέστησέ μοι, τὰς ἀρίστας πόλεις εἰς ἓν συναγαγὼν, καὶ πᾶσαν τὴν Ἑλληνικὴν δύναμιν ἀθροίσας, Ἀθηναίους ἅμα καὶ Θηβαίους, Βοιωτούς τε τοὺς ἄλλους, καὶ Κορινθίους, Εὐβοέας τε καὶ Μεγαρέας, καὶ τὰ κράτιστα τῆς Ἑλλάδος διακινδυνεύειν καταναγκάσας, καὶ μηδ' εἴσω με τῆς Ἀττικῆς ἐπιτρέψας παρελθεῖν. [39] Τοιοῦτοί τινες ἦσαν αὐτῷ συνεχεῖς περὶ Δημοσθένους οἱ λόγοι. καὶ πρός γε τοὺς λέγοντας, ὡς μέγαν ἔχοι τὸν Ἀθηναίων δῆμον ἀνταγωνιστὴν, Ἐμοὶ Δημοσθένης μόνος, εἶπεν, ἀνταγωνιστής· Ἀθηναῖοι δὲ, Δημοσθένην οὐκ ἔχοντες, Αἰνιᾶνές

[1] αὑτοῦ [2] μὴ γὰρ

Δύναμιν συλλέγει, ἐπιμήκεις στόλους] Sentisne, lector, hæc olim miserum in modum distracta, ita jam commissa inter se et tam firma compage cohærere, ut divelli nullo modo possint? Si hæc non est certa emendatio, ilicet de tota arte actum est: exsequias eamus criticis. GESN.

Ἀντιμεθίσταται] Ἀνθίστασθαι est *resistere*: μεθίστασθαι *transire*, ἀντιμεθίστασθαι, est et *resistere hosti, et quocumque se converterit, consectari eundem, nec dare spatium præripiendi quicquam*. WOLF.

[38] Χαιρωνείας] Post prœlium ad Chæroneam, quo Atheniensium, quin Græciæ liberæ, opes prostratæ sunt, Philippus initio quidem se gessit insolentius; post autem, periculo licet defunctus, ἔφριττε τὴν δεινότητα καὶ τὴν δύναμιν τοῦ ῥήτορος, ἐν μέρει μικρῷ μιᾶς ἡμέρας τὸν ὑπὲρ ἡγεμονίας καὶ τοῦ σώματος ἀναῤῥῖψαι κίνδυνον ἀναγκασθεὶς ὑπ' αὐτοῦ. Plut. in vit. Dem. GESN.

Μὴ γὰρ εἰ παρ' ἐλπίδα] Fortasse, καὶ γὰρ, nisi ἐμφατικὴ sit ἔλλειψις, ut intelligatur, propterea contemnendus non fuerit Demosthenes, προκαταληπτικῶς certe hæc dicuntur, sumpta ex Epitaphio, qui inter Demosthenicas orationes habetur. WOLF.

[39] Αἰνιᾶνές εἰσι] Epiri populi, quos vel vinci, vel decipi facile innuit. IDEM.

εἰσι, καὶ Θετταλοί. καὶ πρέσβεις ὁπότε πρὸς τὰς πόλεις πέμποι, τῶν μὲν ἄλλων ῥητόρων εἴ τινας ἡ τῶν Ἀθηναίων πόλις ἀνταποστέλλοι, τῇ πρεσβείᾳ ῥᾶστα ἦν κεκρατηκώς, τοῦ Δημοσθένους δ' ἐπιστάντος, Μάτην, εἶπεν, ἂν ἐπρεσβεύσαμεν. [40] Οὐ γάρ ἐστι κατὰ τῶν Δημοσθένους λόγων ἐγεῖραι τρόπαιον. ταῦτα ὁ Φίλιππος. καὶ μέντοι καὶ πάντως ἔλαττον ἂν ἔχοντες, εἰ λάβοιμεν τοιοῦτον ἄνδρα, πρὸς Διὸς, Ἀρχία, τί ποτε νομίζεις; βοῦν ἂν ἐπὶ σφαγὴν ἤγομεν, ἢ πολὺ μᾶλλον ἂν σύμβουλον περὶ τῶν Ἑλληνικῶν πραγμάτων, καὶ τῆς ἀρχῆς πάσης ἐποιούμεθα; φύσει μὲν γὰρ αὐτῷ, καὶ κατ' ἀρχὰς προσεπεπόνθειν ἐξ αὐτῶν τῶν πολιτευμάτων, ἔτι δὲ μᾶλλον Ἀριστοτέλει μάρτυρι. πρός τ' οὖν τὸν Ἀλέξανδρον καὶ πρὸς ἡμᾶς γε [1] ἄγων, οὐδὲν ἐπαύετο· τοσούτων ὄντων αὐτῷ τῶν προσπεφοιτηκότων, μηδένα οὕτω πώποτε θαυμάσαι μεγέθους τε φύσεως, καὶ τῆς περὶ τὴν ἄσκησιν ἐγκρατείας, καὶ βάρους, καὶ τάχους, καὶ παῤῥησίας, καὶ καρτερίας. [41] Ὑμεῖς δὲ, ἔφη, διανοεῖσθε ὡς ὑπὲρ Εὐβούλου καὶ Φρύνωνος καὶ Φιλοκράτους, καὶ πειρᾶσθε δώροις καὶ τοῦτον ἀναπείθειν ἄνθρωπον, καὶ τὴν πατρῴαν οὐσίαν εἰς Ἀθηναίους, ἰδίᾳ τε τοῖς δεηθεῖσι,

[1] λέγων

Τοῦ Δημοσθένους δ' ἐπιστάντος] Ὑποθετικῶς accipiendum esse, arguit quod sequitur, *μάτην ἂν ἐπρεσβεύσαμεν. At si Demosthenes affuisset, frustra legatos misissemus.* Idem.

[40] Καὶ πάντως ἔλαττον ἂν ἔχοντες] Locus videtur plane mutilus et corruptus: *quanquam omnino minus habituri*, id est, tametsi ejus interfectio fraudi nobis futura esset. Non tamen affirmarim hanc esse horum verborum sententiam. Idem.

Ἔτι δὲ μᾶλλον Ἀριστοτέλει μάρτυρι] Verbum προσεπεπόνθειν, ad Aristotelem non puto referendum. fortasse legendum ἐπ' Ἀριστοτέλει μάρτυρι: *Propter Aristotelis testimonium.* utcunque legeris, dura erit constructio. Idem.

Πρὸς γοῦν τὸν Ἀλεξ.] Sic omnino legendum, cum αἰτιολογικὴν particulam series orationis postulet. Et quam facile est Γ in Τ mutari? Gesn. Ita quoque marg. Lutet. et paulo ante πρὸς αὐτὸν pro αὐτῷ, et paulo post λέγων οὐδέποτ' pro γε ἄγων, οὐδέν. λέγων *Fl.* et *Venet.*

Τῶν προσπεφοιτηκότων] *Qui ipso*, id est, Aristotele, *magistro usi erant, se neminem unquam sic esse admiratum.* Aristoteles et Demosthenes æquales fuisse scribuntur, et uterque, Athenis exulans, alter in Calauria, alter in Eubœa eodem anno decessisse. Ac condiscipulos fuisse, Platonis discipulos, facile admitto, καὶ συμπεφοιτηκέναι μᾶλλον αὐτῷ ἢ προσπεφοιτηκέναι. Wolf.

Τῆς περὶ τὴν ἄσκησιν ἐγκρατείας] *Ob continentiam in exercitatione*, ac potius *tolerantiam.* videtur enim ἐγκράτειαν ἀντὶ καρτερίας usurpasse, aut τὴν ἄσκησιν καὶ τὴν ἐγκράτειαν conjunxisse. Nam homini vere studioso et tolerantia laborum et continentia libidinum vehementer est opus. Idem.

[41] Διανοεῖσθε] Marg. Lutet. διενοεῖσθε, ἐπειρᾶσθε, ᾤεσθε, et ἠγανακτεῖτε; et paulo post διὰ τοιαῦτα pro τὰ τοιαῦτα v. 7. pag. seq. et καί τοι pro καί τι v. 12.

Ὡς ὑπὲρ Εὐβούλου] Hi satis noti erunt lecto Demosthene, quem qui pellegere gravatus fuerit, multo minus pueriles has annotationes legere dignabitur: quæ quidem nemini multum proderunt, nisi cum ipso auctore collatæ: cujus germana sententia

καὶ δημοσίᾳ τῇ πόλει, κατηναλωκότα· διαμαρτάνοντες δὲ φοβήσειν οἴεσθε, πάλαι βεβουλευμένον τὴν ψυχὴν ὑποθεῖναι ταῖς τῆς πατρίδος ἀδήλοις τύχαις· καὶ καθαπτομένου τῶν πραττομένων ὑμῖν, ἀγανακτεῖτε; ὅδ' οὐδὲ τὸν Ἀθηναίων δῆμον ὑποστέλλεται. λέληθεν ὑμᾶς, ἔφη, τῇ μὲν τῆς πατρίδος εὐνοίᾳ πολιτευόμενος, αὐτῷ δὲ τὴν πολιτείαν γυμνάσιον φιλοσοφίας προθέμενος. [42] Τὰ τοιαῦτα, ὦ Ἀρχία, ὑπερεπεθύμουν αὐτῷ συγγενόμενος, τήν τε γνώμην, ἣν ἔχει περὶ τῶν παρόντων, ἀκοῦσαι λέγοντος, καὶ τῶν ἀεὶ παραπεπτωκότων ἡμῖν κολάκων, εἰ ἐδεόμην, ἀποστὰς, ἁπλοῦ τινὸς ἐξ ἐλευθέρας γνώμης ἀκοῦσαι λόγου, καὶ φιλαλήθους συμβουλῆς μεταλαβεῖν· καί τι καὶ νουθετῆσαι δίκαιον, ὑπὲρ οἵων ὄντων Ἀθηναίων τὴν ἀχαριστίαν, πάντα παραβάλοιτο τὸν αὑτοῦ βίον, ἐξὸν εὐγνωμονεστέροις καὶ βεβαιοτέροις κεχρῆσθαι φίλοις. ΑΡΧ. Ὦ βασιλεῦ, τῶν μὲν ἄλλων ἴσως ἂν ἔτυχες, ταυτὶ δὲ μάτην ἂν ἔλεγες, οὕτω μανικῶς φιλαθήναιος ἦν. ΑΝΤ. Ταῦτα, ὦ Ἀρχία· τί γὰρ ἂν [1] καὶ λέγοιμεν; ἀλλὰ πῶς ἀπέθανεν; [43] ΑΡΧ. Ἔοικας ἔτι μᾶλλον, ὦ βασιλεῦ, θαυμάσειν, καὶ γὰρ ἡμεῖς οἱ τεθεαμένοι διεφέρομεν οὐδὲν ἐκπλήξει τε καὶ ἀπιστίᾳ τῶν ὁρώντων. ἔοικε γὰρ δὴ πάλαι ὢν ὧδε βεβουλευμένος περὶ τῆς ὑστάτης ἡμέρας· δηλοῖ δὲ ἡ παρασκευή. καθῆστο μὲν γὰρ ἔνδον ἐν τῷ νεῷ· μάτην δὲ τῶν πρόσθεν ἡμερῶν λόγους ἦμεν ἀναλωκότες. ΑΝΤ. Τίνες γὰρ ἦσαν οἱ παρ' ὑμῶν λόγοι; ΑΡΧ. Πολλὰ καὶ φιλάνθρωπα προὐτεινόμην, ἔλεόν τινα παρὰ σοῦ καθυπισχνούμενος, οὐ μάλα μὲν προσδοκῶν· οὐ

[1] Deest καί.

ut intelligeretur, conscriptæ sunt. Wolf. Vid. Dem. Mid. et περὶ παραπρεσβ.

[42] Ἀλλὰ πῶς ἀπέθανεν] Mira oratio. An illi, qui viderunt, non aliter ac qui viderent, obstupuerunt? Quæ hæc dicendi ratio? Suspicor ὁρώντων corruptum ex ἀκροώντων. *Ita scilicet stupenda est maximi hujus viri mors, ut etiam nos, qui vidimus eam, non minus stupuerimus, et ipsis nostrum oculis diffisi fuerimus, ac illi, qui audiunt, percelluntur, ac relationi fidem non habent.* An potius unius literulæ mutatione defungentes, legimus διαφέρομεν; *Et nos, qui vidimus hanc mortem, stupore et* ἀπιστίᾳ *ne nunc quidem minus correpti sumus, quam ubi eam conspiciebamus.* Studiosus lector arbitretur. Nam vulgatum stare posse, non puto cuipiam fore persuasum. Iens. F. legendum τῶν μὴ ὁρώντων L. Bos. διαφέρομεν marg. Lutet. habet, et paulo supra ante ταῦτα supplet ἐστί.

[43] Τῶν ὁρώντων] Fortasse, τῶν οὐχ ὁρώντων, *ab iis qui nihil vident*, id est, videntibus oculis cæci eramus. Wolf. Ita marg. Lutet.

Καθῆστο] Ut supplex: de quo genere hoc verbum velut solemne est. Vid. v. g. Thucyd. I. 24. et 136. Cui ἀνάστασις opponitur, ibid. 133. Demosthenem autem salutis servandæ causa huc confugisse, satis ultima illius verba, quæ mox referentur, indicant. Gesn.

γὰρ ἠπιστάμην, ἀλλὰ σὲ ᾤμην δι' ὀργῆς ἔχειν τὸν ἄνθρωπον, χρήσιμον δ' οὖν πρὸς τὸ πείθειν νομίζων. ΑΝΤ. Ὁ δὲ πῶς προσίετο τοὺς λόγους; καί με μηδὲν ἀποκρύψῃ· μάλιστα μὲν γὰρ αὐτήκοος ἂν ἐβουλόμην παρὼν [1] εἶναι. νῦν δ' ἀλλὰ σύ γε μὴ παραλίπῃς μηδέν· οὐ γάρ τοι σμικρὸν ἔργον, ἦθος ἀνδρὸς γενναίου πρὸς αὐτῷ τῷ τέλει τοῦ βίου καταμαθεῖν, πότερον ἄτονος καὶ νωθρὸς ἦν, ἢ παντάπασιν ἀκλινὲς τὸ τῆς ψυχῆς ὄρθιον ἐφύλαττεν. [44] ΑΡΧ. Οὐδὲν ὑπέστελλεν ἐκεῖνός γε. πῶς γάρ; ὃς ἡδὺ γελάσας, κἀμὲ δὴ σκώπτων ἐς τὸν πρότερον βίον, Ἀπίθανον, ἔφη, με ὑποκριτὴν εἶναι τῶν σῶν ψευσμάτων. ΑΝΤ. Ἀπιστήσας ἄρα τοῖς ἐπαγγέλμασι, προεῖτο τὴν ψυχήν; ΑΡΧ. Οὔκ· εἴγε τῶν λοιπῶν ἀκούσαις, οὐ δόξει σοι μόνον ἀπιστεῖν, ἀλλ' ἐπεὶ κελεύεις, ὦ βασιλεῦ, λέγειν, Μακεδόσι μὲν, εἶπεν, οὐδὲν ἀπώμοτον, οὐδὲ παράδοξον, εἰ Δημοσθένην οὕτω λαμβάνουσιν, ὡς Ἀμφίπολιν, ὡς Ὄλυνθον, ὡς Ὠρωπόν. τοιαῦτα πολλὰ ἔλεγε· καὶ γὰρ οὖν ὑπογραφέας παρεστησάμην, ἵνα σοι τὰ λεχθέντα σώζοιτο. Ἐγὼ μέντοι, ἔφη, ὦ Ἀρχία, βασάνων ἢ θανάτου φόβῳ κατ' ὄψιν οὐκ ἂν Ἀντιπάτρῳ γενοίμην. ἀλλ' εἰ ταῦτ' ἀληθεύετε, πολύ μοι μᾶλλον ἔτι φυλακτέον, μὴ τὴν ψυχὴν αὐτὴν παρ' Ἀντιπάτρου δεδωροδοκηκέναι, μηδ' ἣν ἐμαυτὸν ἔταξα, τάξιν λιπὼν τὴν Ἑλληνικὴν, εἰς τὴν Μακεδονικὴν μεταβαλέσθαι. [45] Καλὸν γὰρ, ὦ Ἀρχία, εἰ τὸ ζῆν ἐμοὶ Πειραιεὺς αὐτὸς παρέχοι, καὶ τριήρης, ἣν ἐπιδέδωκα, καὶ τεῖχος καὶ τάφρος τοῖς ἐμοῖς τέλεσιν ἐξειργασμένα, καὶ φυλὴ Πανδιωνὶς, εἰς ἣν ἐθελοντὴς ἐχορήγουν ἐγὼ, καὶ Σόλων, καὶ Δράκων, καὶ

[1] εἶναι νῦν. ἀλλὰ

[44] Ἐς τὸν πρότερον βίον] Histrioniam fecisse Archiam, multi auctores sunt: qua de re consule Plut. in vit. Dem. et ipsum Dem. SOLAN.

Προεῖτο τὴν ψυχὴν] Ὑπερσυντέλικος, a verbo προίεμαι προϊέμην, προεῖμαι, προείμην, προεῖσο, προεῖτο. Fortasse, προεῖτο κατὰ μετάθεσιν ἀντὶ τοῦ προΐετο. *Missam faciebat*, aut, *abjiciebat animam*, hoc est, vel consciscebat sibi necem, vel despondebat animum. WOLF.

Ἀπώμοτον] Ad h. v. marg. Lutet. τοῦτ' ἔστιν, ὅ τις εὐορκεῖν μέλλων, ὀμόσαι θαῤῥεῖν, μήποτε γενησόμενον.

Ὑπογραφέας] Qui apud Demosthenem ὑπογραμματεῖς appellantur. WOLF.

Αὐτὴν παρ'] Τὸ δόξω hic desiderari videtur, μὴ τὴν ψυχὴν αὐτὴν δόξω παρ' Ἀντιπάτρου δεδωροδοκηκέναι. GUYET.

Μηδ' ἣν] Ante ἣν excidisse præp. εἰς suspicatur Ienius, invitis Solano et Reitzio, qui vid.

[45] Τοῖς ἐμοῖς τέλεσιν] Hoc est, δαπάναις. WOLF.

Ἐχορήγουν] Χορηγὸς, id est, *prabitor*, fuerat Demosthenes Liberalibus, scil. Διονυσίοις ἐν ἄστει. Quo in munere quomodo se gesserit, apparet ex argumento et nar-

παῤῥησία βήματος, καὶ δῆμος ἐλεύθερος, καὶ ψηφίσματα στρατιωτικὰ, καὶ νόμοι τριηραρχικοὶ, καὶ προγόνων ἀρεταὶ, καὶ τρόπαια, καὶ πολιτῶν εὔνοια, τῶν ἐμὲ πολλάκις ἐστεφανωκότων, καὶ δύναμις Ἑλλήνων, τῶν ὑπ' ἐμοῦ μέχρι νῦν τετηρημένων· εἰ δὲ καὶ βιωτὸν ἐλεηθέντι, ταπεινὸν μὲν, ἀνεκτὸς δ' οὖν ὁ ἔλεος παρὰ τοῖς οἰκείοις, ὧν ἐλυσάμην αἰχμαλώτους, ἢ τοῖς πατράσιν, ὧν συνεξέδωκα τὰς θυγατέρας, ἢ οἷς τοὺς ἐράνους συνδιελυσάμην. [46] Εἰ δέ με μὴ σώζοι νήσων ἀρχὴ καὶ θάλαττα, παρά γε τουτουῒ Ποσειδῶνος αἰτῶ τὸ σώζεσθαι, καὶ τοῦδε τοῦ βωμοῦ, καὶ τῶν ἱερῶν νόμων. εἰ δὲ Ποσειδῶν, ἔφη, μὴ δύναται φυλάττειν τὴν ἀσυλίαν τοῦ νεὼ, μηδ' ἐπαισχύνεται προδοῦναι Δημοσθένην Ἀρχίᾳ, τεθναίην, οὐδὲ Ἀντίπατρος ἡμῖν ἀντὶ τοῦ θεοῦ κολακευτέος. ἐξῆν μοι φιλτέρους ἔχειν Ἀθηναίων Μακεδόνας, καὶ νῦν μετέχειν τῆς ὑμετέρας τύχης, εἰ μετὰ Καλλιμέδοντος καὶ Πυθέου καὶ Δημάδου συνεταττόμην. ἐξῆν γὰρ κἂν ὀψὲ τῆς ψυχῆς μεθαρμόσασθαι, εἰ μὴ

ratione orationis Midianæ. Gesn.

Πολλάκις ἐστεφανωκότων] Vid. Dem. Orat. de Coron. §. 64. inprimis §. 78. Idem.

Ἐλυσάμην αἰχμαλώτους] Nobile hujus magnificentiæ exemplum probet argumentum orationis *de falsa legatione:* cum ea inprimis causa legationem Macedonicam a se testetur susceptam, uti captivos, quibus id promiserat, liberare posset. Idem.

Οἷς τοὺς ἐράνους συνδιελυσάμην] Ἔρανον Suidas interpretatur, τὴν ἐκ κοινοῦ ἑστίασιν, ut apud Terentium [Eun. 3. 4. 2.] *de symbolis esse.* Item, ἐντολὴν, εἰσφορὰν, συλλογήν. Videtur igitur, τὸ συνδιαλύσασθαι τοὺς ἐράνους, si qui pauperiores tributa pendere non possent, Demosthenes de suo aliquid illis suppeditasse, aut alioqui ad sublevandam illorum inopiam aliquid contulisse. Vide Midianæ scholia. Wolf.

Ἢ οἷς τοὺς ἐράνους συνδιελυσάμην] Phil. Melanchthon verterat: *aut quibus donavi pecunias.* Benedictus vero: *aut quos dandis contributionibus juvi.* Sed vereor ut recte, ait Iac. du Port in prælectt. ad Theophr. Charact. p. 192. ed. Cant. Vult enim ibi Demosthenes, se eos adjuvisse in dissolvendis debitis *erani* nomine, quem collegerant, contractis. Ἐράνους συνδιαλύεσθαι, concise et eleganter dictum, pro *debita dissolvere erani nomine conflata.* Vertendum igitur esset: *Quorum ego dissolvi debita, erani nomine, quem ab amicis collegerant, contracta.* Tantæ molis est alicubi Græca Latinis exprimere; adeo Græcanicam volubilitatem Romana linguâ sequitur non passibus æquis. Contra apud Romanos ἔρανον nunquam fuisse restituendum, docet ibid. p. seq. velut p. 191. tradiderat, ἔρανον fuisse genus mutui gratuiti, apud Græcos frequentati. Ubi enim quis ære alieno premeretur, aut etiam alias in inopiam incidisset, nec haberet, unde viveret, ad amicos erat paratum refugium, qui, quod poterant, unusquisque ἀνδρακὰς *pro sua virili* conferebant. Aliaque *de eranis* vid. ibid. Sed et cœnam collatis symbolis fuisse ἔρανον, satis notum est. Vid. Casaub. Theophr. Char. περὶ αὐθαδ. c. 15. ad v. καὶ φίλῳ δὲ ἔρανον κ. τ. λ. Item Feith. Antiq. Homer. III. c. 4. Longol. ac Buchner. ad Plin. X. ep. 93. qui Livium æque ac Plin. etiam Latine *eranum* dixisse indicant. Reitz.

[46] Μετὰ Καλλιμέδοντος] De hoc nihil me legere memini, nisi quod Plutarchus Pytheæ et Callimedontis Carabi meminit, qui Athenis exularint: cæteri satis noti sunt. Wolf.

Ἐξῆν γὰρ ὀψὲ τῆς ψυχῆς μεθαρμόσασθαι] Si ὀψὲ τῆς ψυχῆς dicitur, ut ὀψὲ τοῦ χρόνου, durum videtur, sed tum μεθαρμόσασθαι, absolute, *mutare consilium, et vitæ institutum.* Quid si μεθαρμόσασθαι τὴν ψυχήν; Idem. τὴν ψυχὴν marg. Lutet.

Τῆς ψυχῆς μεθαρμόσασθαι] Corrige τὴν ψυχήν. Guyet. An τῆς ζωῆς; ut jungatur

τὰς Ἐρεχθέως θυγατέρας καὶ τὸν Κόδρον ἐπῃσχυνόμην. οὔκουν ἡρούμην αὐτομολοῦντι τῷ δαίμονι συμμεταβάλλεσθαι. καλὸν γὰρ κρησφύγετον [1] θάνατον ἐν ἀκινδύνῳ παντὸς αἰσχροῦ γενέσθαι. καὶ νῦν, Ἀρχία, τὸ κατ' ἐμαυτὸν οὐ καταισχυνῶ τὰς Ἀθήνας ἑκὼν δουλείαν ἑλόμενος, ἐντάφιον δὲ τὸ κάλλιστον τὴν ἐλευθερίαν προέμενος. [47] Ἀλλὰ, δίκαιον γὰρ, ἔφη, σοι τῶν τραγῳδιῶν μνημονεύειν, οὐ σεμνὸν τὸ λεχθὲν,—

—— ἡ δὲ, καὶ θνήσκουσ', ὅμως
Πολλὴν πρόνοιαν εἶχεν [2] εὐσχημόνως πεσεῖν·

καὶ ταῦτα [3] κόρη· Δημοσθένης δὲ εὐσχήμονος θανάτου βίον προκρινεῖ ἀσχήμονα, τῶν Ξενοκράτους καὶ Πλάτωνος ὑπὲρ ἀθανασίας λόγων ἐκλαθόμενος; καί τινα πικρότερον ἔλεγε, προαχθεὶς εἰς τοὺς ταῖς τύχαις ἐξυβρίζοντας. ἀλλὰ τί δεῖ λέγειν νῦν ἐμέ; τέλος δ' ἐμοῦ τὰ μὲν δεομένου, τὰ δ' ἀπειλοῦντος, ἁπαλὴν μοῦσαν στεῤῥᾷ κεραννύντος, Ἐπείσθην ἂν, ἔφη, τούτοις, Ἀρχίας ὢν, ἐπεὶ δὲ Δημοσθένης εἰμὶ, συγγίγνωσκέ μοι, ὦ δαιμόνιε, μὴ πεφυκότι κακῷ γενέσθαι. [48] Τότε δὴ τότε πρὸς βίαν αὐτὸν ἀποσπᾷν διενοούμην· [4] ὁ δ',

[1] θάνατος [2] εὐσχήμως [3] κόρη καὶ ταῦτα [4] ὅδ'

ὀψὲ τῆς ζωῆς, i. e. *etiam sera ætate mores mutare*, quæ sententia et constructio melior: nam ut ψυχὴ alibi sæpe pro ζωῇ accipitur, ita hic non potest. Sed vide, anne vulgatæ structura sic defendi queat, ut media forma μεθαρμόσασθαι τῆς ψ. valeat μεθαρμόζειν ἑαυτὸν διὰ τῆς ψυχῆς. Etsi enim vulgo accusativum adsciscit μεθαρμόζεσθαι, ut Ælian. XIV. 7. ἐὰν μὴ τὸν βίον——τοῦ λοιποῦ μεθαρμόσηται· neque exempla mihi suppetunt, ubi genitivo jungatur; tamen non videtur repugnare analogiæ, si forte auctor cum genit. construxerit, quocum et alia ex μετὰ composita interdum construuntur, μεθίεσθαί τινος *dimittere aliquem*, vel μεταδιδόναι τούτου, ut Herodian. Item μεθίσταμαι, in Ev. Luc. XVI. 4. ὅταν μετασταθῶ τῆς οἰκονομίας. Nec non μεταποιεῖσθαι τῆς ξυνέσεως ap. Thucyd. I. 140. aut denique ut καταλλαχθῇ χόλου Sophocl. Aj. [v. 744.] teste Stephano. Sive regatur genitivus ratione præpos. quæ in composito inest, ut in ἀπαλλάττεσθαι νόσου, ἐπιβαίνειν ἅρματος, et similibus, solet: quod tamen in μεθαρμόζεσθαι nondum definio. Ideoque ψυχὴν, quod Gesnerus quoque adscripserat, præfero, donec certioribus exemplis de genitivo constet. REITZ.

Τὰς Ἐρεχθέως θυγατέρας] Vide orationem Lycurgi κατὰ Λεωκράτους. Codri historia vel ex Justino satis nota est. WOLF.

Ἐρεχθέως θυγατέρας] Vid. Hyg. Fab. 238. et Apollod. III p. 102. A. SOLAN.

Ἐντάφιον δὲ κάλλιστον τὴν ἐλευθερίαν] Isocrates Archidamo, ἐντάφιον κάλλιστον τὴν τυραννίδα ἢ βασιλείαν, appellat. WOLF.

[47] Ἡ δὲ καὶ θνήσκουσ'] De Iphigenia Aulidensi Euripidis versus. Legendum autem, ut est in Euripide, [Hec. v. 561.] εὐσχήμως, sive κατὰ συγκοπὴν ab εὐσχήμων, sive ab inusitato εὔσχημος. Sic etiam Julius Cæsar verecundiæ rationem habuisse scribitur in interitu, ut et Olympias Alexandri Magni mater. IDEM. εὐσχήμως marg. Lutet. et paulo ante τῷ τραγῳδῷ pro τῶν τραγῳδιῶν.

Θνήσκουσ'] De Polyxene. GUYET. Eurip. Hec. 568. de Polyxena mactata sermo est. SOLAN.

Ξενοκράτους] Diog. Laert. IV. 12. 13. memorat Xenocratis de Morte et de Anima libros, in quorum utroque de immortalitate animorum potuit disputare. GESN.

Ἀπαλὴν μοῦσαν στεῤῥᾷ κεραννύντος] Metaphora proverbium sapiens. WOLF.

Ἀρχίας ὢν] Imitatio dicti Alexandri Magni ad Parmenionem de conditionibus

ὡς ᾔσθετο, δῆλος ἦν καταγελῶν, καὶ τὸν θεὸν προσβλέψας, Ἔοικεν Ἀρχίας, εἶπεν, ὅπλα μόνα, καὶ τριήρεις, καὶ τείχη, καὶ στρατόπεδα, δυνάμεις εἶναι καὶ κρησφύγετα ταῖς ἀνθρωπίναις ψυχαῖς ὑπολαμβάνειν· τῆς δ' ἐμῆς παρασκευῆς καταφρονεῖν, ἣν οὐκ ἂν ἐλέγξειαν Ἰλλυριοὶ, καὶ Τριβαλλοὶ, καὶ Μακεδόνες, ὀχυρωτέραν ἢ ξύλινόν ποτε τεῖχος ἡμῖν, ὃ θεὸς ἀνεῖλεν ἀπόρθητον εἶναι· μεθ' ἧς ἂν τῆς προνοίας ἀδεῶς μὲν ἐπολιτευσάμην, ἀδεὲς δέ μοι τὸ κατὰ Μακεδόνων θάρσος, ἐμέλησε δ' οὐδὲν οὐκ Εὐκτήμονος, οὐκ Ἀριστογείτονος, οὐ Πυθέου, καὶ Καλλιμέδοντος, οὐ Φιλίππου τότε, οὐ τὰ νῦν Ἀρχίου. [49] Ταῦτ' εἰπὼν, μὴ προσάγαγέ μοι τὴν χεῖρα, ἔφη· τὸ κατ' ἐμὲ γὰρ οὐδὲν παράνομον ὁ νεὼς πείσεται· τὸν δὲ θεὸν προσειπὼν, ἑκὼν ἕψομαι. κἀγὼ μὲν ἦν ἐπὶ τῆς ἐλπίδος ταύτης, καὶ τὴν χεῖρα τῷ στόματι προσαγαγόντος, οὐδὲν [1] ἀλλ' ἢ προσκυνεῖν ὑπελάμβανον. ΑΝΤ. Τὸ δὲ τί δή ποτε ἦν; ΑΡΧ. Ὕστερον βασάνοις θεραπαίνης ἐφωράσαμεν, πάλαι φάρμακον αὐτῷ τεταμιεῦσθαι, λύσει ψυχῆς ἀπὸ σώματος ἐλευθερίαν κτώμενον. οὐ γὰρ οὖν ἔφθασεν ὑπερβὰς τὸν οὐδὸν τοῦ νεὼ, καὶ πρὸς ἐμὲ βλέψας, Ἄγε δὴ τοῦτον, ἔφη, πρὸς Ἀντίπατρον, Δημοσθένην δὲ οὐκ ἄξεις, οὐ μὰ τούς. . . . κἀμοὶ μὲν ἐφαίνετο προσθήσειν, τοὺς ἐν Μαραθῶνι πεπτωκότας. [50] Ὁ δὲ χαίρειν εἰπὼν ἀπέπτη. τοῦτό σοι τὸ τέλος, ὦ βασιλεῦ, τῆς Δημοσθένους πολιορκίας κομίζειν ἔχω. ΑΝΤ. Δημοσθένους γε καὶ ταῦτα, ὦ Ἀρχία. βαβαὶ τῆς ἀηττήτου ψυχῆς καὶ μακαρίας, ὡς ἀνδρεῖον μὲν αὐτοῦ τὸ λῆμα, πολιτικὴ δὲ πρόνοια, μετὰ χεῖρα τὸ πιστὸν τῆς ἐλευθερίας ἔχειν· ἀλλ'

[1] ἀλλ'

a Dario oblatis. WOLF. Q. Curt. IV. c. 11. §. 11.

Ἡ ξύλινόν ποτε τεῖχος] Alludit ad oraculum bello Xerxeo datum Atheniensibus, quod apud Herodotum extat in Polyhymnia, id est, lib. 7. [c. 142. 143.] WOLF.

Ἂν τῆς] Αὐτὸς τῆς marg. Lutet.

Εὐκτήμονος κ. τ. λ.] De Euctemone satis constat ex oratione contra Midiam. Aristogitonem oppugnavit Demosthenes duabus contra illum scriptis orationibus. Pytheas et Callimedon tum alias ex Plutarcho noti, tum conjunguntur in vit. Dem. §. κζ'. Cf. ipse Demosth. ep. 2. GESN.

[49] Φάρμακον] Caute Noster loquitur. Quantus enim dissensus inter auctores de hoc veneno olim fuerit, satis indicavit Plutarchus in vita. GESN. Vid. Plut. vit. Dem. §. λ'.

Τοὺς ἐν Μαραθῶνι πεπτωκότας] Clarum hoc Demosthenis jusjurandum, quod et apud ipsum v. pro Coron. §. 60. et apud Longinum, ὕψος, quod ei inest, rite enarrantem. SOLAN.

Πολιτικὴ] Ad h. v. marg. Lutet. τοῦτ' ἔστι, αὕτη πρόνοια πολιτικῇ ἐπιστήμῃ προσήκουσα, ἡ ἀγαθοῦ πολίτου ἀξία, τὴν τῆς ἐλευθερίας ἀσφάλειαν, καὶ βεβαιότητα ταῖς

ὁ μὲν οἴχεται, βίον ἕξων τὸν ἐν Μακάρων νήσοις ἡρώων λεγόμενον, ἢ τὰς εἰς οὐρανὸν ψυχῶν νομιζομένας ὁδοὺς, ὀπαδός τις δαίμων ἐσόμενος Ἐλευθερίου Διός· τὸ σῶμα δ' ἡμεῖς εἰς Ἀθήνας ἀποπέμψομεν, κάλλιον ἀνάθημα τῇ γῇ τῶν ἐν Μαραθῶνι πεπτωκότων.

χερσὶ κατέχειν: et paulo post χεῖρας pro χεῖρα.

Ἐν Μακάρων νήσοις] Vide Chiliades Erasmi. Wolf.

Ἢ τὰς εἰς οὐρανὸν ψυχῶν] Alludit ad Philebum Platonis. Idem.

Ὀπαδός τις δαίμων] Vid. Herodian. I. in Commodi oratione, ὁ μὲν γὰρ πατὴρ εἰς οὐρανὸν ἀναπτὰς ὀπαδὸς ἤδη καὶ συνεδρός ἐστι Θεῶν. Περ. c. 29. Solan.

Ἐλευθερίου Διὸς] Propter libertatis utique amorem. Wolf.

Ἐλευθερίου Διὸς] Qui colebatur præter cæteros apud Platæenses, post liberatam prœlio ibi facto Græciam. Auctor Pausan. Bœot. p. 283. 33. Gesn.

ΠΕΡΙ ΤΟΥ ΑΥΤΟΥ ΕΚ ΔΙΟΝΥΣΙΟΥ

ΤΟΥ ΑΛΙΚΑΡΝΑΣΣΕΩΣ.

ΔΙΟΝΥΣΙΟΣ ΑΜΜΑΙΩΙ ΤΩΙ ΦΙΛΤΑΤΩΙ ΠΛΕΙΣΤΑ ΧΑΙΡΕΙΝ.

ά. ΠΟΛΛΩ͂Ν μετ᾽ ἄλλων ξένων τε καὶ παραδόξων ἀκουσμάτων, ὧν ἐνήνοχεν ὁ καθ᾽ ἡμᾶς χρόνος, ἕν τι καὶ τοῦτο ἐφάνη μοι πρώτως ἀκούσαντι παρά σου, ὅτι τῶν φιλοσόφων τις τῶν ἐκ τοῦ Περιπάτου, πάντα χαρίζεσθαι βουλόμενος Ἀριστοτέλει τῷ κτίσαντι ταύτην τὴν φιλοσοφίαν, καὶ τοῦτο ὑπέσχετο ποιήσειν φανερὸν, ὅτι Δημοσθένης τὰς ῥητορικὰς τέχνας παρ᾽ ἐκείνου μαθὼν, εἰς τοὺς ἰδίους μετήνεγκε λόγους, καὶ κατ᾽ ἐκεῖνα κοσμούμενος τὰ παραγγέλματα, πάντων ἐγένετο τῶν ῥητόρων κράτιστος. κατ᾽ ἀρχὰς μὲν οὖν ὑπελάμβανον τῶν πολλῶν τινὰ εἶναι τὸν ταῦτ᾽ ἐπιχειρήσαντα λέγειν, καὶ παρῄνουν σοι μὴ πᾶσι τοῖς παραδόξοις προσέχειν. ὡς δὲ καὶ τοὔνομα τοῦ ἀνδρὸς ἐπυθόμην, ὃν ἐγὼ καὶ τῶν ἠθῶν ἕνεκα καὶ τῶν λοιπῶν ἀποδέχομαι, ἐθαύμασα, καὶ πολὺς ἐν ἐμαυτῷ γενόμενος, ἐπιμελεστέρας ᾤμην δεῖσθαι σκέψεως τὸ πρᾶγμα, μή ποτε λέληθέ με τἀληθὲς οὕτως ἔχον, καὶ οὐδὲν εἰκῇ τῷ ἀνδρὶ εἴρηται· ἵνα ἢ [1] τὴν δόξαν, ἣν πρότερον αὐτὸς ἔσχον,

[1] Desunt hic v. τὴν δόξαν, ἣν πρότερον αὐτὸς ἔσχον, βεβαιωθῶ,

ά. Μετ᾽] In margine *Cod. Reg.* μὲν ἄλλων. Huds.

Ἐκεῖνα] Wolfii margo pro ἐκεῖνα habet ἐκείνου, itidemque versio ejusdem: *secundum illius præcepta.* Sylb.

Τῶν ἠθῶν] Aut τῶν ἐθῶν, aut τοῦ ἤθους. Reisk.

Ἵνα ἢ κ. τ. λ.] In *Stephani* editione [et *Cod. Reg.*] sic legitur hic locus: ἵνα ἢ τὴν δόξαν, ἣν πρότερον αὐτὸς ἔσχον, βεβαιωθῶ, μαθὼν, ὅτι προτεροῦσι τῶν Δημοσθένους λόγων αἱ Ἀριστοτέλους τέχναι, ἢ τὸν οὕτως ἐγνωκ. quam lectionem et ipse adnotavit minime ad confirmandam *Dionysii* sententiam facere, cum is totus in hoc sit, ut ostendat, antecessisse *Demosthenis* orationes. quod si ita legas: μαθὼν, ὅτι οὐ προτεροῦσι, adjecta negatione, non habere locum particulam, quam grammatici disjunctivam appellant, quæ in altera parte sequitur: quare sibi verbum βεβαιωθῶ suspectum esse; sensum omnino hunc videri esse: *Ut ipse, si compertum habuero, Aristotelis artes Rhetoricas priores esse tempore Demosthenicis Orationibus, de sententia mea deducar: sin minus, eum, qui hoc sibi persuasit, mutare cogam sententiam.* Hæc de isto loco *Steph.* ego eam lectionem,

βεβαιωθῶ, μαθὼν ὅτι προτεροῦσι τῶν Δημοσθένους λόγων αἱ Ἀριστοτέλους [1] τέχναι· ἢ τὸν οὕτως ἐγνωκότα καὶ γράψαι γε παρεσκευασμένον, πρὶν εἰς ὄχλον ἐκδοῦναι τὸ σύνταγμα, μεταβαλεῖν πείσαιμι τὴν δόξαν.

β'. Οὐκ ἐλαχίστην δέ μοι καὶ σὺ παρέσχου ῥοπὴν εἰς τὸ μὴ παρέργως ἐξετάσαι τὴν ἀλήθειαν, παρακαλῶν φανεροὺς ποιῆσαι τοὺς λόγους, οἷς ἐμαυτὸν πέπεικα· Δημοσθένους ἀκμάζοντος ἤδη, καὶ τοὺς ἐπιφανεστάτους εἰρηκότος ἀγῶνας, τότε ὑπὸ Ἀριστοτέλους τὰς ῥητορικὰς γεγράφθαι τέχνας. ἐδόκεις τέ μοι καὶ τοῦτο ὀρθῶς παραινεῖν, μὴ σημείοις, μηδ' εἰκόσι, μηδ' ἀλλοτρίαις τὸ πρᾶγμα πιστώσασθαι μαρτυρίαις, ἐπειδὴ τούτων οὐδεμία τῶν πίστεων δι' ἀναγκαίων συνάγεται λημμάτων· ἀλλ' αὐτὸν Ἀριστοτέλη παρασχέσθαι διὰ τῶν ἰδίων τεχνῶν ὁμολογοῦντα τἀληθὲς οὕτως ἔχειν. τοῦτο δὴ πεποίηκα, βέλτιστε Ἀμμαῖε, τῆς τε ἀληθείας προνοούμενος, ἣν ἐπὶ παντὸς οἴομαι δεῖν πράγματος ἐξετάζεσθαι, καὶ τῆς ἁπάντων τῶν περὶ τοὺς πολιτικοὺς λόγους ἐσπουδακότων χάριτος· ἵνα μὴ τοῦθ' ὑπολάβωσιν, ὅτι πάντα περιείληφεν ἡ Περιπατητικὴ φιλοσοφία τὰ ῥητορικὰ παραγγέλματα· καὶ οὔτε οἱ περὶ Θεόδωρον καὶ Θρασύμαχον καὶ Ἀντιφῶντα σπουδῆς ἄξιον οὐδὲν εὗρον, οὔτε Ἰσοκράτης καὶ Ἀναξιμένης καὶ Ἀλκιδάμας, οὔτε

[1] τέχναι, ἑκὼν μεταδοξάσω· ἢ τοὐναντίον φωράσας, τὴν δόξαν, ἣν πρότερον αὐτὸς ἔσχον, βεβαιώσω, καὶ τὸν ἄλλως ἐγνωκότα

quam *Morellii Demosthenes* in margine habebat, sequi malui: præsertim cum idem ante me fecisset *Wolfius* in sua *Demosthenis* editione. Sylb. Mihi tamen (inquit *Schottus* in *Nod. Ciceron.* l. 4. c. 2.) unius vocis parva mutatione locus emendari posse videtur: si scilicet βεβαιωθῶ in μετατεθῶ commutetur, nulla addita negatione. Sensum vero commodum hunc eliciam: *ut priorem sententiam vel ipse mutem, cognito, priores esse Aristotelis libros Rhetoricos orationibus Demosthenis; vel eum, qui ita sentit, et commentari de ea re parat, antequam opus foras det, de sententia deducam.* Et vero Græcarum literarum peritis non insolens forma videbitur, τὴν γνώμην μετατίθημι, *sententiam muto*: nam ita loqui amant *Thucydides, Xenophon* et *Synesius.* Huds.

Ἵνα ἢ κ. τ. λ.] E lectione ex editione prima, quæ est Stephani, relata colligo, fuisse olim in libris Dionysii versatam hanc lectionem, ne ipsam quidem malam, neque aspernandam: ἵνα ἢ τὴν δόξαν, ἣν πρότερον αὐτὸς ἔσχον βεβαίως, ἐῶ, *ut quam olim ipse firmiter tenui sententiam, eam missam facerem*, μαθὼν, ὅτι προτεροῦσι τῶν Δημοσθένους λόγων αἱ Ἀριστοτέλους τέχναι· ἢ τὸν οὕτως ἐγνωκότα καὶ γράψαι παρεσκ. Dicit autem οὕτως, *sic*, subaudi, ὡς σὺ φῂς τὸν περιπατητικὸν γινώσκειν. *ut tu nempe, mi Ammæe, ais illum tuum Peripateticum statuere.* Reisk.

Βεβαιώσω] Hæc est Sylburgii emendatio. Stephanus dederat βεβαιωθῶ. pro quo in margine codicis Regii [Oxoniensis puta] esse ἐπανορθῶ testatur Hudsonus. Conjectura ea est viri docti nescio cujus. Dionysius dederat βεβαίως, ταύτην ἐῶ, vel διωθῶ. *eam sententiam dimittam*, aut *repudiem et a me amoliar.* Idem.

β'. Ἐδόκεις τέ μοι] Malim δέ. Idem.

Οὕτως ἔχειν] Scil. ὡς ἐγὼ φημί. Idem.

οἱ τούτοις συμβιώσαντες τοῖς ἀνδράσι, παραγγελμάτων τεχνικῶν συγγραφεῖς καὶ ἀγωνισταὶ λόγων ῥητορικῶν, οἱ περὶ Θεοδέκτην καὶ [1]Φίλιστον καὶ Ἰσαῖον καὶ Κηφισόδωρον, Ὑπερίδην τε καὶ Λυκοῦργον καὶ Αἰσχίνην· οὔτε αὐτὸς ὁ Δημοσθένης ὁ πάντας ὑπερβαλόμενος τούς τε πρὸ [2]αὐτοῦ καὶ τοὺς καθ᾽ ἑαυτὸν, καὶ μηδὲ τοῖς γενησομένοις ὑπερβολὴν καταλιπὼν, τοσοῦτος ἂν ἐγένετο τοῖς Ἰσοκράτους τε καὶ Ἰσαίου κοσμούμενος παραγγέλμασιν, εἰ μὴ τὰς Ἀριστοτέλους τέχνας ἐξέμαθεν.

γʹ. Οὐκ ἔστ᾽ ἔτυμος λόγος οὗτος, ὦ φίλε Ἀμμαῖε, οὐδ᾽ ἐκ τῶν Ἀριστοτέλους τεχνῶν τῶν ὕστερον ἐξενεχθεισῶν οἱ Δημοσθένους λόγοι συνετάχθησαν, ἀλλὰ καθ᾽ ἑτέρας εἰσαγωγάς τινας· ὑπὲρ ὧν ἐν ἰδίᾳ δηλώσω γραφῇ τὰ δοκοῦντά μοι. πολὺς γὰρ ὁ περὶ αὐτῶν λόγος, ὃν οὐ καλῶς εἶχεν ἑτέρας γραφῆς ποιῆσαι πάρεργον. ἐν δὲ τῷ παρόντι τοῦτο πειράσομαι φανερὸν ποιῆσαι, ὅτι, Δημοσθένους ἀκμάζοντος ἤδη κατὰ τὴν πολιτείαν, καὶ τοὺς ἐπιφανεστάτους εἰρηκότος ἀγῶνας, τούς τε δικανικοὺς καὶ τοὺς δημηγορικοὺς, καὶ θαυμαζομένου διὰ πάσης τῆς Ἑλλάδος ἐπὶ δεινότητι λόγων, τότε ὁ φιλόσοφος τὰς ῥητορικὰς ἔγραψε τέχνας. ἀνάγκη δ᾽ ἴσως πρῶτον, ὅσα παρέλαβον ἐκ τῶν κοινῶν ἱστοριῶν, ἃς κατέλιπον ἡμῖν οἱ τοὺς βίους τῶν ἀνδρῶν συνταξάμενοι, προειπεῖν. ποιήσομαι δὲ ἀπὸ Δημοσθένους τὴν ἀρχήν.

δʹ. Οὗτος [3]ἐγενήθη μὲν ἐνιαυτῷ πρότερον τῆς ἑκατοστῆς Ὀλυμπιάδος, ἄρχοντος δὲ Τιμοκράτους εἰς ἔτος ἦν ἐμβεβηκὼς ἑπτακαιδέκατον· δημοσίους τε λόγους ἤρξατο γράφειν ἐπὶ Καλλιστράτου ἄρχοντος, εἰκοστὸν καὶ πέμπτον ἔχων ἔτος. καὶ ἔστιν αὐτοῦ πρῶτος τῶν ἐν δικαστηρίῳ κατασκευασθέντων ἀγώνων ὁ κατὰ Ἀνδροτίωνος, ὃν γέ-

[1] Φίλισκον [2] αὑτοῦ [3] ἐγεννήθη

Φίλιστον] Pro Φίλιστον [quod in vulgatis est] rectius fortasse legimus Φίλισκον, quia *Philistus* historici Siculi nomen est, *Philiscus* autem Milesius orator fuit, unus ex *Isocratis* oratoris auditoribus, ut tradit *Suidas*. Supra pag. 626. v. 13. ed. R. in hoc nomine est ambiguitas. Sylb.

Ἂν ἐγέν.] Incluserat Sylburg. hanc particulam uncis, quos ego rursus sustuli. Reisk.

δʹ. Εἰκοστὸν] Corrigendus hic *Dionysii* calculus, qui in Archonte quidem nobiscum sentit, in ætatis vero annis a nobis et *Agellio* discedit: ut rescribendum sit pro anno XXV. an. XXVII. ut tradit *Agellius* l. 15. c. 28. *Schottus* in vita *Demosthenis* ad Olymp. CVI. an. II. Huds.

γραφε Διοδώρῳ τῷ κρίνοντι τὸ ψήφισμα παρανόμων. καὶ κατὰ τὸν αὐτὸν χρόνον [1] ἕτερον ἐπὶ Καλλιστράτου ἄρχοντος, ὁ περὶ τῶν ἀτελειῶν, ὃν αὐτὸς διέθετο, χαριέστατος ἁπάντων τῶν λόγων καὶ γραφικώτατος. ἐπὶ δὲ Διοτίμου, τοῦ μετὰ Καλλίστρατον, ἐν Ἀθηναίοις πρώτην εἶπε δημηγορίαν, ἣν ἐπιγράφουσιν οἱ τοὺς ῥητορικοὺς πίνακας συντάξαντες, περὶ τῶν συμμοριῶν· ἐν ᾗ παρεκάλει τοὺς Ἀθηναίους μὴ λύειν τὴν πρὸς βασιλέα γενομένην εἰρήνην, μηδὲ προτέρους ἄρχειν τοῦ πολέμου, ἐὰν μὴ παρασκευάσωνται τὴν ναυτικὴν δύναμιν, ἐν ᾗ πλείστην εἶχον ἰσχύν· καὶ τὸν τρόπον τῆς παρασκευῆς αὐτὸς ὑποτίθεται. ἐπὶ δὲ [2] Θεοδήμου, τοῦ μετὰ Διότιμον ἄρξαντος, τόν τε κατὰ Τιμοκράτους λόγον ἔγραψε Διοδώρῳ, τῷ κρίνοντι παρανόμων τὸν Τιμοκράτην, καὶ τὸν περὶ τῆς Μεγαλοπολιτῶν βοηθείας δημηγορικὸν, ὃν αὐτὸς ἀπήγγειλε. μετὰ δὲ [3] Θεόδημον ἦν Ἀριστόδημος ἄρχων, ἐφ᾽ οὗ τῶν κατὰ Φιλίππου δημηγοριῶν ἤρξατο, καὶ λόγους ἐν τῷ δήμῳ διέθετο περὶ τῆς ἀποστολῆς ξενικοῦ στρατεύματος, καὶ τῶν δέκα [4] Γαδικῶν τριηρῶν εἰς Μακεδονίαν. ἐν τούτῳ τῷ χρόνῳ καὶ τὸν κατὰ Ἀριστοκράτους ἔγραψε λόγον Εὐθυκλεῖ, τῷ διώκοντι παρανόμων τὸ ψήφισμα. ἐπὶ δὲ [5] Θεέλλου, τοῦ μετὰ Ἀριστόδημον, τὴν περὶ Ῥοδίων ἀπήγγειλε δημηγορίαν, ἐν ᾗ πείθει τοὺς Ἀθηναίους καταλῦσαι τὴν ὀλιγαρχίαν αὐτῶν, καὶ τὸν

[1] ἕτερος [2] Εὐδήμου [3] Εὔδημον [4] [Γαδικῶν] [5] Θεσσάλου

Ὁ περὶ τῶν ἀτελειῶν] Λόγος est oratio *contra Leptinem* habita. SYLB.

Τῶν λόγ.] Τῶν omittit *Cod. Reg.* HUDS.

Πίνακας] Rhetoricæ tabulæ fortasse eædem hic sunt, quæ tabulæ Pergamenæ; de quibus supra ad p. 661. v. 6. ed. R. SYLB.

Περὶ τῶν συμμοριῶν] Videsis *Schotti* vitas Parallel. Olymp. CVI. an. III. HUDS.

Θεοδήμου] Θουδήμου et mox Θούδημον in *Cod. Reg.* Verum (inquit *Sylb.*) Εὔδημον legendum esse, satis constat ex p. 648. v. 4. ed. R. HUDS.

Θεοδήμου] Dedi *Eudemum* et hic et infra pro *Theodemo*, quod nomen in vulgatis legitur. REISK.

Γαδικῶν] Pro Γαδικῶν *Morellii* margo habet ταχειῶν· cui *Wolfius* addit ταχυναυτουσῶν: exegema utrumque. Sunt tamen, qui φυγαδικῶν legendum existiment. SYLB.

Γαδικῶν] Inclusi hoc vocabulum uncis, in quo videor mihi vocabuli γαλειῶν vestigia cernere. *Galearum*, h. e. navium bellicarum, unde *Galere* natum. Etiam alibi, ut apud Ammonium de differentiis vocum, observatur hoc medii ævi vocabulum. v. Du Cange Glossar. Græcit. Quod veteres τριήρης usurpabant, id idem ævo medio γαλεία appellabatur: irrepsit ergo h. l. scholium in textum. REISK.

Θεέλλου] Qui Θέελλος hic dicitur [in vulgatis puta], et supra in Dinarcho (p. 655. v. 1. ed. R.) Θέλλος, veriori nomine appellabitur Θέσσαλος, ut docuimus ad p. 648. v. 5. ed. R. SYLB.

Περὶ Ῥοδίων] Ἐπὶ Ῥοδίων in *Cod. Reg.* Plenus titulus περὶ Ῥοδίων ἐλευθερίας. vide *Schotti* vitas Paral. Olymp. CVIII. an. II. HUDS.

δῆμον ἐλευθερῶσαι. ἐπὶ δὲ Καλλιμάχου, τοῦ τρίτου μετὰ [1]Θέελλον ἄρξαντος τρεῖς διέθετο δημηγορικοὺς, παρακαλῶν Ἀθηναίους βοήθειαν Ὀλυνθίοις ἀποστεῖλαι τοῖς πολεμουμένοις ὑπὸ Φιλίππου. πρῶτον μὲν, οὗ ἐστὶν ἀρχὴ, Ἐπὶ πολλῶν μὲν ἰδεῖν ἄν τις, ὦ ἄνδρες Ἀθηναῖοί, μοι [2]δοκεῖ· δεύτερον δὲ, Οὐχὶ ταὐτὰ παρίσταταί μοι γιγνώσκειν, ὦ ἄνδρες Ἀθηναῖοι· τρίτον δὲ, Ἀντὶ πολλῶν ἄν, ὦ ἄνδρες Ἀθηναῖοι, χρημάτων. κατὰ τοῦτον γέγραπται τὸν ἄρχοντα καὶ ὁ κατὰ Μειδίου λόγος, ὃν συνετάξατο μετὰ τὴν χειροτονίαν, ἣν ὁ δῆμος αὐτοῦ κατεχειροτόνησε· μέχρι τοῦ περὶ δώδεκα λόγων, ὧν εἴρηκα, δημοσίων, ἐν οἷς εἰσὶ δημηγορικοὶ μὲν ζ′, δικανικοὶ δὲ έ, ἅπαντες πρότεροι τῶν Ἀριστοτέλους τεχνῶν, ὡς ἔκ τε τῶν ἱστορουμένων περὶ τοῦ ἀνδρὸς ἀποδείξω, καὶ ἐκ τῶν ὑπ᾽ αὐτοῦ γραφέντων, ἐντεῦθεν ἀρξάμενος.

έ. Ἀριστοτέλης υἱὸς μὲν ἦν Νικομάχου, τὸ γένος καὶ τὴν τέχνην ἀναφέροντος εἰς Μαχάονα τὸν Ἀσκληπιοῦ, μητρὸς δὲ Φαιστίδος ἀπογόνου τινὸς τῶν ἐκ Χαλκίδος τὴν ἀποικίαν ἀναγαγόντων εἰς Στάγειρα. ἐγεννήθη δὲ κατὰ τὴν ἐννενηκοστὴν καὶ ἐννάτην Ὀλυμπιάδα, Διοτρεφοῦς Ἀθήνησιν ἄρχοντος, ιγ′ ἔτεσι Δημοσθένους πρεσβυτέρου. ἐπὶ δὲ

[1] Θέσσαλον [2] δοκεῖ μοι

Δημηγορικοὺς] Id est Ὀλυνθιακούς. Idem.

Πρῶτον] Ordinem Olynthiacarum esse ab edito diversum, observandum moneo. Nam quæ vulgo *prima* est, ea recte a *Dionysio* et ordine *tertia* collocatur: ut *secunda* primum locum, *tertia* secundum obtineat. Qua de re pluribus in *Vitis Parallelis* Olymp. CVII. an. IV. *Schottus.* Idem.

Χειροτονίαν] *Morellii* et *Wolfii* margo habet καταχειροτονίαν. Sylb.

Αὐτοῦ κατεχ.] Redit non ad Demosthenem, sed ad Midiam. Reisk.

Κατεχειροτόνησε] Κεχειροτόνηκε *Cod. Reg.* teste Hudsono. Fortasse leg. κατεχειροτόνησεν ἔτει τρίτῳ. Τούτων τῶν δώδεκα λόγων, ὧν εἴρηκα, τῶν δημοσίων. Idem.

Μέχρι κ. τ. λ.] Fortasse legendum μέχρι τῶν δώδεκα. Sylb. In *Cod. Reg.* μέχρι τοῦ τῶν δώδεκα. Huds.

Ἅπαντες] Malim οἱ πάντες. id quidem constructio cum genitivo τῶν δώδεκα λόγων postulat. Reisk.

έ. Φαιστίδος] Consentiunt hæc cum epigrammate, quod *Ammonius* in *Aristotelis* vita, et *Henr. Steph.* in *Anthologiæ* additamento, referunt:

Φαιστίδος ἦν μητρὸς, καὶ Νικομάχου γενετῆρος,
Τῶν Ἀσκληπιαδῶν, δῖος Ἀριστοτέλης.
Sylb.

ιγ′] *Wolfius* pro ιγ′ legit γ′ detracta scilicet decade: et mox nominandi casu πρεσβύτερος: itidemque vertit: *triennio Demosthene major.* atque ita legendum esse, perspicuum est ex eo, quod *Dionysius* [supra] §. δ′. in init. *Demosthenem* natum esse dicit anno ante centesimam Olympiadem: aut necesse est, ibi minoris numeri notationem esse omissam. Sylb. In *Cod. Reg.* habemus γ′ pro ιγ′. quem numerum etiam reponendum censet *Schottus.* Huds.

Πολυζήλου ἄρχοντος, τελευτήσαντος τοῦ πατρὸς, ὀκτωκαιδέκατον ἔτος ἔχων εἰς Ἀθήνας ἦλθε, καὶ συσταθεὶς Πλάτωνι, χρόνον εἰκοσαετῆ διέτριψε σὺν αὐτῷ. ἀποθανόντος δὲ Πλάτωνος, ἐπὶ Θεοφίλου ἄρχοντος ἀπῆρε πρὸς Ἑρμείαν τὸν Ἀταρνέως τύραννον, καὶ τριετῆ χρόνον παρ᾽ [1] αὐτῷ τρίψας, ἐπ᾽ Εὐβούλου ἄρχοντος εἰς Μιτυλήνην ἐχωρίσθη· ἐκεῖθεν δὲ πρὸς Φίλιππον ἤρχετο, κατὰ Πυθόδοτον ἄρχοντα, καὶ διέτριψε χρόνον ὀκταετῆ παρ᾽ αὐτῷ καθηγούμενος Ἀλεξάνδρου· μετὰ δὲ τὴν Φιλίππου τελευτὴν ἐπ᾽ Εὐαινέτου ἄρχοντος ἀφικόμενος εἰς Ἀθήνας, ἐσχόλαζεν ἐν Λυκείῳ χρόνον ἐτῶν δώδεκα· τῷ δὲ τρισκαιδεκάτῳ μετὰ τὴν Ἀλεξάνδρου τελευτὴν, ἐπὶ Κηφισοδώρου ἄρχοντος, ἀπάρας εἰς Χαλκίδα, νόσῳ τελευτᾷ, τρία πρὸς τοῖς ἑξήκοντα βιώσας ἔτη.

ϛ΄. Ταῦτα μὲν οὖν ἐστὶν, ἃ παραδεδώκασιν ἡμῖν οἱ τὸν βίον τοῦ ἀνδρὸς ἀναγράψαντες· ἃ δὲ αὐτὸς ὁ φιλόσοφος ὑπὲρ ἑαυτοῦ γράφει, πᾶσαν ἀφαιρούμενος ἐπιχείρησιν τῶν χαρίζεσθαι βουλομένων αὐτῷ τὰ μὴ προσήκοντα, πρὸς πολλοῖς ἄλλοις, ὧν οὐδὲν δέομαι μεμνῆσθαι κατὰ τὸ παρὸν, ἃ τέθεικεν ἐν τῇ πρώτῃ βίβλῳ ταύτης τῆς πραγματείας, ὡς οὐ μειράκιον ἦν, ὅτε τὰς ῥητορικὰς συνετάττετο τέχνας, ἀλλ᾽ ἐν τῇ κρατίστῃ γεγονὼς ἀκμῇ, καὶ προεκδεδωκὼς ἤδη τάς τε τοπικὰς συντάξεις καὶ τὰς ἀναλυτικὰς καὶ τὰς μεθοδικὰς, τεκμηρίων ἐστὶν ἰσχυρότερα. ἀρξάμενος γὰρ τὰς ὠφελείας ἐπιδεικνύειν, ἃς περιείληφεν ὁ ῥητορικὸς λόγος, ταῦτα κατὰ λέξιν γράφει, Χρήσιμος δ᾽ ἐστὶν ἡ ῥητορικὴ, διά γε τὸ φύσει εἶναι κρείττω τἀληθῆ

[1] αὐτοῦ

Τρίψας] *Wolfii* margo pro τρίψας habet διατρίψας. Sylb.

Ἐκεῖθεν κ. τ. λ.] Ἐκεῖθεν δὲ πρὶν ἔχετο mendose in *Cod. MS.* In margine: ἴσ. ᾤχετο. Huds.

ϛ΄. Ἃ τέθεικεν] Si ante ἃ ex *Wolfii* margine inseramus ἔστιν, plana est sententia. Sylb. Errarunt ambo, tam Wolf, tam Sylburg. non hic desideratur ἐστὶ, sed legitur [infra] versu 23. Est quidem, fateor, impeditior oratio. nihil tamen hic loci deest. Finge tibi mente Dionysium ita reliquisse: Ἐν δὲ τούτοις, ἃ αὐτὸς περὶ αὐτοῦ γράφει —— ἐστὶ πάντων τεκμηρίων ἰσχυρότερα ταῦτα, ἃ τέθεικεν ἐν τῇ πρώτῃ βίβλῳ ταύτης πραγματείας (Rhetoricorum puta). nihil supererit intricatum, sed plana et expedita omnia. Reisk.

Πραγματείας, ὡς] Subaudi ἐμφαίνων, quod tacita cogitatione solummodo interponendum est. Idem.

Συνετάττετο] Συνέταξε *MS. Reg.* Huds.

Τεκμηρίων ἐστὶν ἰσχυρότερα] Aut præponendum his est πάντων, *validiora sunt, quam omnia argumenta*, aut leg. τεκμήριόν ἐστιν ἰσχυρότατον. Reisk.

Χρήσιμος κ. τ. λ.] Locus, quem hic ex *Aristotele* citat, exstat *Rhetoricorum* lib. I. c. 1. Huds.

Διά γε] Διά τε in *Aristotelis* exemplaribus. Idem.

καὶ τὰ δίκαια τῶν ἐναντίων· ὥστε, ἐὰν [1] μὲν κατὰ τὸ προσῆκον αἱ κρίσεις γίνωνται, ἀνάγκη δι' αὐτῶν ἡττᾶσθαι· τοῦτο δ' ἐστὶν ἄξιον ἐπιτιμήσεως. ἔτι δὲ πρὸς ἐνίους, οὐδ' εἰ τὴν ἀκριβεστάτην ἔχοιμεν ἐπιστήμην, ῥᾴδιον ἀπ' ἐκείνης πεῖσαι λέγοντας. διδασκαλία γάρ ἐστιν ὁ κατὰ τὴν ἐπιστήμην λόγος. τοῦτο δὲ ἀδύνατον· ἀλλ' ἀνάγκη διὰ τῶν κοινῶν ποιεῖσθαι τὰς πίστεις καὶ τοὺς λόγους, ὥσπερ καὶ ἐν τοῖς [2] πολιτικοῖς λέγομεν περὶ τῆς πρὸς τοὺς πολλοὺς ἐντεύξεως.

ζ'. Περί τε παραδειγμάτων προελόμενος λέγειν, ὅτι τὴν αὐτὴν ταὔτ' ἔχει δύναμιν ταῖς ἐπαγωγαῖς καὶ τοῖς συλλογισμοῖς, ταῦτα περὶ τῆς ἀναλυτικῆς καὶ μεθοδικῆς πραγματείας τίθησι, Τῶν δὲ διὰ τοῦ δείκνυσθαι, ἢ φαίνεσθαι δείκνυσθαι, καθάπερ καὶ ἐν τοῖς ἀναλυτικοῖς, τὸ μὲν ἐπαγωγή ἐστι, τὸ δὲ [3] συλλογισμὸς, καὶ ἐνταῦθα ὁμοίως. ἔστι γὰρ τὸ μὲν παράδειγμα, ἐπαγωγή· τὸ δ' ἐνθύμημα, συλλογισμός· (τὸ δὲ φαινόμενον, φαινόμενος συλλογισμός.) καλῶ γὰρ ἐνθύμημα μὲν, ῥητορικὸν συλλογισμόν· παράδειγμα δὲ, ἐπαγωγὴν ῥητορικήν. πάντες δὲ τὰς πίστεις ποιοῦνται διὰ τοῦ δεικνύναι, ἢ παραδείγματα λέγοντες, ἢ ἐνθυμήματα· καὶ παρὰ ταῦτα οὐδέν πως. ὥστ', εἴπερ καὶ ὅλως ἀνά-

[1] μὴ [2] τοπικοῖς ἐλέγομεν [3] συλλογισμὸς (τὸ δὲ φαινόμενος συλλογισμὸς), καὶ

Ἐὰν μὴ] Pro ἐὰν μὴ *Stephani* et *Morellii* editio habet ἐὰν μέν. itidemque *Wolfii* versio: *quando judicia ita fiunt, ut decet.* ego *Aristotelis* exemplaria sequi malui. Sylb.

Δι' αὐτῶν] Scil. διὰ τῶν ἡμετέρων κρίσεων. *perverse de rebus si judicatur, necesse est, ut per illa prava judicia causa cadamus.* Reisk.

Διδασκαλία] *Aristot.* exemplaria habent διδασκαλίας. Sylb.

Τοῦτο δ' ἀδύνατον] Scil. τὸ διδάσκειν κατ' ἐπιστήμην. id est τὸν ἤδη ἐπιστάμενον. Reisk.

Τοπικοῖς ἐλέγομεν] *Stephani, Morellii,* et *Wolfii* editio habet πολιτικοῖς λέγομεν. ego *Aristotelis* exemplaria sequi malui: e quibus *Morellius* quoque ac *Wolfius* veriorem lectionem margini adnotarunt. Sylb.

ζ'. Δείκνυσθαι κ. τ. λ.] *Aristotelis* exemplaria habent δεικνύναι, ἢ φαίνεσθαι δεικνύναι, *Rhetor.* l. I. c. 2. Huds.

Ἀναλυτικοῖς] Pro ἀναλυτικοῖς *Aristotelis* exemplaria habent διαλεκτικοῖς. sed *Dionysium* ἀναλυτικοῖς legisse, satis declarat pag. cccxxxviii. v. 22. Inclusa, quæ mox sequuntur, addita sunt ex *Aristot.* exempl. At quæ v. 20. et 21. inclusa sunt ab iisdem *Aristot.* exempl. absunt. Eadem exemplaria eodem v. 21. pro καλῶ γὰρ habent καλῶ δέ. Sylb.

γκη, συλλογιζόμενον ἢ ἐπάγοντα δεικνύναι [1]ὁτιοῦν· δῆλον δ' ἡμῖν τοῦτο ἐκ τῶν ἀναλυτικῶν· ἀναγκαῖον [2]ἑκάτερον τούτων τὸ αὐτὸ εἶναι. τίς δ' ἐστὶ διαφορὰ παραδείγματος, καὶ ἐνθυμήματος, φανερὸν ἐκ τῶν τοπικῶν· ἐκεῖ γὰρ περὶ συλλογισμοῦ καὶ ἐπαγωγῆς εἴρηται πρότερον· ὅτι τὸ μὲν, ἐπὶ πολλῶν καὶ ὁμοίων δείκνυσθαι, ὅτι οὕτως ἔχει, ἐκεῖ μὲν ἐπαγωγή ἐστιν, ἐνταῦθα δὲ, παράδειγμα· τὸ δὲ, τινῶν ὄντων, ἕτερόν τι διὰ ταῦτα συμβαίνειν, παρὰ τὸ ταῦτ' εἶναι ἢ καθόλου ἢ ὡς ἐπιτοπολὺ, ἐκεῖ μὲν συλλογισμὸς, ἐνταῦθα δὲ ἐνθύμημα καλεῖται. φανερὸν δὲ καὶ, ὅτι ἑκάτερον ἔχει ἀγαθὸν [3]εἶδος τῆς ῥητορείας· καθάπερ [4]γὰρ καὶ ἐν τοῖς μεθοδικοῖς εἴρηται, καὶ ἐν τούτοις ὁμοίως ἔχει. Ὁ μὲν οὖν Ἀριστοτέλης ὑπὲρ ἑαυτοῦ γέγραφε, μαρτυρόμενος διαῤῥήδην, ὅτι τὰς ῥητορικὰς τέχνας συνετάξατο πρεσβύτερος ὢν ἤδη καὶ τὰς κρατίστας συντάξεις προεκδεδωκώς. ταῦτ' ἔστιν, ἐξ [5]ὧν προειλόμην ποιῆσαι φανερὸν, ὅτι προτεροῦσιν οἱ τοῦ ῥήτορος ἀγῶνες τῶν τοῦ φιλοσόφου τεχνῶν, ἱκανῶς ἀποδεδεῖχθαι νομίζω· εἴγε ὁ μὲν εἰκοστὸν καὶ πέμπτον ἔτος ἔχων ἤρξατο πολιτεύεσθαι καὶ δημηγορεῖν, καὶ λόγους εἰς δικαστήρια γράφειν· ὁ δὲ κατὰ τοὺς αὐτοὺς χρόνους ἔτι συνῆν Πλάτωνι, καὶ διέτριψεν ἕως ἐτῶν ἑπτὰ καὶ τριάκοντα, οὔτε σχολῆς ἡγούμενος, οὔτε ἰδίαν πεποιηκὼς αἵρεσιν.

ή. Εἰ δέ τις οὕτως ἔσται δύσερις, ὥστε καὶ πρὸς ταῦτα

[1] ὁτιοῦν, (ἢ ὁντιναοῦν·) δῆλον [2] ἑκάτερον (αὐτῶν ἑκατέρῳ) τούτων [3] (τὸ) εἶδος [4] (γὰρ) [5] ὧν, ὃ προειλόμην

Ὁτιοῦν] Inclusa (ἢ ὁντιναοῦν) addita sunt ex *Aristotelis* exemplaribus, itidemque [αὐτῶν ἑκατέρῳ]. IDEM.

Ἐπὶ πολλῶν] *Morellii* margo pro ἐπὶ πολλῶν habet ἐκ πολλῶν. IDEM.

Ἕτερόν κ. τ. λ.] *Aristotelis* exemplaria habent ἕτερόν τε διὰ ταῦτα συμβαίνειν παρὰ ταῦτα, τῷ ταῦτα εἶναι. IDEM.

Φανερὸν] Φανερὸν δ', ὅτι καὶ ἑκάτερον in *Aristotelis* exemplaribus. HUDS.

(Τὸ) εἶδος] Inclusus articulus τὸ additus ex *Aristot.* exemplaribus. In iisdem pro ῥητορείας legitur ῥητορικῆς. Ex iisdem etiam addita inclusa conjunctio γάρ. SYLB.

Προειλόμην] Ὁ προελόμενος MS. Reg. teste Hudsono. unde effeci, ἐξ ὧν, ὃ προειλόμην ποιῆσαι φανερὸν, ὅτι πρ. et sic planus est ille locus. *unde satis declaratum arbitror id esse, quod declarandum mihi proposueram*, scil. causas Demosthenis forenses antiquiores esse præceptis Aristotelis rhetoricis. REISK.

Ἱκανῶς] *Wolfius* ante ἱκανῶς inserit καί: *Stephanus*, omissa conjunctione, verbum νομίζω vertendum censet in participium νομίζων. SYLB.

ἀντιλέγειν, ὅτι μὲν ὕστερον ἐγράφησαν αἱ ῥητορικαὶ τέχναι τῶν ἀναλυτικῶν τε καὶ μεθοδικῶν καὶ τοπικῶν, ὁμολογῶν ἀληθὲς εἶναι, οὐδὲν δὲ κωλύειν λέγων, ἁπάσας ταύτας κατεσκευακέναι τὸν φιλόσοφον τὰς πραγματείας, ἔτι παιδευόμενον παρὰ Πλάτωνι, ψυχρὰν μὲν καὶ ἀπίθανον ἐπιχείρησιν εἰσάγων, βιαζόμενος δὲ τὸ κακουργότατον τῶν ἐπιχειρημάτων ποιεῖν πιθανώτατον, ὅτι καὶ τὸ μὴ εἰκὸς γίνεταί ποτε εἰκός· ἀφεὶς, ἃ πρὸς ταῦτα λέγειν εἶχον, ἐπὶ τὰς αὐτοῦ τρέψομαι τοῦ φιλοσόφου μαρτυρίας, ἃς ἐν τῇ τρίτῃ βίβλῳ τέθεικε τῶν τεχνῶν, περὶ τῆς μεταφορᾶς κατὰ λέξιν οὕτω γράφων, Τῶν δὲ μεταφορῶν τεττάρων οὐσῶν, εὐδοκιμοῦσι μάλιστα αἱ κατὰ ἀναλογίαν· ὡς Περικλῆς ἔφη, τὴν νεότητα, τὴν ἀπολομένην ἐν τῷ πολέμῳ, οὕτως ἠφανίσθαι ἐκ τῆς πόλεως, ὥσπερ εἴ τις τὸ ἔαρ ἐκ τοῦ ἐνιαυτοῦ ἐξέλοι· καὶ Λεπτίνης περὶ Λακεδαιμονίων, οὐκ ἐᾷν περιϊδεῖν τὴν Ἑλλάδα ἑτερόφθαλμον γενομένην· καὶ Κηφισόδοτος, σπουδάζοντος Χαρήτος εὐθύνας δοῦναι [1]τοῦ περὶ τὸν Ὀλυνθιακὸν πόλεμον, ἠγανάκτει, φάσκων εἰς πνῖγμα τὸν δῆμον ἀγαγόντα, τὰς εὐθύνας πειρᾶσθαι διδόναι οὕτως.

θ'. Εἰ μὲν δὴ σαφῶς αὐτὸς ὁ φιλόσοφος ἀποδεικνύει μετὰ τὸν Ὀλυνθιακὸν πόλεμον γεγραμμένας ὑπ' αὐτοῦ τὰς τέχνας, οὗτος δ' ἐπὶ Καλλιμάχου γέγονεν ἄρχοντος, ὡς δηλοῖ Φιλόχορος ἐν ἕκτῃ βίβλῳ τῆς Ἀτθίδος, κατὰ λέξιν οὕτω γράφων, Καλλίμαχος Περγασῆθεν. Ἐπὶ τούτου, Ὀλυνθίοις, πολεμουμένοις ὑπὸ Φιλίππου καὶ πρέσβεις Ἀθήναζε πέμψασιν, οἱ Ἀθηναῖοι συμμαχίαν τε ἐποιήσαντο καὶ

[1] (τοῦ)

ή. Κακουργότατον] *Morellii* et *Wolfii* margo habet πανουργότατον: convenientius. IDEM.

Τῶν δὲ κ. τ. λ.] Exstat hic locus *Rhetoricorum* l. 3. c. 10. HUDS.

Γενομένην] *Morellius* et *Wolfius* malint γινομένην. SYLB.

(Τοῦ)] Pro incluso τοῦ *Wolfii* margo reponit plur. τῶν. *Aristotelis* exemplaria neutrum agnoscunt. IDEM.

Ἀγαγόντα] *Aristotelis* exemplaria pro ἀγαγόντα habent ἔχοντα: et mox δοῦναι pro διδόναι οὕτως. IDEM.

Οὕτως. Εἰ μὲν δὴ] Videtur sic distinguendum et leg. esse, ut locus ex Aristotele recitatus desinat in voc. διδόναι. tum Criticus noster rursus Orationem suam instauret sic: Οὑτωσὶ μὲν δὴ—REISK.

θ'. Οὗτος δ' ἐπὶ] *Wolfius* pro οὗτος habet

βοήθειαν ἔπεμψαν, πελταστὰς [1]μὲν δισχιλίους, τριήρεις δὲ τριάκοντα τὰς μετὰ Χάρητος, ἃς καὶ συνεπλήρωσαν. Ἔπειτα διεξελθὼν ὀλίγα τὰ μεταξὺ γενόμενα, τίθησι ταυτὶ, Περὶ δὲ τὸν αὐτὸν χρόνον Χαλκιδέων τῶν ἐπὶ Θράκης θλιβομένων τῷ πολέμῳ καὶ πρεσβευσαμένων Ἀθήναζε, Χαρίδημον αὐτοῖς ἔπεμψαν οἱ Ἀθηναῖοι τὸν ἐν Ἑλλησπόντῳ στρατηγόν· ὃς ἔχων ὀκτωκαίδεκα τριήρεις καὶ πελταστὰς τετρακισχιλίους, ἱππεῖς δὲ πεντήκοντα καὶ ἑκατὸν, ἦλθεν εἴς τε Παλλήνην καὶ τὴν [2]Βοτιαίαν μετ᾽ Ὀλυνθίων, καὶ τὴν χώραν ἐπόρθησεν. Ἔπειθ᾽ ὑπὲρ τῆς τρίτης συμμαχίας λέγει ταυτὶ, Πάλιν δὲ τῶν Ὀλυνθίων πρέσβεις ἀποστειλάντων εἰς τὰς Ἀθήνας καὶ δεομένων μὴ περιϊδεῖν αὐτοὺς καταπολεμηθέντας, ἀλλὰ πρὸς ταῖς ὑπαρχούσαις δυνάμεσι πέμψαι βοήθειαν, μὴ ξενικὴν, ἀλλ᾽ αὐτῶν Ἀθηναίων, ἔπεμψεν αὐτοῖς ὁ δῆμος τριήρεις μὲν ἑτέρας ἑπτακαίδεκα, τῶν δὲ πολιτῶν ὁπλίτας δισχιλίους καὶ ἱππεῖς τριακοσίους, ἐν ναυσὶν ἱππηγοῖς, στρατηγὸν δὲ Χάρητα τοῦ στόλου παντός.

ι. Ἀπόχρη μὲν οὖν καὶ ταῦτα ῥηθέντα φανερὰν ποιῆσαι τὴν φιλοτιμίαν τῶν ἀξιούντων τὰς Ἀριστοτέλους ἐζηλωκέναι τέχνας τὸν Δημοσθένη, ὃς ἤδη τέσσαρας μὲν ἔτυχεν εἰρηκὼς δημηγορίας Φιλιππικὰς, τρεῖς δὲ Ἑλληνικάς. περὶ [3]δὲ λόγους δηλώσει οὓς εἰς δικαστήρια γεγραφὼς, οὓς οὐδεὶς ἂν ἔχοι διαβαλεῖν, ὡς εὐτελεῖς τινὰς καὶ [4]φαύλους,

[1] (μὲν) [2] Βοττιαίαν [3] δὲ έ λόγους δημοσίους εἰς δικαστ. [4] φαύλας

τοῦτο: minus recte. Sylb.

(Μὲν)] Inclusa μὲν addita ex *Wolfii* editione. Idem.

Ὀλίγα τὰ μεταξὺ] Videtur ὀλίγ᾽ ἄττα μεταξὺ, illud ἄττα, vel ἅττα respondet Latino *nescio quæ*. Reisk.

ι. Περὶ δὲ λόγους κ. τ. λ.] Correxi de meo περὶ δὲ ε′ [id est πέντε] λόγους δημοσίους εἰς δ. et *circiter quinque orationes forenses in causis ad majestatem plebis pertinentibus*; seu *publicis*. Sunt autem illæ quinque orationes hæ: in Androtionem, in Leptinem, in Midiam, in Aristocratem, in Timocratem. Res liquida est e p. cccxxxv. v. pænult. et sequentibus. Liquet item jam proximum γεγραφὼς bene habere. Idem.

Γεγραφὼς] *Morellii* et *Wolfii* margo habet γέγραφεν. Sed ne sic quidem plana fiunt omnia. Sylb.

καὶ μηδὲν ἐπιφαίνοντας τεχνικὸν, ἐπειδὴ πρὸ τῶν Ἀριστοτέλους συνετάχθησαν τεχνῶν. οὐ μὴν ἔγωγε μέχρι τούτου προελθὼν, στήσομαι, ἀλλὰ καὶ τοὺς ἄλλους αὐτοῦ λόγους τοὺς μάλιστ᾽ εὐδοκιμοῦντας ἐπιδείξω, τούς τε δημηγορικοὺς καὶ τοὺς δικανικοὺς, πρότερον ἀπηγγελμένους τῆς ἐκδόσεως τούτων τῶν τεχνῶν, μάρτυρι πάλιν αὐτῷ χρώμενος Ἀριστοτέλει. μετὰ γὰρ ἄρχοντα Καλλίμαχον, ἐφ᾽ οὗ τὰς εἰς Ὄλυνθον βοηθείας ἀπέστειλαν Ἀθηναῖοι πεισθέντες ὑπὸ Δημοσθένους, Θεόφιλός ἐστιν ἄρχων, καθ᾽ ὃν ἐκράτησε τῆς Ὀλυνθίων πόλεως Φίλιππος. ἔπειτα Θεμιστοκλῆς, ἐφ᾽ οὗ τὴν ἕκτην τῶν κατὰ Φιλίππου δημηγοριῶν ἀπήγγειλε Δημοσθένης, περὶ τῆς φυλακῆς τῶν [1] νησιωτῶν καὶ τῶν ἐν Ἑλλησπόντῳ πόλεων, ἧς ἐστὶν ἀρχὴ, Ἃ μὲν ἡμεῖς, ὦ ἄνδρες Ἀθηναῖοι, δεδυνήμεθα εὑρεῖν, ταῦτ᾽ ἐστι. μετὰ δὲ Θεμιστοκλέα Ἀρχίας, ἐφ᾽ οὗ παραινεῖ τοῖς Ἀθηναίοις μὴ κωλύειν Φίλιππον τῆς Ἀμφικτυονίας μετέχειν, μηδὲ ἀφορμὴν διδόναι πολέμου, νεωστὶ πεποιημένους τὴν πρὸς αὐτὸν εἰρήνην. ἀρχὴ [2] καὶ ταύτης τῆς δημηγορίας ἐστὶν ἥδε, Ὁρῶ μὲν, ὦ ἄνδρες Ἀθηναῖοι, τὰ παρόντα πράγματα. μετὰ δὲ Ἀρχίαν ἐστὶν Εὔβουλος, εἶτα Λυκίσκος, ἐφ᾽ οὗ τὴν ἑβδόμην τῶν Φιλιππικῶν δημηγοριῶν διέθετο πρὸς τὰς ἐκ Πελοποννήσου πρεσβείας, ταύτην τὴν ἀρχὴν ποιησάμενος, Ὅταν, ὦ ἄνδρες Ἀθηναῖοι, λόγοι γίγνωνται. μετὰ Λυκίσκον ἐστὶν ἄρχων Πυθόδοτος, ἐφ᾽ οὗ τὴν ὀγδόην τῶν Φιλιππικῶν δημηγοριῶν διέθετο πρὸς τοὺς Φιλίππου πρέσβεις, ἧς ἐστὶν ἀρχὴ, Ὦ ἄνδρες Ἀθηναῖοι, οὐκ ἔστιν ὅπως αἱ αἰτίαι. καὶ τὸν κατ᾽ Αἰσχίνου συνετάξατο λόγον, ὅτε τὰς εὐθύνας ἐδίδου τῆς δευτέρας πρεσβείας τῆς ἐπὶ τοὺς ὅρκους. μετὰ Πυθόδοτόν ἐστι Σωσιγένης, ἐφ᾽ οὗ τὴν ἐννάτην διελήλυθε κατὰ Φιλίππου δημηγορίαν, περὶ τῶν ἐν Χεῤῥονήσῳ στρατιωτῶν, ἵνα μὴ διαλυθῇ τὸ μετὰ Διοπείθους ξενικὸν,

[1] νησιατῶν

[2] δὲ

Ἕκτην] *Wolfii* et *Morellii* margo pro ἕκτην habet πέμπτην. Sylb. quo modo legendum esse monuit *Schottus*, in *Vitis Parallelis*, Olymp. CVIII. an. II. et III. Huds.

Καὶ ταύτης] Pro καὶ [quod vulgatæ dant] malim δὲ, contra exemplarium consensum. Sylb.

ἀρχὴν ἔχουσα ταύτην, Ἔδει μὲν, ὦ ἄνδρες Ἀθηναῖοι, τοὺς λέγοντας ἅπαντας ἐν ὑμῖν μήτε πρὸς ἔχθραν ποιεῖσθαι λόγον μηδένα μήτε πρὸς χάριν. Καὶ κατὰ τὸν αὐτὸν ἄρχοντα τὴν δεκάτην, ἐν ᾗ πειρᾶται διδάσκειν, ὅτι λύει τὴν εἰρήνην Φίλιππος, καὶ πρότερος ἐκφέρει τὸν πόλεμον, ἧς ἐστὶν ἀρχὴ, Πολλῶν, ὦ ἄνδρες Ἀθηναῖοι, λόγων γινομένων ὀλίγου δεῖν καθ' ἑκάστην ἐκκλησίαν. μετὰ Σωσιγένην ἄρχων ἐστὶ Νικόμαχος, ἐφ' οὗ τὴν ἑνδεκάτην δημηγορίαν διελήλυθε, περὶ τοῦ λελυκέναι τὴν εἰρήνην Φίλιππον, καὶ τοὺς Ἀθηναίους πείθει Βυζαντίοις ἀποστεῖλαι βοήθειαν, ἧς ἐστὶν ἀρχὴ, Καὶ σπουδαῖα νομίζων, ὦ ἄνδρες Ἀθηναῖοι, περὶ ὧν βουλεύεσθε, καὶ ἀναγκαῖα τῇ πόλει, πειράσομαι περὶ αὐτῶν εἰπεῖν. ἐπὶ Νικομάχῳ Θεόφραστος ἄρχων, ἐφ' οὗ πείθει τοὺς Ἀθηναίους γενναίως ὑπομεῖναι τὸν πόλεμον, ὡς κατηγγελκότος αὐτὸν ἤδη Φιλίππου. καὶ ἔστιν αὕτη τελευταία τῶν κατὰ Φιλίππου δημηγοριῶν, ἀρχὴν ἔχουσα ταύτην, Ὅτι μὲν, ὦ ἄνδρες Ἀθηναῖοι, Φίλιππος οὐκ ἐποιήσατο τὴν εἰρήνην πρὸς ὑμᾶς, ἀλλ' ἀνεβάλετο τὸν πόλεμον, πᾶσιν ὑμῖν φανερὸν γέγονεν.

ιά. Ὅτι δὲ δώδεκα τούτους ἅπαντας τοὺς λόγους, οὓς κατηρίθμημαι, πρὸ τῆς ἐκδόσεως τῶν Ἀριστοτέλους τεχνῶν ἀπήγγειλεν ὁ Δημοσθένης, αὐτὸν Ἀριστοτέλη παρέξομαι μαρτυροῦντα. ἀρξάμενος γὰρ ἐν τῇ δευτέρᾳ βίβλῳ τῶν τεχνῶν τοὺς τόπους ὁρίζειν, ἀφ' ὧν τὰ ἐνθυμήματα φέρεται, καὶ τὸν ἐκ τοῦ χρόνου παραλαμβάνει, παρατιθεὶς αὐτῷ τὰ παραδείγματα. θήσω δὲ αὐτὴν τὴν τοῦ φιλοσόφου λέξιν, Ἄλλος εἰς τὸν χρόνον σκοπεῖ· οἷον, ὡς Ἰφικράτης ἐν τῇ πρὸς Ἁρμόδιον, ὅτι, Εἰ, πρὶν ποιῆσαι, [1]ἠξίου τῆς εἰκόνος τυχεῖν, ἐὰν [2]ποιήσῃ, ἔδοτε ἄν· ποιήσαντι [3]δ' οὐ δώσετε; μὴ

[1] ἠξίουν [2] ποιήσω [3] δ' (ἄρ') οὐ

Αὐτὸν ἤδη] Αὐτὸν refertur ad τὸν πόλεμον. Morellii et Wolfii margo mavult reciprocum αὑτὸν, seipsum: subaudito scilicet πολέμιον, hostem. IDEM.

ιά. Ἄλλος εἰς κ. τ. λ.] Exstat locus l. 2. c. 24. ubi legitur ἐκ τοῦ τὸν χρόνον σκοπεῖν. HUDS.

Δ' (ἄρ') οὐ] Inclusa ἄρ' addita ex vul-

τοίνυν μέλλοντες μὲν ὑπισχνεῖσθε, παθόντες δ' ἀφαιρεῖσθε. καὶ πάλιν, πρὸς τὸ διὰ Θηβαίων διϊέναι Φίλιππον εἰς τὴν Ἀττικὴν, ὅτι, Εἰ, πρὶν βοηθῆσαι Φωκεῖς, ἠξίου, ὑπέσχοντο ἄν· ἄτοπον οὖν, Εἰ, διότι προεῖτο καὶ διέσπευσεν, μὴ δώσουσιν. Ὁ δὲ χρόνος οὗτος, ἐν ᾧ Φίλιππος ἠξίου Θηβαίους ἐπὶ τὴν Ἀττικὴν [1] αὐτῷ δοῦναι δίοδον, [2] ὑπομιμνήσκων τῆς ἐν τῷ πρὸς Φωκεῖς πολέμῳ γενομένης βοηθείας, ἐκ τῆς κοινῆς γίνεται φανερὸς ἱστορίας. εἶχε γὰρ οὕτως· μετὰ τὴν Ὀλυνθίων ἅλωσιν, ἄρχοντος Θεμιστοκλέους, συνθῆκαι Φιλίππῳ πρὸς Ἀθηναίους ἐγένοντο περὶ φιλίας καὶ συμμαχίας. αὗται διέμειναν ἑπταετῆ χρόνον ἄχρι Νικομάχου· ἐπὶ δὲ Θεοφράστου τοῦ μετὰ Νικόμαχον ἄρξαντος ἐλύθησαν, Ἀθηναίων μὲν Φίλιππου αἰτιωμένων ἄρχειν τοῦ πολέμου, Φιλίππου δὲ Ἀθηναίους ἐγκαλοῦντος. τὰς δὲ αἰτίας, δι' ἃς εἰς τὸν πόλεμον κατέστησαν, ἀδικεῖσθαι λέγοντες ἀμφότεροι, καὶ τὸν χρόνον, ἐν ᾧ τὴν εἰρήνην ἔλυσαν, ἀκριβῶς δηλοῖ Φιλόχορος ἐν τῇ ἕκτῃ Ἀτθίδος βίβλῳ· θήσω δὲ ἐξ αὐτῆς τὰ ἀναγκαιότατα· Θεόφραστος Ἀλλαιεύς. Ἐπὶ τούτου Φίλιππος τὸ μὲν πρῶτον ἀναπλεύσας Περίνθῳ προσέβαλεν, ἀποτυχὼν δ' ἐντεῦθεν Βυζάντιον ἐπολιόρκει καὶ μηχανήματα προσῆγεν. ἔπειτα

[1] αὐτῷ

[2] ὑπερμιμνήσκων

gatis *Aristotelis* exemplaribus. Sylb.

Μέλλοντες] *Wolfii* editio habet μέλλοντος: versio tamen ejusdem agnoscit vulgatum μέλλοντες, *accepturi beneficium*. *Morellii* margo, itidemque margo *Wolfii*, post hoc ipsum μέλλοντες μὲν addit εὖ πάσχειν. quod in versione expressit idem Wolf. [Infra] *Aristot.* exemplaria habent πρὸς τὸ Θηβαίους Φίλιππον διϊέναι εἰς τὴν Ἀττ. [et mox] *Aristotelis* exemplaria habent βοηθῆσαι εἰς Φωκεῖς: pro quo *Dionys.* paulo post, v. 8. dicit πρὸς Φωκεῖς, *adversum Phocenses.* Idem.

Διέσπευσεν] *Aristot.* exemplaria pro διέσπευσεν habent ἐπίστευσε, et mox διήσουσι pro δώσουσι. Idem.

Δώσουσιν] Præter διήσουσιν quod Sylb. pro vulg. δώσουσιν ex Aristotelis exemplaribus affert, est et alia lectio non contemnenda, διοίσουσιν, eodem tendens. Sed superest maxima difficultas in illis διότι προεῖτο καὶ διέσπευσεν. Ego equidem nihil nunc melius extundo, quam hoc: διότι προέχουσιν ἃ καὶ διέσπευσαν, οὐ διήσουσιν (vel οὐ διοίσουσιν). *Si, priusquam ipsis adversus Phocenses opitularetur, eos transitum per agrum ipsorum rogasset, fuissent promissuri. Absurdum itaque foret, si nunc se nollent per agrum suum sinere pervadere, postquam a se impetrassent id, quod antea tum vehementer contendissent*, nempe Phocensium excidium. Fortasse προεῖτο defendi queat, si accipiatur pro, *quod passus esset opportunitatem sibi e manibus elabi.* προΐεσθαι, scil. τὸν καιρόν. sed tum διεπίστευσεν foret legendum. *prorsus ipsis credidisset.* Reisk.

Ἀλλαιεὺς] Ἀλαιεὺς legendum esse docent *Maussacus* ad *Harpocrat.* v. Ἀλαιεὺς, et *Holstenius* ad *Steph. Byzant.* v. Ἀλαί. Vide etiam *Meursii* Atticam Reliquam, lib. 1. pag. 7. Huds.

διεξελθὼν, ὅσα τοῖς Ἀθηναίοις ὁ Φίλιππος ἐνεκάλει διὰ τῆς ἐπιστολῆς, καὶ Δημοσθένους παρακαλέσαντος [1] αὐτὸν πρὸς τὸν πόλεμον καὶ ψηφίσματα γράψαντος, ἐχειροτόνησε [2] Δημοσθένης, φησὶ, Τὴν μὲν στήλην καθελεῖν τὴν περὶ τῆς πρὸς Φίλιππον εἰρήνης καὶ συμμαχίας σταθεῖσαν, ναῦς δὲ πληροῦν καὶ τὰ ἄλλα ἐνεργεῖν τὰ τοῦ πολέμου. ταῦτα γράψας κατὰ Θεόφραστον ἄρχοντα γεγονέναι, τῷ μετ᾿ ἐκεῖνον [3] ἐνιαυτῷ τὰ πραχθέντα μετὰ τὴν λύσιν τῆς εἰρήνης ἐπὶ Λυσιμαχίδου ἄρχοντος διεξέρχεται· θήσω δὲ καὶ τούτων αὐτῶν τὰ ἀναγκαιότατα· Λυσιμαχίδης Ἀχαρνεύς. Ἐπὶ τούτου τὰ μὲν ἔργα τὰ περὶ τοὺς νεωσοίκους καὶ τὴν σκευοθήκην ἀνεβάλοντο διὰ τὸν πόλεμον τὸν πρὸς Φίλιππον· τὰ δὲ χρήματ᾿ ἐψηφίσαντο πάντ᾿ εἶναι στρατιωτικὰ, Δημοσθένους γράψαντος. Φιλίππου δὲ καταλαβόντος Ἐλάτειαν καὶ Κυτίνιον, καὶ πρέσβεις πέμψαντος εἰς Θήβας Θετταλῶν, Αἰνιάνων, Αἰτωλῶν, Δολόπων, Φθιωτῶν· Ἀθηναίων δὲ κατὰ τὸν αὐτὸν χρόνον πρέσβεις ἀποστειλάντων τοὺς περὶ Δημοσθένη, τούτοις συμμαχεῖν ἐψηφίσατο. φανεροῦ δὲ γεγονότος τοῦ χρόνου, καθ᾿ ὃν εἰσῆλθον εἰς Θήβας [4] οἱ τῶν Ἀθηναίων πρέσβεις οἱ περὶ Δημοσθένη, καὶ οἱ παρὰ Φιλίππου, ὅτι κατὰ

[1] αὐτοὺς [2] Desunt v. Δημοσθένης, φησί. [3] ἐν αὐτῷ [4] οἵ τ᾿ Ἀθην.

Διεξελθὼν] Philochorus puta, ad quem refertur quoque paulo post γράψας, quod instaurandæ servit orationi. Reisk.

Αὐτὸν] *Steph.* et *Morellius* habent αὐτόν: ego cum *Wolfio* malui plurale αὐτοὺς, *Athenienses* videlicet. Idem *Wolf.* seq. v. ad explendam sententiam legit: ἐχειροτόνησε Δημοσθένης, φησὶ, τὴν μὲν στήλ. Ego hanc lectionem malim: καὶ ὡς Δημοσθένους παρακαλέσαντος αὐτοὺς πρὸς τὸν πόλεμον καὶ ψηφίσματα γράψαντος, ἐχειροτόνησεν ὁ δῆμος, τὴν μὲν στήλ. Sylb.

Ἐχειροτόνησεν] Malim in plurali ἐχειροτόνησαν, scil. Athenienses. Reisk.

Αὐτῶν] Dubito, servemne, an αὐτὰ præferam. Idem.

Πέμψαντος] Malit fortasse aliquis πεμψάντων: sed a Philippo missos esse legatos hosce, indicant sequentia, v. ult. et p. seq. v. 15. et p. cccxlviii. v. 1. Sylb.

Ἐψηφίσατο] Imo vero in plurali ἐψηφίσαντο, Thebani puta. Reisk.

Οἵ τε Ἀθηναίων] Est in hoc loco magna difficultas: φανεροῦ γεγονότος —— φανερὸν ποιήσει. Si e Philochoro jam de tempore constat, quid opus erat id e Demosthene doceri. Et ne docet quidem Demosthenes. Nam de Archonte Lysimachide ille ne verbum quidem. Ego desidero, quid Demosthenes in oratione pro Corona docuerit. Nam istud de tempore, non hic, sed Philochorus jam docuerat. Aliud requiro declarandum adhuc, diversum ab isto altero jam declarato. Nam φανεροῦ γεγονότος τοῦ χρόνου, ὅτι πίπτει Attice dictum est, pro φανεροῦ γεγονότος, ὅτι ὁ χρόνος πίπτει κατὰ Λυσιμ. et ὅτι πίπτει ad superiora referendum est e Philochoro excerpta, non ad insequentia e Demosthene repetenda. Idem.

Λυσιμαχίδην ἄρχοντα πίπτει, παρεσκευασμένων ἤδη τὰ πρὸς τὸν πόλεμον ἀμφοτέρων, αὐτὸς ὁ Δημοσθένης ποιήσει φανερὸν ἐν τῷ περὶ στεφάνου· θήσω δὲ ἐξ αὐτῆς λαβὼν τῆς ἐκείνου λέξεως τὰ συντείνοντα πρὸς τὸ πρᾶγμα· Οὕτω διαθεὶς ὁ Φίλιππος τὰς πόλεις πρὸς ἀλλήλας διὰ τούτων, καὶ τούτοις ἐπαρθεὶς τοῖς ψηφίσμασι καὶ ταῖς ἀποκρίσεσιν, ἧκεν ἔχων τὴν δύναμιν, καὶ τὴν Ἐλάτειαν κατέλαβεν, ὡς οὐδ᾽ ἂν, εἴ τι γένοιτο, ἔτι συμπνευσόντων ἡμῶν ἂν καὶ τῶν Θηβαίων. Ἀλλὰ μὴν τὰ τότε συμβάντα διεξελθὼν, διεξελθὼν δὲ καὶ τοὺς ῥηθέντας ὑφ᾽ ἑαυτοῦ λόγους ἐπὶ τῆς ἐκκλησίας, καὶ ὡς πρεσβευτὴς ὑπ᾽ Ἀθηναίων εἰς Θήβας ἐπέμφθη, ταῦτα κατὰ λέξιν ἐπιτίθησιν, Ὡς δ᾽ ἀφικόμεθα εἰς τὰς Θήβας, κατελαμβάνομεν Φιλίππου καὶ Θετταλῶν καὶ τῶν ἄλλων συμμάχων παρόντας πρέσβεις, καὶ τοὺς μὲν ἡμετέρους φίλους ἐν φόβῳ, τοὺς δ᾽ ἐκείνου θρασεῖς. Ἔπειτ᾽ ἐπιστολήν τινα κελεύσας ἀναγνωσθῆναι, ταῦτ᾽ ἐπιτίθησιν, Ἐπειδὴ τοίνυν ἐποιήσαντο τὴν ἐκκλησίαν, προσῆγον ἐκείνους, διὰ τὸ τὴν τῶν συμμάχων τάξιν ἐκείνους ἔχειν. καὶ παριόντες ἐδημηγόρουν, πολλὰ μὲν Φίλιππον ἐγκωμιάζοντες, πολλὰ δ᾽ ὑμῖν ἐγκαλοῦντες, πάνθ᾽, ὅσα πώποτε ἐναντία ἐπράξατε Θηβαίους, ἀναμιμνήσκοντες. τὸ δ᾽ οὖν κεφάλαιον, ἠξίουν, ὧν μὲν εὖ πεπόνθεσαν ὑπὸ Φιλίππου, χάριν αὐτοὺς ἀποδοῦναι· ὧν δ᾽ ὑφ᾽ ὑμῶν ἠδίκηνται, δίκην λαβεῖν, ὁποτέρως βούλονται, ἢ διϊέντας αὐτοὺς ἐφ᾽ ὑμᾶς, ἢ συνεμβαλόντας εἰς τὴν Ἀττικήν. Εἰ δὴ κατὰ Λυσιμαχίδην μὲν ἄρχοντα τὸν μετὰ Θεόφραστον, λελυμένης ἤδη

Ἡμῶν] Ὑμῶν in libris vulgatis *Demosthenis*. Huds.

Θηβαίους] Post Θηβαίους distinguunt etiam cæteræ editiones. sed non minus recte ante id nomen distinxerimus: ut accusativus iste feratur ad sequens verbum ἀναμιμνήσκοντες. Sylb. In vulgatis Demosth. [infra] v. 20. ἐκείνους προτέρους. v. 22. καὶ παρελθόντες. v. 23. ὑμῖν ἐγκαλοῦντες ἅπανθ᾽, ὅσα. v. 25. Θηβαίοις. v. 27. αὐτοῖς. Huds.

Αὐτοὺς] *Morellii* et *Wolfii* margo habet αὐτὸν, *eum*; recte. sic enim *Dionys.* pag. cccxlv. v. 7. αὐτῷ δοῦναι δίοδον. et pag. seq. v. 3. δίοδον τῷ Φιλίππῳ παρασχεῖν. Sylb. Bene potest habere atque defendi vulgata. *Sc*, Macedonas puta. Reisk.

τῆς εἰρήνης οἱ παρὰ Φιλίππου πρέσβεις εἰς Θήβας ἀπεστάλησαν, παρακαλοῦντες αὐτοὺς μάλιστα μὲν συνεισβάλλειν εἰς τὴν Ἀττικὴν, εἰ δὲ μὴ, δίοδον τῷ Φιλίππῳ παρασχεῖν, μεμνημένους τῶν εὐεργεσιῶν αὐτοῦ τῶν περὶ τὸν Φωκικὸν πόλεμον· ταύτης δὲ μέμνηται τῆς πρεσβείας Ἀριστοτέλης, ὡς ὀλίγῳ πρότερον ἐπέδειξα, τὰς ἐκείνου λέξεις παρασχόμενος· ἀναμφιλόγοις ἀποδέδεικται τεκμηρίοις, ὅτι πάντες οἱ Δημοσθένους ἀγῶνες, οἱ πρὸ τῆς Λυσιμαχίδου ἀρχῆς ἐν ἐκκλησίαις τε καὶ δικαστηρίοις γενόμενοι, πρότεροι τῶν Ἀριστοτέλους τεχνῶν εἰσίν.

ιβ΄. Ἑτέραν προσθήσω μαρτυρίαν παρὰ τοῦ φιλοσόφου λαβὼν, ἐξ ἧς ἔτι μᾶλλον ἔσται φανερὸν, ὅτι μετὰ τὸν πόλεμον, τὸν συμβάντα τοῖς Ἀθηναίοις πρὸς Φίλιππον, αἱ ῥητορικαὶ συνετάχθησαν ὑπ᾽ αὐτοῦ τέχναι, Δημοσθένους ἀκμάζοντος ἤδη κατὰ τὴν πολιτείαν, καὶ πάντας εἰρηκότος τούς τε δημηγορικοὺς καὶ τοὺς δικανικοὺς λόγους, ὧν ὀλίγῳ πρότερον ἐμνήσθην. διεξιὼν γὰρ τοὺς τόπους τῶν ἐνθυμημάτων ὁ φιλόσοφος, καὶ τὸν ἐκ τῆς αἰτίας τίθησι· παρέξομαι δὲ τὴν ἐκείνου λέξιν· Ἄλλος παρὰ τὸ ἀναίτιον ὡς αἴτιον, οἷον τῷ ἅμα ἢ μετὰ τοῦτο γεγονέναι· τὸ γὰρ μετὰ τοῦτο ὡς διὰ τοῦτο λαμβάνουσι, καὶ μάλιστα οἱ ἐν ταῖς πολιτείαις· ὡς ὁ Δημάδης τὴν Δημοσθένους πολιτείαν πάντων τῶν κακῶν αἰτίαν· μετ᾽ ἐκείνην γὰρ συνέβη ὁ πόλεμος. Ποίους γοῦν ὁ Δημοσθένης κατεσκεύασεν ἀγῶνας, ταῖς Ἀριστοτελείοις τέχναις ὁδηγοῖς χρησάμενος, εἰ πάντες οἱ δημόσιοι λόγοι, δι᾽ οὓς ἐπαινεῖταί τε καὶ θαυμάζεται, πρὸ τοῦ πολέμου γεγόνασιν, ὡς πρότερον ἐπέδειξα, πλὴν ἑνὸς τοῦ περὶ τοῦ στεφάνου; οὗτος γὰρ μόνος εἰς δικαστήριον εἰσελήλυθεν μετὰ τὸν πόλεμον, ἐπ᾽ Ἀριστοφῶντος ἄρχοντος [1]μὲν ἐνιαυτὸν μετὰ τὴν ἐν Χαιρωνείᾳ μάχην, [2]ὀκτὼ

[1] ὀγδόῳ μὲν ἐνιαυτῷ

[2] ἕκτῳ

Ἀναμφιλόγοις] Ἀναμφιβόλοις legitur in Cod. MS. Huds.

ιβ΄. Τὸν συμβάντα] Imo vero τὸν τότε συμβάντα. non de priore Atheniensium bello cum Philippo hic agitur, sed de posteriore, de quo erat definiendum. Reisk.

Ὡς ὁ Δημάδης] *Aristotelis* exemplaria (*Rhetor.* l. 2. c. 24.) pro ὡς habent οἷον ὡς. Huds.

Γοῦν] Malim οὖν. Reisk.

Ἐνιαυτὸν] *Morellii* et *Wolfii* margo habet ἐνιαυτῷ. unde recte legendum esse monuit Cl. *Bentleius*: ὀγδόῳ μὲν ἐνιαυτῷ —ἕκτῳ δὲ &c. Huds. Correxi locum

δὲ μετὰ τὴν Φιλίππου τελευτὴν, καθ' ὃν χρόνον Ἀλέξανδρος τὴν ἐν Ἀρβήλοις ἐνίκα μάχην. εἰ δέ τις ἐρεῖ τῶν πρὸς ἅπαντα φιλονεικούντων, ὅτι τοῦτον ἴσως ἔγραψε τὸν λόγον ταῖς Ἀριστοτέλους ἐντετυχηκὼς τέχναις, τὸν κράτιστον ἁπάντων λόγον· πολλὰ πρὸς αὐτὸν εἰπεῖν ἔχων, ἵνα μὴ μακρότερος τοῦ δέοντος ὁ λόγος γένηταί μοι, καὶ τοῦτον ἐπιδείξειν ὑπισχνοῦμαι τὸν ἀγῶνα πρὸ τῶν Ἀριστοτέλους τεχνῶν ἐπιτετελεσμένον, αὐτῷ χρησάμενος τῷ φιλοσόφῳ μάρτυρι. προθεὶς γὰρ τόπον ἐνθυμημάτων τὸν ἐκ τῶν πρὸς ἄλληλα, ταῦτα κατὰ λέξιν γράφει, Ἄλλος ἐκ τῶν πρὸς ἄλληλα· Εἰ γὰρ θατέρῳ ὑπάρχει τὸ καλῶς καὶ τὸ δικαίως ποιῆσαι, θατέρῳ τὸ πεπονθέναι· καὶ, Εἰ κελεῦσαι, καὶ τὸ πεποιηκέναι· οἷον, ὡς ὁ τελώνης Διομέδων, περὶ τῶν τελωνῶν· εἰ γὰρ μηδ' ὑμῖν αἰσχρὸν τὸ πωλεῖν, οὐδὲ ἡμῖν τὸ ὠνεῖσθαι· καὶ, Εἰ τῷ πεπονθότι τὸ καλῶς καὶ δικαίως ὑπάρχει, τῷ πεπραγμένῳ ὑπάρξει, καὶ τῷ ποιήσαντι, ἢ ποιοῦντι. ἔστι [3]δὲ τοῦτο παραλογίσασθαι· οὐ γὰρ, εἰ δικαίως ἔπαθεν ἂν, καὶ δικαίως ὑπὸ τούτου πέπονθεν· ὡς ὁ φόνου ἄξια ποιήσας πατὴρ, εἰ ὑπὸ τοῦ υἱοῦ τοῦ ἑαυτοῦ τὴν ἐπὶ θανάτῳ ἀπάγεται, δεῖ σκοπεῖν χωρὶς, εἰ ἄξιος ὁ παθὼν παθεῖν, καὶ ὁ ποιήσας ποιῆσαι· εἶτα χρῆσθαι ὁποτέρως ἂν

[1] δ' ἐν τούτῳ

hunc ad mentem Bentleii, qui in vulgatis omnibus ita legitur: ἄρχοντος μὲν ἐνιαυτὸν μετὰ τὴν ἐν Χαιρωνείᾳ μάχην, ὀκτὼ δὲ μετὰ τὴν Φιλίππου τελευτήν. Reisk.

Καὶ τὸ δικαίως] *Aristotelis* exemplaria (*Rhet.* l. 2. c. 23.) pro copulativa καὶ habent disjunctivam ἤ. Sylb.

Περὶ τῶν τελωνῶν] *Aristot.* exemplaria habent τελῶν: minus convenienter. Sylb. In *Cod. MS.* illa περὶ τῶν τελωνῶν desunt. Huds. Mihi videtur aut servanda est lectio, quæ versatur in libris Aristotelis, τελῶν, quia verba insequentia, αἰσχρὸν τὸ πωλεῖν, perspicue ad τὰ τέλη redeunt. *si vobis dedecori non est vectigalia vendere, ne nobis quidem erit ea emere.* aut alias περὶ τῶν τελωνιῶν leg. a τελωνία. aut denique, si lectionem vulgatam h. l. tuebimur, erit περὶ pro ὑπὲρ accipiendum, non *de* publicanis, sed *pro* iis, eorum defensionis ergo. Reisk.

Καὶ, εἰ τῷ πεπονθότι] In Aristot. exemplaribus sic legitur hic locus: καὶ εἰ τῷ πεπονθότι τὸ καλῶς, ἢ δικαίως, ὑπάρχει, καὶ τῷ ποιήσαντι· καὶ εἰ τῷ ποιήσαντι, καὶ τὸ πεπονθότι. ἔστι δ' ἐν τούτῳ [vulg. ἔστι δὲ τοῦτο] παραλογίσασθαι. εἰ γὰρ δικαίως ἀπέθανε, δικαίως πέπονθεν· ἀλλ' ἴσως οὐχ ὑπὸ σοῦ. διὸ δεῖ σκοπεῖν χωρ. Sylb.

Ὑπάρχει] Videtur sic legendum ὑπάρχει, scil. πεπονθέναι, ἀπὸ τῶν πεπραγμένων, ὑπάρξει καὶ τῷ ποιήσαντι. *Si laus rerum cum justitia, honestate et virtute gestarum ei adhærescit, ad quem illæ res profectæ,* vel *in quem collatæ sint, adhærescet illa laus ei quoque, a quo profectæ fuerint.* Reisk.

Ἔστι δὲ τοῦτο] Correxi ex Aristotele ἔστι δ' ἐν τούτῳ. Idem.

Ὁποτέρως] Malim ὁποτέρῳ in dativo.

ἁρμόττῃ· ἐνίοτε γὰρ διαφωνεῖ τὸ τοιοῦτον· ὥσπερ ἐν τῷ Ἀλκμαίωνι [1]τῷ Θεοδέκτου, καὶ οἷον ἡ περὶ Δημοσθένους δίκη, καὶ τῶν ἀποκτεινάντων Νικάνορα. Τίς οὖν ἐστὶν ἡ Δημοσθένους δίκη, καὶ τῶν ἀποκτεινάντων Νικάνορα, περὶ ἧς ὁ φιλόσοφος γέγραφεν, ἐν ᾗ τὸ κυριώτατον τῆς ἀμφισβητήσεως κεφάλαιον ἦν ἐκ τοῦ πρὸς ἄλληλα τόπου, ἢ ἡ πρὸς Αἰσχίνην, ὑπὲρ Κτησιφῶντος, τοῦ παρασχόντος Δημοσθένει τὸ περὶ τοῦ στεφάνου ψήφισμα, καὶ τὴν τῶν παρανόμων φεύγοντος γραφήν; ἐν ταύτῃ γὰρ τὸ ζητούμενον ἦν, οὐ τὸ κοινὸν, εἰ τιμῶν καὶ στεφάνων ἄξιος ἦν Δημοσθένης, ἐπιδιδοὺς ἐκ τῶν ἰδίων κτημάτων τὴν εἰς τὰ τείχη δαπάνην· ἀλλ᾽ εἰ καθ᾽ ὃν χρόνον ὑπεύθυνος ἦν, κωλύοντος τοῦ νόμου τοὺς ὑπευθύνους στεφανοῦν. τὸ γὰρ ἐκ τῶν πρὸς ἄλληλα τοῦτ᾽ ἔστιν, εἰ, ὥσπερ τῷ δήμῳ τὸ δοῦναι, [2]οὕτω καὶ τῷ ὑπευθύνῳ τὸ λαβεῖν τὸν στέφανον ἐξῆν. ἐγὼ μὲν οὖν ταύτης οἴομαι τῆς δίκης μεμνῆσθαι τὸν Ἀριστοτέλη. εἰ δέ τις ἐρεῖ, ὅτι περὶ τῆς τῶν δώρων, ἣν ἐπ᾽ Ἀντικλέους ἄρχοντος ἀπελογήσατο, περὶ τὴν Ἀλεξάνδρου τελευτὴν, [3]πολλῷ νεωτέρας ἔτι ποιήσει τὰς Ἀριστοτέλους τέχνας τῶν Δημοσθένους ἀγώνων. ἀλλὰ γὰρ ὅτι μὲν οὐχ ὁ ῥήτωρ παρὰ τοῦ φιλοσόφου τὰς τέχνας παρέλαβεν, ἃς εἰς τοὺς θαυμαστοὺς ἐκείνους κατεσκεύασε λόγους, ἀλλὰ τοὐναντίον τὰ Δημοσθένους καὶ τὰ τῶν ἄλλων ῥητόρων ἔργα παραθέμενος Ἀριστοτέλης, ταύτας ἔγραψε τὰς τέχνας, ἱκανῶς ἀποδεδεῖχθαι νομίζω.

[1] τοῦ [2] οὕτως [3] πολλῶν

quod idem est dictu, atque si dixisset χρῆσθαι τούτῳ, ὁπότερον ἄν. Idem.

Διαφωνεῖ] Post διαφωνεῖ τὸ τοιοῦτον *Aristot.* exempl. habent hoc præterea commation, καὶ οὐδὲν κωλύει. *Alcmæonis* quoque *Theodectei* verba, ab *Aristotele* relata, *Dionysius* brevitatis causa omisit. Sylb.

Καὶ τῶν ἀποκτεινάντων Νικάνορα] Verba hæc, ut ab hoc loco aliena, et perperam e superioribus iterata, delenda sunt. hic enim non agitur, nisi de causa Demosthenis, a qua causa Nicanoris prorsus est aliena. Reisk.

Ἢ ἡ] Aut delendum est ἤ, aut superius τίς accipiendum est pro τίς ἄλλη, *quænam alia*, cui respondeat hoc ἢ ἡ—*quam.* aut deest hic aliquid, aut εἰ μὴ ἡ—aut οὐδεμία ἄλλη, ἢ ἡ—aut τίς ἄλλη, ἢ ἡ—responsio ad superiorem interrogationem, forma novæ interrogationis convestita. *ecquænam erit alia, nisi*—Idem.

Ἐν ταύτῃ] *Wolfianæ* edit. margo pro ἐν ταύτῃ habet ἐν τούτῳ. Sed is, qui *Morellianæ* editionis διττογραφίας ex illo margine in *Wolfianæ* edit. marginem transscripsit, *Morellianas* notas parum observavit; annotatio enim *Morelliana*, ἐν τούτῳ refertur ad τοῦτο, quod est p. cccxlix. v. 18. [in vulgatis puta pro τούτῳ] significans scilicet, pro *Dionysiano* τοῦτο apud *Aristot.* legi ἐν τούτῳ. Sylb.

Τῆς τῶν δώρων] Subaudi τῶν Ἁρπαλείων. Reisk.

Καὶ τὰ τῶν κ. τ. λ.] *Aristotelem* e veteribus *artis Rhetoricæ* scriptoribus suas præceptiones collegisse, testatur etiam *Cicero*, l. 2. *de Inventione*, et l. 2. *de Oratore*. Sylb.

ΔΗΜΟΣΘΕΝΟΥΣ

ΦΙΛΙΠΠΙΚΟΙ.

ΖΩΣΙΜΟΥ ΑΣΚΑΛΩΝΙΤΟΥ ΕΙΣ ΔΗΜΟΣΘΕΝΗΝ

ΒΙΟΣ ΔΗΜΟΣΘΕΝΟΥΣ.

ΔΕΥΤΕΡΩΙ λοιπὸν ἐπιβῆναι τῷ Παιανιεῖ, καιρός· καὶ μή μοι χαλεπήνης, ὦ θεῖα κεφαλὴ, δεύτερος ταττόμενος, ἡδέως ἂν πρὸς αὐτὸν ἐφθεγξάμην. εἰ γὰρ δεῖ τἀληθὲς λέγειν, αὐτὸς σὺ σαυτῷ ταύτην τὴν τάξιν προὐξένησας, μηδαμοῦ τῇ νεότητι τῷ μεγέθει τῶν ῥημάτων ἐπιδιδοὺς σεαυτὸν, μηδὲ ἀμύητα ῥητορικῶν συγχωρῶν ἐπιβῆναι τοῖς σοῖς. Διὸ προτελεσθέντες τοῖς τοῦ Θεοδώρου, οὕτως τοῖς σοῖς μυστηρίοις ἐπιχειρεῖν τολμῶμεν. προσευξάμενοι οὖν τὸν Θεσπέσιον ῥήτορα, καὶ κρατῆρα στησάμενοι τἀνδρὶ, ὅπως ἂν δυνηθείημεν ἀρκέσαι τοῖς αὐτοῦ, οὕτω χωρήσομεν εἰς τὸ τἀκείνου διελθεῖν. τί γὰρ οὐ μέγα τε καὶ θαυμάσιον τῶν ἐκείνου; ὃς Ἀθήνας μὲν πρῶτον εὐτυχεῖ πατρίδα, δῆμον δὲ Παιανιέα· ἐκ γονέων δὲ μὴ πάνυ τι σεμνῶν προελθὼν, τοῖς αὐτοῦ τἀκείνων συνέκρυψεν· πατρὸς μὲν γὰρ ἦν, ὁμωνύμου μὲν τὴν προσηγορίαν, τῇ δὲ τέχνῃ μαχαιροποιοῦ, (ὅ ἐστιν ἐργαστήριον ἔχοντος μαχαιροποιῶν, ὡς εἴπομεν ἤδη περὶ τοῦ πατρὸς Ἰσοκράτους,) μητρὸς δὲ Κλεοβούλης μὲν ὀνόματι, Σκυθίδος δὲ τὸ γένος. Γύλων γὰρ, ὁ πάππος αὐτοῦ, Νυμφαῖον προδοὺς, τόπον τινὰ ἐν τῷ Πόντῳ, μέλλων ποιεῖσθαι τὴν κρίσιν ὑπὲρ τούτου, φυγὼν παρὰ τοῖς τοῦ Πόντου δυνάσταις, καὶ τοὺς καλουμένους Κήπους, τόπους τινὰς, καρποῦσθαι λαβὼν παρ' αὐτῶν, γυναῖκα ἐκεῖσε Σκυθίδα ἠγάγετο, ἐξ ἧς ἔσχε τὴν Κλεοβούλην, τὴν μητέρα τοῦ ῥήτορος. αὕτη γὰρ πεμφθεῖσα ὑπὸ τοῦ πατρὸς λάθρα

Δευτέρῳ λοιπὸν] Sic Paris. interponit Romanus μὲν. Significat auctor, ab interpretatione Isocratis ad interpretationem Demosthenis se jam transire. Reisk.

Δεῖ] Sic Rom. δὴ Paris. Idem.

Τῷ μεγέθει] Id est διὰ τὸ μέγεθος. qui ea sis usus orationis magnificentia, ut nusquam tui copiam dederis juventuti, h. e. tironibus sis invius. Idem.

Ἀμύητα] Sic ambo codices. Sed lego ἀμυήτους. iisque, qui rhetorices sacris nondum initiati sint, haud permittens limina tuorum sacrariorum calcare. Idem.

Ὁ τοῦ Θεοδώρου (scil. υἱὸς) est Isocrates. Idem.

Ποιεῖσθαι] Imo vero ὑπομένειν. Verum ingenio ne abutamur ad eluendum has orationis sordes. Idem.

εἰς Ἀθήνας, καὶ γαμηθεῖσα Δημοσθένει τῷ μαχαιροποιῷ, τίκτει τοῦτον τὸν ῥήτορα. καταλειφθεὶς δὲ ὄρφανος ἀπὸ τοῦ πατρὸς, αὐτὸς ἑαυτοῦ τῇ φρονήσει τε καὶ συνέσει πατὴρ ἐγένετο. ὡς γὰρ ἑώρα τοὺς καταλειφθέντας αὐτῷ παρὰ τοῦ πατρὸς ἐπιτρόπους οὐκ ἐπιτρόπων μᾶλλον ἔργον ποιοῦντας, ἀλλὰ πολεμίων, τῷ κακῶς κεχρῆσθαι τῇ αὐτοῦ οὐσίᾳ, παῖς μὲν ὢν ἔτι, καὶ κατηγορεῖν ἐκείνων κωλυόμενος τῇ τῶν νέων ἡλικίᾳ, τέως μὲν τὰ τῶν νέων ἐποίει, καὶ διδασκάλοις τε ἑαυτὸν καὶ παιδεύσει παρεδίδου, ἵνα σχοίη τὴν κατηγορίαν ὡς εἰπεῖν ἠκονημένην ἐκ τῶν λόγων κατ' ἐκείνων, εἰς ἄνδρας ἐγγραφείς. διὸ καὶ, ὡς μιαροί τινες, οἱ ἐπίτροποι, τοῦτο αὐτὸ ἐνθυμηθέντες, καὶ τῶν διδασκάλων αὐτοῦ τοὺς μισθοὺς ἀπεστέρουν, ὅπως ἐμποδὼν γένοιτο τοῦτο αὐτὸ πρὸς τὸ μανθάνειν σπουδαίως ἐκεῖνον. ὅμως πάντα ποιῶν ὁ θεῖος ἀνὴρ, φιλοσόφων μὲν ἑαυτὸν παρεδίδου Πλάτωνι· ῥητορικῶν δὲ ἐπιθυμήσας ἐκ τοῦ ἀκούειν Καλλιστράτου τοῦ ῥήτορος, ῥητορεύοντός τε καὶ εὐδοκιμοῦντος, Ἰσαίῳ ἐφοίτα, ἑνὶ τῶν ι ῥητόρων τῶν κριθέντων ἀναγινώσκεσθαι. καὶ οὕτως αὐτὸν λέγεται μιμήσασθαι, ὥστε αὐτοῦ νομίζεσθαι τοὺς κατὰ τῶν ἐπιτρόπων λόγους· ἀρτίως γὰρ ἦν ἐξελθὼν ἀπὸ τῆς ἐκείνου διατριβῆς. ἐζήλωσε δὲ μάλιστα τῶν πρὸ αὐτοῦ τὸν συγγραφέα Θουκυδίδην, καὶ τὰ πλεῖστα ἐκ τῶν ἐκείνου λόγων ἐπὶ τὸ πολιτικώτερον μετέφρασεν· καὶ οὕτως λέγεται αὐτὸ ἐκμεμαθηκέναι, ὥστε φέρεσθαί τι τοιοῦτον περὶ αὐτοῦ. ὅτι ποτὲ καείσης τῆς βιβλιοθήκης ἐν Ἀθήναις, καὶ συγκαεισῶν τῶν ἱστοριῶν Θουκυδίδου, αὐτὸν μόνον ἀπομνημονεῦσαι πασῶν, καὶ οὕτως μεταγραφῆναι ποιῆσαι. ἐπιτροπευθεὶς δὲ δέκα ἔτη, καὶ ἐγγραφεὶς ὀκτωκαιδεκαέτης εἰς ἄνδρας· (οὕτως γὰρ ἐνεγράφοντο παρ' Ἀθηναίοις,) κρίνας τοὺς ἐπιτρόπους, εἷλε τὴν δίκην, καὶ ἀπήτησεν αὐτοὺς, οὐχ ὅσα ἐδυνήθη δεῖξαι παρὰ τοῖς δικασταῖς αὐτοὺς χρεωστοῦντας, ἀλλ' ὅσα συνῄδει ἑαυτῷ κατὰ τὸ ἀληθὲς ἠδικημένῳ. τὸ μὲν γὰρ ἦν τῆς δεινότητος τῆς ῥητορικῆς, τὸ δὲ τῆς Δημοσθένους φιλανθρω-

Αὐτὸ] Sic ambo codices. sed leg. αὐτῷ. Idem.

Ἀναγινώσκεσθαι] Qui digni habiti sunt a grammaticis, quorum scripta legenda et imitanda proponerentur juventuti eloquentiæ studiosæ. Idem.

Αὐτοῦ] Isæi puta. Idem.

πίας. λ γὰρ τάλαντα ἀποδείξας αὐτοὺς τοὺς τρεῖς χρεωστοῦντας, ιδ μόνον ἀπήτησεν. ἦσαν δὲ οὗτοι οἱ τρεῖς Ἄφοβος, Δημοφῶν, Θηριππίδης. πολλὰ δὲ ἐκ φύσεως ἔχων ἐλαττώματά τε καὶ νοσήματα, ἐπιμελείᾳ τὴν φύσιν ἐνίκησεν· καὶ γὰρ τὸ στόμα τραυλὸς ἦν, καὶ τὴν ἀκοὴν ἀσθενὴς, ὡς μὴ δύνασθαι φέρειν κραυγάς τινας, ἢ κτύπους, καὶ τὸ πνεῦμα ἄτονος, ὡς μηδὲ ἓν ἔπος εἰπεῖν ἀπνευστὶ δύνασθαι· καὶ τὴν κίνησιν τοῦ σώματος ἀπρεπὴς καὶ μαλακώτερος, ὁπότε δέοι λέγειν, κινῶν γὰρ ἀεὶ τοὺς ὤμους, περιέῤῥιπτε τὸν τρίβωνα κατὰ τῆς γῆς. ἐπηνορθώσατο δὲ ταῦτα πάντα διὰ τούτων τῶν τρόπων· τὸν μὲν γὰρ τραυλισμὸν, ἐμβάλλων τινὰς ψήφους ἐν τῷ στόματι, καὶ τῶν Ὁμήρου συνεχῶς ἔπος τι λέγων, τό. Ῥόχθει γὰρ μέγα κῦμα ποτὶ ξερὸν ἠπείροιο. οὕτως δὲ τοῦτο ἐπηνορθώσατο, ὥστε εἰσελθόντα εἰπεῖν τοῖς Ἀθηναίοις ἐκεῖνο τὸ περιφερόμενον· Ἥκω φέρων ὑμῖν τὸ ρ καταρερητορευμένον· διὰ τοῦτο δὲ εἶπε τὸ ρ, ἐπειδὴ ὡς ἐπὶ τὸ πλεῖστον οἱ τραυλοὶ ἀεὶ περὶ τὸ γράμμα τοῦτο σφάλλονται, τὸ λ ἀντὶ τοῦ ρ προφέροντες. καὶ τοὺς θορύβους δὲ φέρειν ἐμελέτησεν, ἐπὶ τὴν θάλατταν κατιὼν, καὶ πρὸς τὸν ἦχον τῶν κυμάτων λογοποιούμενος. καὶ τὸ πνεῦμα διαρκὲς κατεσκεύασεν οὕτως· πρὸς ὑψηλά τινα χωρία τρέχων, καὶ ῥήσεις λέγων τινάς. τὸ δὲ σχῆμα τῆς ἐν τῷ λέγειν κινήσεως, καὶ τοῦτο ἰάσατο, τὰ μὲν πρῶτα ξίφος ἐξαρτήσας ἐκ τῆς στέγης τῆς οἰκίας ἑαυτοῦ, καὶ ὑποκάτω τούτου ἱστάμενος, ἵνα τῷ φόβῳ τῆς προσδοκίας τοῦ πεσεῖσθαι κατὰ τῶν ὤμων αὐτοῦ ἐκεῖνο, ἀκινήτους ἔχῃ αὐτούς· ὕστερον δὲ καὶ πρὸς κάτοπτρον ἀνδρόμηκες ταῖς μελέταις χρώμενος. οὐ μόνον δὲ ἐν νέοις οὕτως ἑαυτοῦ ἐπεμελεῖτο, ἀλλ' ἤδη καὶ τέλειος ἀνὴρ γενόμενος. καὶ γὰρ αὐτόν φασιν, ἀνδρῶν ἄγοντα ἡλικίαν, ξυρῶντά ποτε τοῦ πώγωνος τὸ ἥμισυ, ὅπως μὴ προΐοι δι' αἰσχύνην, οἴκαδε καθείρξαντα ἑαυτὸν ἀσκεῖσθαι. λογογραφεῖν δὲ ἀρξάμενος, καὶ εἰς τὰ ἰδιωτικὰ, καὶ εἰς τὰ δημόσια, καὶ πολλοὺς ἐκδοὺς λόγους δικαζομένοις, ὕστερον τούτων ἐπαύσατο διὰ τοιαύτην αἰτίαν· Ἀπολλοδώρῳ καὶ Φορμίωνι δικαζομένοις

Μὲν γὰρ τραυλισμὸν] Γὰρ e Romano addidi. Idem.

Τό.] Malim οἷον τὸ· ῥόχθει — Idem.

Πρὸς ὑψ.] Sic Paris. καὶ πρὸς Rom. Idem.

πρὸς ἑαυτοὺς, ἤλω ἀμφοτέροις λόγους ἐκδοὺς κατ᾽ ἀλλήλων. ὅθεν μισήσας τοῦτο τὸ ἔργον, ἐπὶ τὸ παιδεύειν λοιπὸν ἐτράπη. καὶ παρὰ τὰς ἀρχὰς μὲν εὐτυχήσας, ἔν τε τῷ πλήθει τῶν μαθητῶν, καὶ τῷ εὔνους εἶναι αὐτῷ πάντας τοὺς φοιτῶντας, ὕστερον καὶ τούτου ἀπέσχετο διὰ ταύτην τὴν αἰτίαν· Ἀρίσταρχόν τινα, υἱὸν Μόσχου, ἔχων μαθητὴν εὐνούστατόν τε καὶ θρασὺν, καὶ φονεύσαντα τοὺς ἀντιπολιτευομένους αὐτῷ, τόν τε Νικόδημον τὸν Ἀφιδναῖον, καὶ Εὔβουλον τὸν πολιτευόμενον, αὐτὸς ὑπενοήθη ὑποβαλεῖν τῷ Ἀριστάρχῳ τοῦτο ποιῆσαι. ἀπαλλαγεὶς δὲ καὶ τούτου τοῦ ἐπιτηδεύματος, ὕστερον ὁρῶν φυόμενόν τε καὶ ἀκμάζοντα κατὰ τῆς Ἑλλάδος τὸν Φίλιππον, ἐτράπη ἐπὶ τὸ γράφειν λόγους κατ᾽ ἐκείνου καὶ τῶν προδιδόντων ἐκείνῳ· ἐτριηράρχησε δὲ καὶ ἐχορήγησε τῇ πόλει, καὶ εἰσφορὰς ἐποιήσατο χρημάτων πολλάκις, καὶ κόρας ὀρφανευθείσας καὶ πενιχρὰς ἐπιγάμους πρὸς γάμον ἐξέδωκε, καὶ λύσεις αἰχμαλώτων Ἀθηναίων ἐποιήσατο· ὅθεν πολλάκις εὐνοίας τῆς πρὸς τὴν πόλιν χρυσοῖς στεφάνοις ἐστεφανώθη. Ἁρπάλου δέ τινος χρήματα κεκλοφότος παρ᾽ Ἀλεξάνδρου τοῦ Φιλίππου, καὶ φυγόντος παρ᾽ Ἀθηναίοις καὶ ἀποθανόντος ἐν τῷ δεσμωτηρίῳ, ὑπονοηθεὶς, ὡς λαβὼν παρ᾽ αὐτοῦ χρήματα, κριθεὶς ἐπὶ πεντήκοντα ταλάντοις, ἔφυγεν εἰς Αἴγιναν· ὕστερον δὲ ἀφείσης αὐτῷ τῆς πόλεως, ἐπανῆλθεν, καὶ πάλιν κατ᾽ Ἀλεξάνδρου ἔλεγε, τοῦ παιδὸς Φιλίππου, ὡς καὶ κατὰ τοῦ πατρὸς αὐτοῦ. κρατήσαντος δ᾽ Ἀλεξάνδρου τῆς Ἑλλάδος, καὶ μέλλοντος ἐλθεῖν καὶ ἐπὶ τὰς Ἀθήνας, ἐξαιτηθεὶς παρ᾽ αὐτοῦ οὐκ ἐδόθη, τῶν Ἀθηναίων πρεσβευσαμένων πρὸς αὐτὸν, καὶ λεγόντων, ὅτι ἐν σοί ἐστι καὶ τὸ λαβεῖν καὶ τὸ μὴ λαβεῖν, ὁπότε καὶ τὴν πόλιν αὐτήν· ὅμως φρόνησόν τε καὶ βούλευσαι ἄξιον τῆς σεαυτοῦ φύσεως. ὁ δὲ ἐπικλασθεὶς τῷ ἐλέῳ καὶ γελάσας, ἀνεχώρησεν· ἔσχε γὰρ τὸ φιλάνθρωπον μετὰ τῆς δυναστείας, ἧπερ ὁ αὐτοῦ πατήρ. ὡς δὲ καὶ Ἀλέξανδρος ἐτε-

Πολλάκις] Sic Paris. πολλῆς Rom. Idem.

Παρ᾽ Ἀθηναίοις] Imo vero παρ᾽ Ἀθηναίους. verum jam supra in hunc solœcismum impegerat, initio opusculi, in illis φυγὰν παρὰ τοῖς τοῦ Πόντου δυνάσταις, pro παρὰ τοὺς τ. Π. δυνάστας. sed relinquendæ sunt isti fæci græcitatis suæ sordes. Idem.

Ἧπερ] Sic emendandum esse adscripsciat Schweighæuserus. nam in utroque

λεύτησε, καὶ τὴν τούτου βασιλείαν διεδέξατο Ἀντίπατρός τις τῶν παρασπιστῶν ἐκείνου, πάλιν καὶ κατὰ τούτου ἐδημηγόρει. ἀμέλει καὶ φρουρὰν καταστήσαντος Ἀλεξάνδρου ἐν ταῖς Θήβαις μετὰ τὸ κατασκάψαι τοὺς Θηβαίους, διὰ τὸ ἀπογυμνώσασθαι αὐτῷ ἐν τῇ πολιορκίᾳ, καὶ ὑβρίσαι αὐτὸν, ἐναντία πράττων ὁ Δημοσθένης τῷ Ἀντιπάτρῳ ἔπεισεν Ἀθηναίους, ὥστε ἐξελθεῖν καὶ ἐξελάσαι ταύτην τὴν φρουράν. ὅθεν ὀργιζόμενος Ἀντίπατρος ἐστράτευσε κατὰ τῶν Ἀθηναίων. προορώμενος δὲ ὁ Δημοσθένης, ὡς ὅτι οὐκ ἐλεηθήσεται παρὰ τούτου ἐξαιτηθεὶς, διὰ τὸ ὠμόν τε καὶ βίαιον τοῦ ἀνδρὸς, ἔφυγεν εἰς τὸ ἱερὸν τοῦ Ποσειδῶνος τὸ ἐν τῇ Καλαυρίᾳ, τῇ νήσῳ τῇ πρὸς τῇ Τροιζῆνι. μέλλων δὲ ἄγεσθαι πρὸς Ἀντίπατρον ὑπὸ Ἀρχίου τοῦ ὑποκριτοῦ τοῦ πεμφθέντος πρὸς αὐτὸν, καὶ παρακρουομένου αὐτὸν, ὡς οὐκ εἰς θάνατον ἄγοιτο, ἀπεκρίνατο αὐτῷ, ὡς ὅτι οὐδέποτέ μοι ἤρεσας, οὔτε ὑποκρινόμενος, οὔτε νῦν με πείθων. καὶ τοῦτο εἰπὼν, μικρὸν παρεξελθὼν, ἵνα μὴ μιάνῃ τῷ θανάτῳ τὸ ἱερὸν, λαβὼν, ὃ ὑπὸ τῇ σφραγῖδι εἶχε, φάρμακον, εἰς τοῦτο ἐκ πολλοῦ αὐτῷ κατεσκευασμένον, ἑκὼν ἀπέθανεν. ἐβίωσε δὲ ἔτη ξ καὶ τρία· ἐγεννήθη δὲ ἐνιαυτῷ πρότερον τῆς ἑκατοστῆς Ὀλυμπιάδος. εἰκόνα δὲ αὐτοῦ ἔστησαν οἱ Ἀθηναῖοι ἐν τῷ Κεραμεικῷ χαλκῆν, θαυμάσαντες αὐτοῦ τήν τε ἀρετὴν καὶ τὴν εὔνοιαν, ἣν εἶχε περὶ τὴν πόλιν. ἐπεγέγραπτο δὲ τῇ εἰκόνι αὐτοῦ τοῦτο τὸ ἐπίγραμμα.

εἴπερ ἴσην γνώμῃ ῥώμην, Δημόσθενες, ἔσχες,
οὔποτ' ἂν Ἑλλήνων ἦρξεν Ἄρης Μακεδών.

ἀπέθανε δὲ ἕκτῃ ἐπὶ δέκα τοῦ Πυανεψιῶνος μηνὸς, ἥτις ἐστὶν Ἀθήνησι σκυθρωποτάτη ἡμέρα, διὰ τὸ συμβαίνειν τότε εἶναι τὰ Θεσμοφόρια, καὶ νηστεύειν τότε τὰς γυναῖκας. κατέλειψε δὲ πολλοὺς λόγους. οἷον τοὺς φιλιππικοὺς, τοὺς δημοσίους, τοὺς ἐπιτροπικοὺς, τοὺς ἰδιωτικοὺς, τὰ προοίμια, τὸν ἐρωτικὸν, τὸν ἐπιτάφιον, τὰς ἐπιστολάς.

codice est ἧπερ. Idem.

Αὐτῷ κατεσκευασμένον] Interponit Paris. τοῦτο, quod a Romano abest. Idem.

Τότε εἶναι τὰ Θεσμοφ.] Infinitivum εἶναι, qui Parisino deest, addidi e Romano. Idem.

ΕΤΕΡΟΣ Ο ΔΗΜΟΣΘΕΝΟΥΣ ΒΙΟΣ.

Ο ΔΗΜΟΣΘΕΝΟΥΣ βίος τοῦ ῥήτορος ἀναγκαῖός ἐστι τοῖς ἐπὶ ῥητορικὴν ἀσκοῦσιν ἑαυτούς· πολλὴν γὰρ ὁ βίος αὐτοῦ φέρει τοῖς μαθοῦσιν ὠφέλειαν. ὅθεν, ὅσα περὶ τ' ἀνδρὸς πυνθανόμεθα, λέγωμεν διὰ συντόμων, ὅστις τε ἦν διεξιόντες καὶ τίνος, καὶ ἃ τὴν πόλιν διώρθωσεν· ἀπὸ δὲ τοῦ γένους αὐτοῦ πρῶτον ἀρξώμεθα. ταῦτα τοίνυν ἐστὶν, ἃ περὶ Δημοσθένους πυνθανόμεθα. Γύλων ἀνὴρ Ἀθηναῖος, φθονηθεὶς οἶμαι δι' ἀρετὴν (οἰκεῖον γὰρ καὶ σύνηθες τῇ πόλει τοῦτο τὸ πάθος) αἰτίαν ἔσχεν προδεδωκέναι Νύμφαιον, χωρίον ἐν Πόντῳ κείμενον. ἀδοξήσας δὲ διὰ τὴν ἐκ τῆς κατηγορίας ὕβριν, τάχα δὲ φοβηθεὶς τοὺς συκοφάντας, (ἰσχυρὸν γὰρ ἐν Ἀθήναις τὸ τούτων γένος) τὴν τούτων κρίσιν οὐ περιέμεινε, τῆς δὲ κατηγορίας προεξῆλθεν, καὶ παραγενόμενος εἰς Σκυθίαν, γαμεῖ τῶν ἐπιχωρίων τινὸς θυγατέρα, πολλὴν προῖκα σὺν αὐτῇ λαβών. δύο δὲ γεννήσας καὶ θρέψας θυγατέρας, ὡς τὴν τοῦ γάμου ὥραν ἐπέλαβον, ἑτοιμάσας προῖκας αὐταῖς, εἰς Ἀθήνας ἔπεμψε, κομίσασθαι τὴν πατρίδα θελήσας, εἰ καὶ μὴ δι' ἑαυτοῦ, διὰ γοῦν τῶν θυγατέρων. ἔγημε δὲ τὴν μὲν Φιλοχάρης, τὴν δὲ ἑτέραν Δημοσθένης, τὸν μὲν δῆμον Παιανιεὺς, μαχαιροποιὸς δὲ τὴν τέχνην. ἐξ ἧς ἐγέννησε τὸν ῥήτορα Δημοσθένην, ὀνόματος μὲν πατρῴου κληρονόμον, οὔτε δὲ τέχνης, οὔτε τύχης ὁμοίας διάδοχον. ἀποθανόντος δὲ τοῦ πατρὸς, καταλειφθεὶς ὑπὸ μητρὶ, τρεῖς ἔσχεν ἐπιτρόπους, συγγενεῖς μὲν καὶ φίλους, ἐχθροὺς δὲ τῇ διαθέσει, Ἄφοβον καὶ Δημοφῶντα, ἀλλήλων ἀδελφιδοῦς, καὶ Θηριππίδην, φίλον αὐτοῦ τῷ πατρὶ ἐκ παίδων γεγενημένον. πολλὴν δὲ οὗτοι παραλαβόντες οὐσίαν, δέον αὐτὴν ἐκ τῆς ἐπιτροπῆς ποιῆσαι πλείονα, καὶ τηρῆσαι τὸν ὀρφανὸν πλούσιον, οὐ μόνον διήρ-

Ὁ Δημοσθένους] Interponit Paris. περί. sed annotaverat Schweighæuserus, illam præpositionem a nova manu punctis undique vallatam esse. Quod indicat eam esse cancellandam. Idem.

Lego τάχα δὲ καὶ φοβηθείς. Idem.

Ἰδίαν] Hæc est lect. vulg., sed οἰκείαν, quod Codd. L. M. Dd. Ee. apud Auger. et Obsop. habent, recep. Bekk., verum horum librorum fides, ut infra videbimus, non satis certa, et videtur οἰκείαν ex Olynth. II. (I.) §. ς'., quem locum Noster innuit, fluxisse. Idem.

ΟΛΥΝΘΙΑΚΟΣ Β. (Α.)

18 ά. ΕΠΙ πολλῶν μὲν ἄν τις ἰδεῖν, ὦ ἄνδρες Ἀθηναῖοι, 25
δοκεῖ μοι τὴν παρὰ τῶν θεῶν εὔνοιαν φανερὰν [1] γιγνομένην τῇ πόλει, οὐχ ἥκιστα δὲ ἐν τοῖς παροῦσι πράγμασι· τὸ γὰρ τοὺς πολεμήσοντας Φιλίππῳ γεγενῆσθαι καὶ χώραν

[1] γενομένην

ά. Ἐπὶ πολλῶν] Πραγμάτων. Wolf.

Ἄν τις ἰδεῖν] Δύνασθαι ὁρᾶν. Observa, ἐπὶ πολλῶν μέν· οὐχ ἥκιστα δὲ ἐν τοῖς παροῦσι πράγμασι, ἀντὶ τοῦ, καὶ μάλιστα. Idem.

Τὴν παρὰ τῶν θεῶν] Οὖσαν ἢ ὑπάρχουσαν. τὴν τῶν θεῶν· τὴν θείαν. Idem.

Θεῶν εὔνοιαν] Deorum benevolentiam laudat §. ή. Phil. I. §. ιέ. med. cfr. Cic. Catil. II. 13. III. 8, 9. Rüdig.

Γενομένην] In nonnullis libris γιγνομένην, quod Bekk. rec., sed illud prætuli, tum quia opponitur παροῦσι, tum quia Aristid. p. 206. hanc lectionem confirmat; vid. ad Olynth. III. (II.) §. γ'. Idem.

Τὸ γὰρ τοὺς πολεμήσοντας] Similem infinitivi usum vid. Olynth. I. (III.) §. γ'. Pro πολεμήσοντας Wolf. ex Fel. dedit πολεμήσαντας: sed hoc tempore si utitur, sensus est: quod, qui tenent regionem finitimam, facti sint tales, ut *possint* bellum gerere cum Phil., non ut *gesturi sint*, quæ mens videtur scriptoris fuisse, vid. Herm. d. em. rat. gr. gr. p. 187.; ceterum vel ex hoc loco concludas, hanc orationem primum tenere locum, nam Olynth. I. (III.) §. έ. et alibi videtur Phil. jam urbem obsidione pressisse. Idem.

Γεγενῆσθαι κεκτημένους] Τουτέστιν, ὅτι οἱ πολεμήσοντες κέκτηνται· ἢ ἀνάπαλιν μᾶλλον,

ὅμορον καὶ δύναμίν τινα κεκτημένους, καὶ τὸ μέγιστον
ἁπάντων, τὴν ὑπὲρ τοῦ πολέμου γνώμην τοιαύτην ἔχοντας,
ὥστε τὰς πρὸς ἐκεῖνον διαλλαγὰς πρῶτον μὲν ἀπίστους,
εἶτα τῆς ἑαυτῶν πατρίδος νομίζειν ἀνάστασιν εἶναι, δαι-
μονίᾳ τινὶ καὶ θείᾳ παντάπασιν ἔοικεν εὐεργεσίᾳ. δεῖ τοί-
νυν, ὦ ἄνδρες Ἀθηναῖοι, τοῦτ' ἤδη σκοπεῖν αὐτούς, ὅπως
μὴ χείρους περὶ ἡμᾶς αὐτοὺς εἶναι [1] δόξομεν τῶν ὑπαρχόν-
26 των, ὡς ἔστι τῶν αἰσχρῶν, μᾶλλον δὲ τῶν αἰσχίστων, μὴ
μόνον πόλεων καὶ τόπων ὧν ἦμέν ποτε κύριοι φαίνεσθαι
προϊεμένους, ἀλλὰ καὶ τῶν ὑπὸ τῆς τύχης παρασκευα-
σθέντων συμμάχων τε καὶ καιρῶν.

[1] δόξωμεν

ὅτι οἱ κεκτημένοι καὶ χώραν ὅμορον, καὶ δύναμίν τινα, πολεμήσουσι Φιλίππῳ. Wolf.

Δύναμίν τινα] Olynthus inter urbes Thraciæ fuit maxima; sub secundo, tertio, et quarto anno Olympiadis 98. conjunctis Macedoniæ Spartæque viribus prospere nonnunquam obstitit. Lacedæmonii tres imperatores in hoc bello amiserunt, quod tamen terminatum est Olymp. 100. Ann. 1. pace facta valde ex Lacedæmoniorum commodo. *Tourrell.* Mount.

Δύναμίν τινα] Schol. σύμμετρον καὶ μεγάλην: male Mount. pro καὶ scripsit οὐ, existimans per σύμμετρον significari modicum aliquid. Cfr. Olynth. III. (II.) §. δ'. De hac Olynthiorum potentia dictum in Prolegg. Rüdig.

Ὥστε τὰς πρὸς ἐκεῖνον] Etiam ex hoc loco apparet, Olynthiorum levitatem nonnullis suspectam fuisse. Wolf. Imo Philippi Olynthiis. Mount.

Διαλλαγὰς] Hemsterh. ad Thom. M. p. 236. monet, διαλλ. proprie dici de pactis ineundis, quibus pax reconcilietur, καταλλαγὰς, quod vide Olynth. I. (III.) §. γ'., de bello ponendo, Rüdig.

Ἀνάστασιν] Cfr. Olynth. I. (III.) §. γ'. ibique not.; substant. loco adjectivi, ut §. ή. μεγάλη ῥοπὴ ἡ τύχη. Idem.

Δαιμονίᾳ τινὶ καὶ θείᾳ] *Semideorum, ac potius Deorum videtur esse beneficentiæ.* Dæmonum naturam inter humanam et divinam mediam esse, hac inferiorem, illa præstantiorem, veteres crediderunt. δαιμονία commode reddi non potest, nisi vertas, *admirabilis, insignis, singularis,* etc. Nam *angelicam* dici, Latinus sermo non sinit. Græci Aristotelem δαιμόνιον, Platonem, quem illi præferunt, θεῖον olim cognominarunt. Sed discrimen θεῶν καὶ δαιμόνων veteres sæpe confundunt: nec mirum: cum eorum dii dæmones fuerint. Wolf.

Αὐτοὺς] Ὑμᾶς. Idem.

Τῶν ὑπαρχόντων] Id est, τῆς τύχης, τοῦ καιροῦ, τῆς θείας εὐεργεσίας: utendum occasionibus, et fortunæ benignitate: divina liberalitas amplectenda est. Idem.

Δόξωμεν τῶν ὑπαρχόντων] Lectionem vulg. δόξωμεν, pro qua Bekk. δόξομεν scripsit, retinui, præsertim quum Schol. explicet ὅπως μὴ προδόται γενώμεθα, vid. ad Phil. I. §. ή. ὑπαρχ. i. q. καιρῶν. Ubique laudat Dem. deorum favorem, reprehendit civium desidiam. Rüdig.

Ὡς ἔστι τῶν αἰσχρῶν] Ἓν ἀπὸ τῶν αἰσχρῶν, auctore Moschopulo, idem quod, ὡς αἰσχρόν ἐστι. Wolf. Vid. π. Λεπτ. §. ά. Nott.

Πόλεων] Puta Amphipolim, Pydnam, Potidæam, Methonam, et Pagasas, quarum tres priores Philippus ceperat Olymp. 105. Ann. 3., duas reliquas Olymp. 106. Ann. 3. Mount.

Καὶ τόπων] Χωρίων, λιμένων, ὁρμητηρίων τοῦ πολέμου. Wolf.

Ὧν ἦμέν ποτε κύριοι] Κτησάμενοι μὲν διὰ πλεονεξίας, μὴ φυλαξάμενοι δὲ δι' ἐπιμελείας, ἀλλ' ἀποβαλόντες δι' ὀλιγωρίας καὶ ἀνανδρίας. Idem.

Φαίνεσθαι προϊεμένους] Φανερῶς προΐεσθαι. Idem.

Φαίνεσθαι προϊεμένους πόλεων] *Videri projicientes urbium,* more Latinorum, cum participia in nomina degenerant, ut apud Sallustium, 'Catilina, sui profusus, alieni appetens:' τῶν μὲν ἰδίων προετικὸς ἢ προϊέμενος· τῶν δ' ἀλλοτρίων ὀρεκτικὸς ἢ ὀρεγόμενος. Nam alioqui προΐεμαι accusativo jungitur, ut ά. (γ'). ὀλ. εἰ δὲ προησόμεθα, ὦ ἄ. Ἀ., καὶ τούτους τοὺς ἀνθρώπους, etc. Idem.

Τόπων — προϊεμένους] Particip. obtinet substantivi locum, hinc cum genit. struitur; vid. Hemsterh. ad Thom. M. 183.

β'. Τὸ μὲν οὖν, ὦ ἄνδρες Ἀθηναῖοι, τὴν Φιλίππου ῥώμην διεξιέναι, καὶ διὰ τούτων τῶν λόγων προτρέπειν τὰ δέοντα ποιεῖν ὑμᾶς, οὐχὶ καλῶς ἔχειν ἡγοῦμαι. διὰ τί; ὅτι μοι δοκεῖ πάνθ', ὅσ' ἂν εἴποι τις ὑπὲρ τούτων, ἐκείνῳ μὲν ἔχειν φιλοτιμίαν τινά, ἡμῖν δ' οὐχὶ καλῶς πεπρᾶχθαι. ὁ μὲν γὰρ ὅσῳ πλείονα ὑπὲρ τὴν ἀξίαν πεποίηκε τὴν αὑτοῦ, τοσούτῳ θαυμαστότερος παρὰ πᾶσι νομίζεται· ὑμεῖς δὲ ὅσῳ χεῖρον ἢ προσῆκε κέχρησθε τοῖς πράγμασι, τοσούτῳ πλείονα αἰσχύνην ὠφλήκατε. ταῦτα μὲν οὖν παρα-

Vix dubium est, quin intelligendæ sint istæ urbes, quæ quo tempore Atheniensium fuerint, dictum est ad Phil. I. §. γ'. Rüdig.

β'. Τὸ μὲν οὖν, ὦ ἄ. Ἀ., τὴν Φιλίππου ῥώμην] *Philippi vires et potentiam commemorare.* Quæ initio parva cum esset, nunc amplificata est ejus sedulitate: quam si vos imitaremini, vestrum etiam imperium cresceret. Apparet, alium aliquem oratorem hac exhortandi ratione fuisse usum, quam Demosthenes κατὰ παράλειψιν perquam ingeniose repetit. Wolf.

Εἴποι] Ex Ald. P. Man. in edd. Wolf. et Auger. fluxit εἴπῃ, minus recte, nam in conjunctivo hic sensus: *si quis dixerit*, sed incertum, an quis sit dicturus, in optat. inest notio metus, ne quis eorum hæc *dicat*, de quibus paulo post agit. Rüdig.

Ὑπὲρ τούτων] Fortassis, ὑπὲρ τούτου, vel, ὑπὲρ τῶν Φιλίππῳ πεπραγμένων: ut non ad verba, sed ad sensum referatur constructio. Wolf. F. περί. Taylor.

Ἐκείνῳ μὲν ἔχειν φιλοτιμίαν τινὰ] Ἐξεῖναι Φιλίππῳ ἐπὶ τούτοις φιλοτιμεῖσθαι· ταῦτα δόξαν καὶ τιμὴν φέρειν Φιλίππῳ, ὥσπερ καρπούς. Wolf.

Φιλοτιμίαν] Hæc vox innuit *vanam gloriam*, quam quis sibi parat, ut §. ζ'. Hesych. κενοδοξία. Quod sequitur ἔχειν, explicatum ad Liban. Vit. Dem. §. ά. Rüdig. Φιλοτιμία hic non est κενοδοξία, ut opinatur Rüdiger, sed simpliciter sensus est, ἐξεῖναι αὐτῷ φιλοτιμεῖσθαι ἐπὶ τούτοις, *hæc esse ipsi gloriosa.* Pluralis ὑπὲρ τούτων habet, quod pudore afficiat Athenienses. Multa Philippo gloriosa, Atheniensibus turpia sunt. H. Wolfium non oportebat conjicere ὑπὲρ τούτου. Pluralis ταῦτα sæpe de una re ponitur. Tota autem enuntiatio artis est plena, egregia παράλειψις, ut rhetores dicunt. Dum enim silentio se rem prætermissurum affirmat, loquitur de ea paucis quidem sed gravissimis verbis, ut non posset non Athenienses pudere suæ agendi rationis. Brem.

Ἡμῖν δ' οὐχὶ καλῶς πεπρᾶχθαι] Εὐφήμως, ἀντὶ τοῦ, ἀτιμίαν καὶ ἀδοξίαν ἡμῖν προξενῆσαι. Propositio præteritionis: non hortabor vos exemplo Philippi. Ratio, quod ea oratio illi honorifica, nobis ignominiosa est. Hanc rationem προσαποδόσει eleganti illustrat et ἀντιθέσει. Wolf.

Ἡμῖν δὲ οὐχὶ καλῶς πεπρᾶχθαι] Potest hoc utcumque intelligi: np. sic mente supplendo, κατ' αὐτὰ δὲ ταῦτα δοκεῖ οὐχ ἡμῖν καλῶς πεπρᾶχθαι, *in his vero ipsis non videtur a nobis bene factum fuisse*, quod scilicet passi fuerimus in tantam potentiam excrevisse Philippum: sed malim cum Reiskio ita legi hunc locum, ἡμῖν δὲ ὄνειδος τοῦ οὐχὶ κ. π. *nobis autem id afferunt dedecoris, quod res a nobis non sint præclare gestæ.* Auger.

Ἡμῖν δὲ — πεπρᾶχθαι] Quod Reiske post δὲ deesse putat ὄνειδος, alienum est ab oratoris consilio, qui, ut neminem fugit, φιλοτιμίαν et καλῶς non temere scripsit. Neque etiam ἡμῖν explicari potest per ὑφ' ἡμῶν, sed sensus: *nobis rem cecidisse*; de Megalopol. §. ζ'. ἅ γέ φασι πεπρᾶχθαι διὰ Θηβαίους τοῖς Μεγαλοπολίταις, coll. de Pace §. έ. Rüdig.

Ὑπὲρ τὴν ἀξίαν] *Supra dignitatem*, plus quam ab eo quisquam exspectare aut postulare debuisset. Sicut in priore orat. εὖ πράττειν παρὰ τὴν ἀξίαν, eximia et insolita fortunæ benignitas potius, quam successus vel improborum vel stolidorum hominum. Wolf.

Τοσούτῳ θαυμαστότερος] *Tanto admirabilior apud omnes existimatur: tanto in illustriore loco sita est ejus laus.* Idem.

Τοσούτῳ πλείονα αἰσχύνην ὠφλήκατε] *Tanto majus dedecus suscepistis.* Sicut supra μωρίαν ὀφλισκάνων. Egregia ἀντίθεσις effectuum industriæ et incuriæ. Idem.

Αἰσχύνην ὠφλήκατε] Demosthenes eleganti hac metaphora, a debitoribus sumpta, qui Gr. ὀφλοντες dicuntur, sive iis qui judicio damnantur, maximopere uti amat. Sic supra in Phil. I. §. ιέ. αἰσχύνην, καὶ ἀνανδρίαν, καὶ πάντα τὰ αἴσχιστα ὠφληκότες: infra Olynthiaca, 3. §. ί. ἄνοιαν ὀφλι-

λείψω. καὶ γὰρ εἰ μετ᾽ ἀληθείας τις, ὦ ἄνδρες Ἀθηναῖοι, 19
σκοποῖτο, ἐνθένδ᾽ ἂν αὐτὸν ἴδοι μέγαν γεγενημένον, οὐχὶ
παρ᾽ αὐτοῦ· ὧν οὖν ἐκεῖνος μὲν ὀφείλει τοῖς ὑπὲρ αὐτοῦ πε-
πολιτευμένοις χάριν, ὑμῖν δὲ δίκην προσήκει λαβεῖν, τού-
των οὐχὶ νῦν ὁρῶ τὸν καιρὸν τοῦ λέγειν. ἃ δὲ καὶ χωρὶς
27 τούτων ἔνι, καὶ βέλτιόν ἐστιν ἀκηκοέναι πάντας ὑμᾶς, καὶ
μεγάλα, ὦ ἄνδρες Ἀθηναῖοι, κατ᾽ ἐκείνου φαίνοιτ᾽ ἂν ὀνεί-
δη βουλομένοις ὀρθῶς δοκιμάζειν, ταῦτ᾽ εἰπεῖν πειράσομαι.

γ΄. Τὸ μὲν οὖν ἐπίορκον καὶ ἄπιστον καλεῖν ἄνευ τοῦ τὰ πεπραγμένα δεικνύναι λοιδορίαν εἶναί τις ἂν φήσειε κενὴν δικαίως· τὸ δὲ πάνθ᾽, ὅσα πώποτ᾽ ἔπραξε, διεξιόντα

σκάνων: in Chersonetica, ὑστερίζοντας δὲ τῶν ἔργων αἰσχύνην προσοφλισκάνειν. In Orat. contra Leptinem,—οὐ μικρὰν ζημίαν ὀφλήσειν μέλλουσαν (τὴν πόλιν). Οὐ γὰρ, εἰ μὴ χρήματα ἀπόλλυται, μόνον σκεπτέον, ἀλλ᾽ εἰ καὶ δόξαν χρηστὴν, etc. Laus et gloria virtutis præmium, vitiorum et peccatorum ignominia et dedecus pœna, sive mulcta, et quidem gravissima ingenuis hominibus: ἡ τῶν πραγμάτων αἰσχύνη, οὐδεμιᾶς ἐλάττων ζημία τοῖς γε σώφροσι. Olynth. 1. (3.) §. ί. quare bene dicuntur αἰσχύνην ὀφλισκάνειν, *probrum debere* aut *luere*. MOUNT.

Ταῦτα μὲν οὖν παραλείψω. καὶ γὰρ] Repetitio propositionis, et alia *αἰτιολογία*: qua callidissime et res Philippi extenuat, et populum excusat, et adversarios perstringit et terret: idque παραλειπτικῶς et ipsum facit. WOLF.

Μετ᾽ ἀληθείας] i. q. ἐν ἀληθείᾳ, ut in Eubulid. 1306. 3. ed. R. πῶς ἔνεστιν τούτους ἅπαντας, μὴ μετ᾽ ἀληθείας ὑπάρχοντας, κατεσκευάσθαι. RÜDIG.

Ἐνθένδ᾽ ἂν] *Hinc*, id est, ἐκ τοῦ βήματος, καὶ τῆς ἐκκλησίας: nostræ conciones ejus opes auxerunt: Mercenariis oratoribus, et oscitantibus ac ignavis auditoribus acceptam referre debet potentiam tantam, non suæ virtuti atque industriæ. WOLF.

Ὧν οὖν ἐκεῖνος] Ὧν ὀφείλει χάριν, ὧν λαβεῖν δίκην, pro, ὑπὲρ ὧν, δι᾽ ἅ. IDEM. Subauditur præpositio ὑπὲρ, quod omittere Atticis familiarissimum est: eam vero mox ante τούτων necessariam inferendam duxi. MOUNT.

Ὧν οὖν ἐκεῖνος] Reiske, qui interpretatur: *quarum rerum causa*, hunc locum male cepit, nam ὧν pertinet ad χάριν et δίκην, eique respondet τούτων, quod paullo post legitur, pro quo non cum Mount. et Auger. ex pluribus Codd. est legendum ὑπὲρ τούτων, nam genit. pendet a καιρόν: hæ enim structuræ: καιρὸν τούτων et καιρὸν τοῦ λέγειν ταῦτα, sunt confusæ. RÜDIG.

Τούτων τὸν καιρὸν] Ἀντὶ τοῦ, τοῦ λέγειν ταῦτα τὸν καιρὸν οὐχὶ ὁρῶ νῦν ὄντα. WOLF.

Καὶ χωρὶς τούτων] Τῶν περὶ τῶν φιλιππιζόντων ῥητόρων, καὶ τῶν πεποιημένων τῷ Φιλίππῳ ὑπὲρ τὴν ἀξίαν αὐτοῦ. IDEM.

Ἔνι] Ἔνεστι λέγειν. Unde τὰ ἐνόντα, *ea quæ in re insunt*, et ἐκ τῶν ἐνόντων, τουτέστι, κατὰ τὴν δύναμιν. IDEM.

Καὶ βέλτιόν ἐστιν] Διὰ τὸ ἀναθαῤῥῆσαι δήπου, καὶ τὸν φόβον ἐκβάλλειν ὑμᾶς. Attentionis et benevolentiæ captatio. Grata enim et jucunda erat Atheniensibus criminatio Philippi: nec minus extenuatio virium illius. Hæc enim duo se facturum proponit. IDEM.

Μεγάλα ὀνείδη] Ἐπιορκία καὶ ἀπιστία. IDEM.

Ὀρθῶς δοκιμάζειν] Non eventum spectando, sed causas et rerum gestarum rationem intuendo. IDEM.

γ΄. Τὸ μὲν οὖν ἐπίορκον] Videntur hoc alii oratores fecisse ἀναιτιολογήτως, καὶ ἄνευ ἐλέγχων: quod se alia ratione facturum (ne eadem inculcare videatur) profitetur. IDEM.

Ἄνευ τοῦ τὰ πεπραγμένα δεικνύναι] Isocrates Panathenaico, μὴ μετ᾽ ἀποδείξεως εἰρημένα, eodem sensu dicit. IDEM.

Τὸ δὲ πάνθ᾽ ὅσα] Verba sic ordinanda sunt, mutato propter relativum pronomen participio in verbum: τὸ διεξιέναι πάντα, ὅσα Φίλιππος ἔπραξε πώποτε, καὶ ἐλέγχειν αὐτὸν ἐφ᾽ ἅπασι τούτοις· συμβαίνει καὶ δεῖσθαι λόγου βραχέος, καὶ ἡγοῦμαι συμφέρειν εἰρῆσθαι, ἕνεκα δυοῖν. Hyperbolica propositio, referenda tantum ad ἐπίορκα καὶ ἄπιστα ἔργα, quorum tria tantum, sed magna recenset, deceptos Athenienses, Olynthios, Thessalos. IDEM.

Διεξιόντα] Sc. τινὰ, ut Phil. I. §. γ΄. ἔρημον ὄντα (vid. not.) et huj. or. §. δ΄. cfr. Plat. Crit. c. 12. πάσχειν (δεῖ), ἐάν τι προσ-

ἐφ' ἅπασι τούτοις ἐλέγχειν καὶ βραχέος λόγου συμβαίνει δεῖσθαι καὶ [1] δυεῖν ἕνεκα ἡγοῦμαι συμφέρειν εἰρῆσθαι, τοῦ τ' ἐκεῖνον, ὅπερ καὶ ἀληθὲς ὑπάρχει, φαῦλον φαίνεσθαι, καὶ τοῦ τοὺς ὑπερεκπεπληγμένους ὡς ἄμαχόν τινα τὸν Φίλιππον ἰδεῖν ὅτι πάντα διεξελήλυθεν οἷς πρότερον παρακρουόμενος μέγας νῦν ηὐξήθη, καὶ πρὸς αὐτὴν ἥκει τὴν τελευτὴν τὰ πράγματ' αὐτῷ. Ἐγὼ μὲν γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, σφόδρ' ἂν ἡγούμην καὶ αὐτὸς φοβερὸν εἶναι τὸν Φίλιππον [2] καὶ θαυμαστόν, εἰ τὰ δίκαια πράττοντα ἑώρων αὐτὸν ηὐξημένον· νῦν δὲ θεωρῶν καὶ σκοπῶν εὑρίσκω

[1] † δυοῖν

[2] καὶ θαυμαστὸν τὸν Φίλιππον

τάττῃ (ὁ πατὴρ) παθεῖν, ἡσυχίαν ἄγοντα. Rüdig.

Ἐλέγχειν] Δεικνύναι ἐπίορκον καὶ ἄπιστον γεγονότα ἐν τούτοις, vel, ἐλέγχειν διὰ ταῦτα. Wolf.

Δυεῖν ἕνεκα] Lect. vulg. δυοῖν, sed Harl. Par. 1. Aug. 1. δυεῖν. Par. 8. δυεῖν εἵνεκα, alterum etiam Ald. Tayl., quam formam (εἵνεκα) ab Attico scriptore non alienam esse docet F. A. Wolf. Lept. §. κδ'. fin. cfr. Olynth. I. (III.) fin., sed bis syllabam ει a Nostro dictam esse dubito: qui omnino non ubique constans est in formarum usu, scribit εἵνεκα et ἕνεκα, ἀεὶ et αἰεὶ, ita δυοῖν (cfr. p. 1468. 7. ed. R. δυοῖν ἕνεκα νῦν ὀκνῶ γράφειν) et δυεῖν (de fals. leg. p. 347. 16. ed. R. δυεῖν ἢ τριῶν ἡμερῶν); hoc quidem magis Atticum esse monet Dorvill. ad Char. p. 527. Duk. Præfat. ad Thucyd. T. II. p. XIV. ed. Lips. vid. eundem ad Thuc. IV. 8. 29.: inde hanc formam reposui, quam Bekkerus quoque habet. Rüdig.

Εἰρῆσθαι] Ἀντὶ τοῦ, ῥηθήσεσθαι. Wolf.

Φαῦλον] Πονηρὸν καὶ σαθρῶς ἱδρυμένον, καὶ τοῦ μηδενὸς ἄξιον. Idem.

Τοῦ τε φαίνεσθαι] S. ἕνεκα, ἵνα φαίνηται. Idem.

Καὶ τοῦ ἰδεῖν] S. ἕνεκα, ἵνα ἴδωσιν οἱ ὑπερεκπεπληγμένοι Φίλιππον, ὡς ἄμαχόν τινα, id est, ἀνίκητον ὄντα καὶ ἀκαταγώνιστον, ᾧ μάχεσθαι ἀδύνατον, ἢ μὴ συμφέρον. Quid igitur superest, nisi ut pax et amicitia illius expetatur, et supplices deserantur? Idem.

Τοὺς ὑπερεκπεπληγμένους] *Supra modum admirantes et formidantes.* Hæc vox ea, quæ statim sequuntur, τό τε φοβερὸν καὶ τὸ θαυμαστὸν complectitur. Idem.

Ὅτι διεξελήλυθε] Τὸ διεξιέναι καὶ διελθεῖν ἢ διεξελθεῖν, alias est τὸ λέγειν καὶ διηγεῖσθαι: hic vero τὸ διαπορευθῆναι, κατὰ μεταφορὰν, καὶ καταναλῶσαι πάσας τὰς πανουργίας καὶ δεινότητας. Idem. διεξελήλυθεν hic idem ac διεπορεύθη, *prætervecta sunt*, i. e. consumpta sunt. Auger. Vid. π. Φιλ. Ἐπιστ. §. ϛ'.

Οἷς παρακρουόμενος] S. τοὺς χρωμένους αὐτῷ ἐξαπατῶν καὶ φενακίζων. Wolf.

Πρότερον] Ἐν τοῖς ἄνω χρόνοις. Idem.

Μέγας νῦν ηὐξήθη] Οὕτως ηὐξήθη τῷ παρακρούεσθαι, ὥστε νῦν εἶναι μέγαν αὐτόν. Supra μέγαν γεγενημένον. Idem.

Καὶ πρὸς αὐτὴν] Ὅτι τὰ πράγματα ἥκει αὐτῷ πρὸς τὴν τελευτὴν, id est, ὅτι ἡ ἐπιορκία καὶ ἡ ἀπιστία αὐτοῦ οὐδένα ἂν ἔτι παρακρούσαιτο καὶ ἐξαπατήσειε. Sententia hujus loci est: Nulla fore posthac Philippi incrementa: nullos eum sibi socios adjuncturum: consumtos esse omnes ejus dolos. Hæc propositio est. Idem.

Ἐγὼ γὰρ] Confirmatio, tractata ἐκ θέσεως καὶ ἀναιρέσεως. Argumenti summa est, Philippi imperium male partum non fore diuturnum: ducti a causis efficientibus, et illustrati contentione contrariorum et similitudine. Idem.

Ἑώρων αὐτὸν ηὐξημένον] Τὰ γνωριστικὰ ῥήματα, inquit Moschopulus, καὶ τὰ ἐπὶ ὄψεως, μετὰ μετοχῆς συντάσσονται. Sed eum participii accusativum Latini rarius retinent, ut Cic. 2. de Fin. 'Idque Socratem audio dicentem;' sæpius infinitivo commutant, ut Virg. Bucol. 'Non ego te vidi Damonis, pessime, caprum Excipere insidiis?' Idem.

Εὑρίσκω τὴν] Difficilior locus: proinde verba in primis simpliciter ordinabimus: εὑρίσκω, scilicet τὸν Φίλιππον, προσαγόμενον (προσαγηοχέναι) τὴν ἡμετέραν εὐήθειαν (ἡμᾶς εὐήθεις ὄντας) τὸ κατ' ἀρχὰς (πρῶτον) ὅτε τινὲς ἀπήλαυνον ἐνθένδε (ἀπὸ τοῦ βήματος καὶ τῆς ἐκκλησίας) Ὀλυνθίους βουλομένους ἡμῖν διαλεχθῆναι. Quomodo προσαγηοχέναι? τούτῳ, scilicet τῷ φάσκειν παραδώσειν Ἀμφίπολιν καὶ κατασκευάσειν τὸ θρυλλούμενόν

28 τὴν μὲν ἡμετέραν εὐήθειαν τὸ κατ' ἀρχάς, ὅτε Ὀλυνθίους ἀπήλαυνόν τινες ἐνθένδε βουλομένους ἡμῖν διαλεχθῆναι, τῷ τὴν Ἀμφίπολιν φάσκειν παραδώσειν [1] καὶ τὸ θρυλούμενόν

[1] καὶ τῷ τὸ θρυλλούμενόν

ποτε ἐκεῖνο ἀπόῤῥητον· τὴν δὴ Ὀλυνθίων φιλίαν, scilicet εὑρίσκω προσαγόμενον etc. Video, Philippum nobis stultis os sublevisse primum, cum quidam Olynthios apud nos verba facturos hinc repulerunt, hac fraude, quod jactabat, se nobis Amphipolim tradilurum, et confecturum arcanum illud, quod aliquando jactabatur: invenio item, eum Olynthiorum amicitiam sibi conciliasse, etc. Nunc ad partes veniamus: καὶ τὸ θρυλλούμενον] Hic vero locus obscurus est, et haud scio, an quisquam sit, qui eum a se plane intelligi affirmare ausit. Causa obscuritatis est, primum ignoratio historiæ, cujus fit mentio. Deinde ἀπόῤῥητον et θρυλλούμενον pugnare videntur. Postremo ambiguum est ἀπόῤῥητον, sitne ad θρυλλούμενον, an vero ad κατασκευάσειν ἐπιῤῥηματικῶς referendum. Ac quod ad historiam attinet, credamus sane Græco interpreti Ulpiano. Deinde θρυλλούμενον intelligi potest non id modo, quod omnium sermone celebratur, sed quo de inter eos verba fiunt, quorum negotium agitur, aliis ignotum. Ita unum et idem Atheniensibus et Philippo θρυλλούμενον: Pydnæis, Potidæatis et Amphipolitanis ἀπόῤῥητον esse potuit. Potuit etiam fieri, ut Philippus pollicitaretur, se collaturum quoddam in Athenienses beneficium, quod tamen, ob adjunctum periculum, vulgandum nondum esset: sicut Pericles in referendis rationibus ad populum dixit, se aliquot talenta εἰς δέον ἀνηλωκέναι, id est, *utiliter et tempestive insumsisse*, quibus Lacedæmonios quosdam corruperat. Postremo κατασκευάζειν τι ἀπόῤῥητον pro ἐν ἀποῤῥήτῳ vel ἀποῤῥήτως, usitata et plana constructio est. Hæc si cui non satisfaciunt, is planiora et certiora quærat. Socrates scholasticus Ecclesiasticæ historiæ lib. 1. locutionem habet non dissimilem admodum: ἦν δὲ ὁ διωγμὸς θρυλλούμενος ἐν ταὐτῷ καὶ ἀπόῤῥητος· ἐκρύπτετό τε τῷ λόγῳ, καὶ ἔργῳ ἦν φανερός. IDEM.

Εὐήθειαν] Hæc vox, quam vulgo per μωρίαν interpretantur, auctore Thom. M. p. 382. παρὰ Δημοσθένει εἰς χρηστότητος τάξιν κεῖται. Schol. ἔστιν ὅτε πραότητα καὶ ἐπιείκειαν καὶ τὸ ἁπλοῦν ἡ εὐήθεια σημαίνει. Thuc. III. 83. hæc: τὸ εὔηθες, οὗ τὸ γενναῖον πλεῖστον μετέχει. vid. interpp. ad h. l. et Hemsterh. ad Lucian. I. p. 101. RÜDIG.

Τὴν Ἀμφίπολιν φάσκειν παραδώσειν] Vide Polyæn. Stratag. l. IV. 17. Demosth. π. τ. Ἀλον. Diod. l. XVI. circa init. et Not. Philip. I. §. έ. fin. MOUNT.

Θρυλούμενόν ποτε ἀπόῤῥητον] Philippus Amphipolim liberam dimiserat. Athenienses itaque hujus urbis recipiendæ cupidi, legatos ad Philippum mittunt, opem in hac re petentes, et se Pydnam illi pro tali beneficio daturos promittentes. Sed ne Pydnæi, imperium Philippi aspernantes, aliquid interea molirentur, res in senatu clam acta erat, neque, ut solitum est, ad populum relata.—Hanc narrationem citant Ulpianus et Suidas ex Theopompo. *Ex edit.* STOCK.

Τῷ θρυλλούμενόν] Alii legunt, τὸ θρυλλούμενόν π. ἀ. ἐ. κατασκευάσειν, et sic interpretandum erit, Philippumque *jactatum illud aliquando arcanum confecturum.* STOCK.

Τὸ θρυλούμενόν — κατασκευάσαι] Vulg. pro τὸ legitur τῷ. Reiske utrumque copulavit; sed multi libri illud habent, quod confirmat Suidas T. III. 467. qui ex Theopomp. l. 31. narrat, fuisse legatos ab Atheniensibus ad Philippum missos, qui de amicitia agerent, hæc addens: οἱ (πρέσβεις) συμπείθειν αὐτὸν ἐπεχείρουν, ἐν ἀποῤῥήτῳ συμπράττειν Ἀθηναίοις, ὅπως ἂν λάβωσιν Ἀμφίπολιν, ὑπισχνούμενοι Πύδναν: hinc patet, hoc arcanum nihil esse aliud quam τὸ τὴν Ἀμφίπ. παραδώσειν; quæ τῷ vix ferri potest. Eodem modo paullo post τὸ ἐξελεῖν et ἀδικῆσαι ad eandem rem sunt referenda, ita tamen, ut alterum ex altero effectum sit; quod ipsum ut de nostro quoque loco valeat, repudianda erit lectio κατασκευάσειν, quæ etsi veri speciem præ se ferat, tamen, ea recepta, nihil aliud hac ipsa enunciatione dicitur quam præcedenti. Sed lect. vulg. κατασκευάσαι aptiorem præbebit sensum, ut Reiskii verbis utar: "clandestinis amicorum, quos Philippus Athenis alebat, molitionibus effecit, ut fides haberetur illi quondam celebri arcano;" ita quod professus est se facturum, id ipsum clam paravit. Nam κατασκευάζειν etiam significat: *parare aliquid, ut tale videatur, quale non est.* Dicuntur enim διαθῆκαι κατεσκευασμέναι, cfr. Dem. p. 1107, 18. ed. R.: diversus hujus vocabuli sensus oritur ex diversa præpositionis κατὰ significatione; idem accidit in verbis cum παρὰ compositis, cujus rei exempla vid. apud Zeun. ad Vig. 651. RÜDIG. '*The secret and close matter was,*' inquit T. Wilson LL.D. in margine ver-

ποτε ἀπόρρητον ἐκεῖνο κατασκευάσαι, τούτῳ [1]προσαγαγόμενον· τὴν δ' Ὀλυνθίων φιλίαν μετὰ ταῦτα τῷ Ποτίδαιαν, οὖσαν ὑμετέραν, ἐξελεῖν καὶ τοὺς μὲν πρότερον συμμάχους ἡμᾶς ἀδικῆσαι, παραδοῦναι δὲ ἐκείνοις· Θετταλοὺς

[1] *προσαγόμενον*

sionis suæ Anglicanæ, ann. 1570, '*the delivering up of Potidia.*'

Ἀπόρρητον] Sc. παρὰ τοῖς Ἕλλησιν, ne Pydnæi, hac re cognita, sibi caverent. Neque vero est, quod cum Schol. illud ἀπόρρητον, ad Potidæam neque cum Lucches. ad Thespias Platæasque instaurandas referamus, si verbis Theopompi fides est, quæ ab ipso Dem. confirmatur. Rüdig.

Τούτῳ προσαγαγόμενον] Τούτῳ, quod ad τὸ φάσκειν referendum, hujus ipsius vim auget, ut Phil. II. §. δ'. (οἴεσθε) τὸν τὴν Πυλαίαν ἀποδόντα, τοῦτον τὰς αὐτῶν προσόδους παραιρήσεσθαι. Thuc. III. 43. ita: τῇ ἀπάτῃ προσάγεσθαι τὸ πλῆθος. Schol. Thuc. per πιθανολογεῖν explicat. Idem.

Φιλίαν] Sicut paulo inferius Θετταλοὺς refer ad προσαγαγόμενον quod præcessit. Auger.

Ποτίδαιαν] De Potidæa vide Notas Philip. I. §. ε'. fin. Corinthiorum (uti ibi diximus) colonia fuerat; tunc temporis Atheniensibus societate erat conjuncta, quibus etiam tributum pendebat; postea vero ab iis defecit. Potidæatæ ab Atheniensibus obsessi, victi, domo pulsi sub finem Anni 2di belli Peloponnesiaci, in agrum Chalcidicum, et quo quisque potuit, abiere. Athenienses Coloniam in Potidæam deducunt, eamque incolunt. Thucyd. lib. ii. p. 245. In ea etiam erat præsidium Atheniense, quod Philippus ex urbe deduxit, et clementer tractatum Athenas remisit. Diod. l. xvi. Mount.

Οὖσαν ὑμετέραν] De Potidæa disputatum supra ad Phil. I. §. γ'. Pro ὑμετ. lect. vulg. ἡμετ., sed hanc Reiske mutavit, quamquam paullo post ἡμᾶς retinuit, secutus Bekker. Sed quum, ut vidimus, his enunciationibus idem fere dicatur, eadem persona erat tuenda, eaque secunda vel propterea, quod orator cives et describat potentes et ἐκείνοις opponat. Rüdig.

Καὶ τοὺς μὲν πρότερον συμμάχους ἡμᾶς ἀδικῆσαι] Alterius membri summa est: Philippus Olynthios ad suam amicitiam pellexit. Quomodo? Potidæam, nostram civitatem, vi captam, abstulit, (in quo fidem societatis violavit, et vanis pollicitationibus nos circumvenit) Olynthiis tradidit. Nullus scrupulus reliquus est, modo intelligas, eo tempore, quo ista facta sunt, Philippum fuisse Atheniensium socium. In epistola certe quidem sua scribit: ἵν' ἐμμείνωμεν τοῖς ὅρκοις, καὶ ταῖς ὁμολογίαις, etc. Sed Chronologia fortasse repugnat. Post τὸ ἡμᾶς, asteriscus additus indicat, dubitatum esse de lectione. Quid si ἡμῶν? ut de Potidæatis intelligatur, sociis Atheniensium. Sed cum Ποτίδαιαν οὖσαν ἡμετέραν præcedat: fortasse parum convenit, eosdem et ὑπηκόους et συμμάχους dici. Sed hæc hactenus. Wolf. Dubitationem, quam Wolfius proposuit, ipse eximit Demosthenes, atque adeo Scholiasten refellit, qui per συμμάχους Potidæatas intelligit, scilicet pro ἡμᾶς legendo ἡμῶν. Etenim ex ejus Oratione περὶ Ἁλονήσ. §. γ'. discimus non solum Potidæam tum temporis Athenienses incoluisse, quod modo diximus, verum etiam iis cum Philippo societatem tum interfuisse. Καίτοι Ἀθηναίων οἱ ἐν Ποτιδαίᾳ κατοικοῦντες, οὐκ ὄντος αὐτοῖς πολέμου πρὸς Φίλιππον, ἀλλὰ συμμαχίας, καὶ ὅρκων ὀμωμοσμένων, οὓς Φίλιππος τοῖς οἰκοῦσιν ἐν Ποτιδαίᾳ ὤμοσεν, ἀφῃρέθησαν ὑπ' αὐτοῦ τὰ κτήματα. Neque sane necessarium est Philippo tum socios fuisse Athenienses, ut recte habeat recepta lectio: dicit enim τοὺς πρότερον συμμάχους, *antea ipsius sociis*, nullo certo tempore definito, quod utique verum esse ipse alibi Demosthenes testatur. In Orat. de Coron. §. ιγ'. — ἐν τῇ πρὸς ὑμᾶς ἐπιστολῇ πρὸς τοὺς ἑαυτοῦ συμμάχους: similia in aliis passim locis occurrunt. Mount.

Τοὺς μὲν πρότερ.] Intelligit Dem. ipsos Athenienses, qui olim Philippi fuerant socii: de Cor. §. ιγ'. epistola Philippi recitata, pergit: ἀκούετε, ὡς σαφῶς δηλοῖ ἐν τῇ πρὸς ὑμᾶς ἐπιστολῇ, πρὸς τοὺς ἑαυτοῦ συμμάχους, coll. or. de Halones. §. γ'. Rüdig.

Παραδοῦναι δὲ ἐκείνοις] Diodorum lib. XVI. ait Philippum pollicitum fuisse se Potidæam Olynthiis traditurum, cujus adipiscendæ magno pridem studio tenebantur: traditæ etiam non meminit, quod mirum videatur, cum id factum fuisse cum ex hoc tum ex aliis Demosthenis locis satis manifestum sit, Pydnam vero iis donasse refert cum agris et fundis territorii. Mount. Cfr. Phil. II. §. δ'.

Θετταλοὺς δὲ] Nam et hi non minus, quam Thebani, templi Delphici defensionem susceperant. Wolf. V. Diod. Sic. l.

δὲ νῦν τὰ τελευταῖα τῷ Μαγνησίαν παραδώσειν ὑποσχέσθαι καὶ τὸν Φωκικὸν πόλεμον πολεμήσειν [1] ὑπὲρ αὐτῶν ἀναδέξασθαι. ὅλως δὲ οὐδεὶς ἔστιν ὅντιν᾽ οὐ πεφενάκικεν ἐκεῖνος τῶν αὐτῷ χρησαμένων· τὴν γὰρ ἑκάστων ἄνοιαν
29 [2] ἀεὶ τῶν ἀγνοούντων αὐτὸν ἐξαπατῶν καὶ προσλαμβάνων οὕτως ηὐξήθη. ὥσπερ οὖν διὰ τούτων ἤρθη μέγας, ἡνίκα ἕκαστοι συμφέρον αὐτὸν ἑαυτοῖς ᾤοντό τι πράξειν, οὕτως ὀφείλει διὰ τῶν αὐτῶν τούτων καὶ καθαιρεθῆναι πάλιν, ἐπειδὴ πάνθ᾽ ἕνεκα ἑαυτοῦ ποιῶν ἐξελήλεγκται.

δ΄. Καιροῦ μὲν δή, ὦ ἄνδρες Ἀθηναῖοι, πρὸς τοῦτο [3] πάρεστι Φιλίππῳ τὰ πράγματα· ἢ παρελθών τις ἐμοί, μᾶλλον δὲ ὑμῖν δειξάτω ἢ ὡς οὐκ ἀληθῆ ταῦτ᾽ ἐγὼ λέγω,

[1] ὑπὲρ αὐτῶν πολεμήσειν [2] αἰεὶ [3] παρέστη

XVI. c. 35. 38.

Θετταλοὺς δὲ νῦν τὰ τελευταῖα τῷ Μαγνησίαν παραδώσειν ὑποσχέσθαι] Thessali Græciæ populi inter Macedoniam et Thermopylas siti. Philippus a morbo recreatus, quo post acceptum ad Methones obsidionem vulnus laboravit, Olymp. 106. Ann. 4. ad Aleuadas adjuvandos profectus est, qui eum in Thessaliam vocarunt, ut eos a novis suis ad Pheras tyrannis liberaret. Eorum afflictorum miserationi admista est nonnulla etiam commodi sui ratio. Hujusce expeditionis cursu, Magnesiam cepit, urbem Thessaliæ ad Ægæi maris litora. Thessalis Magnesiam sibi vindicantibus illico se eam redditurum Philippus fidem dedit, satis interea cavens, ut ne eam omnino liberaret. *Tourrell.* Aleuadæ ipsi postea tyrannide potiti sunt, a qua eos Philippus dejecit. Vide Schol. Olynth. I. (III.) §. θ΄. ad voces καὶ γὰρ Παγασάς. Mount.

Τὰ τελευταῖα] Τελευτῶν, ἐπὶ τῆς τελευτῆς· ἐλλειπτικῶς τοῦ κατὰ, καὶ ἐπιῤῥηματικῶς, sicut τὰ πρῶτα. Wolf.

Τὸν Φωκικὸν πόλεμον] Vid. Not. Philip. I. §. ζ΄. Mount.

Ὅλως δὲ] Prolixiorem commemorationem præcidit. Wolf.

Τὴν γὰρ ἑκάστων —] Fraudibus, inquit, et imposturis, non alia ratione, socios perfidiæ ipsius ignaros, sibi comparavit. Idem.

Προσλαμβάνων] *Adscivit* Phil. ignorantium imprudentiam, ut ea ad suas res augendas uteretur: mediam quidem formam exspectaveris, sed notio, quæ illa exprimitur, in ipso verbo inest. De libert. Rhod. §. ζ΄. ὁρῶ γὰρ αὐτοὺς, ὅπως καταλύσωσι τὸν δῆμον, π ρ ο σ λ α β ό ν τ α ς τινὰς τῶν πολιτῶν. Rüdig.

Ὥσπερ οὖν] A contrariis: quem ignoratio nominum evexit, eundem cognitio deprimet. Wolf.

Διὰ τούτων] Nimirum subaudiri potest vel ἀνθρώπων, vel (quod malunt plures) τεχνῶν. *Eædem artes quæ celatæ extulerunt, jam patefactæ deprimant oportet Philippum.* Stock.

Διὰ τούτων] Sc. τῶν ἀγνοούντων: hæc omnis enunciatio vocatur ἀκολουθία. Rüdig.

Πάλιν] Similiter Noster vult, Olynth. III. (II.) §. ε΄., ut, qui leges de pecunia theatrali tulerint, iidem has abrogent. Idem.

δ΄. Καιροῦ μὲν δὴ πρὸς τοῦτο] Τὰ πράγματα πάρεστι Φιλίππῳ πρὸς τοῦτο καιροῦ, id est, τοιοῦτος καιρὸς τῶν Φιλίππου πραγμάτων ἐστί. Fortassis etiam παρέστη a παρίστημι, legi possit. *Res adstiterunt ad hoc temporis,* pro, huc deductæ sunt. Wolf.

Καιροῦ] Gen. pendet a πρὸς τοῦτο: *in hunc statum,* ut Phil. I. §. ιγ΄. τοῦθ᾽ ὕβρεως. Isocr. d. pac. p. 165. C. εἰς γὰρ τοῦτό τινες ἀνοίας ἐληλύθασιν. cf. ad Phil. I. §. δ΄. Commemorat Noster ἀκαιρίαν Philippi Olynth. II. (I.) §. η΄. Rüdig.

Πάρεστι] Hæc lect. vulg., sed Reiske ex Aug. 2. scripsit παρέστη, et in Indic. s. v. παριστάνειν, minus probabiliter conjec. περιέστη. Sive legas παρέστη, sive πάρεστι, utraque vox innuit notionem *status,* in quo quid est ita, ut propter πρὸς τοῦτο notio *motus,* quo quid aliquo deducitur, cogitando addi debeat; nisi quod notio præsentiæ magis πάρεστι exprimatur, quæ quum h. l. maximi sit momenti, hoc prætuli, cfr. Dem. ep. p. 1473. 19. ed. R. ἐμοὶ ταῦτα νῦν πάρεστιν, ὡς μήποτ᾽ ὤφελε. Idem.

ἢ ὡς οἱ τὰ πρῶτα ἐξηπατημένοι τὰ λοιπὰ πιστεύσουσιν αὐτῷ, ἢ ὡς οἱ παρὰ τὴν αὑτῶν ἀξίαν δεδουλωμένοι Θετταλοὶ νῦν οὐκ ἂν ἐλεύθεροι γένοιντο ἄσμενοι. καὶ μὴν εἴ τις ὑμῶν ταῦτα μὲν οὕτως ἔχειν ἡγεῖται, οἴεται δὲ βίᾳ καθέξειν αὐτὸν τὰ πράγματα τῷ τὰ χωρία καὶ λιμένας καὶ τὰ τοιαῦτα προειληφέναι, οὐκ ὀρθῶς οἴεται. ὅταν μὲν γὰρ ὑπ᾽ εὐνοίας τὰ πράγματα συστῇ καὶ πᾶσι ταὐτὰ συμφέρῃ τοῖς μετέχουσι τοῦ πολέμου, καὶ συμπονεῖν καὶ φέρειν τὰς συμφορὰς καὶ μένειν ἐθέλουσιν οἱ ἄνθρωποι· ὅταν δ᾽ ἐκ πλεονεξίας καὶ πονηρίας τις, ὥσπερ οὗτος, ἰσχύσῃ, ἡ πρώτη πρόφασις καὶ μικρὸν πταῖσμα ἅπαντα ἀνεχαίτισε

Πιστεύουσιν] F. πιστεύσουσιν. et v. 7. ταὐτά. Taylor.

Παρὰ τὴν αὑτῶν ἀξίαν] *Præter dignitatem suam*, indignis modis, contra quam exspectarant. ἀξίαν, id est, *dignitatem*, hic tribuit Thessalis, quos priore oratione ut perfidos criminatus est: ut ostendat, Thessalos, quanquam improbos, tamen Philippo esse meliores, et digniores, qui eidem imperent, quam serviant. Quantæ autem opes Thessalorum fuerint, in oratione de pace exposuit Isocrates: et in Philippica minime cum hoc loco Demosthenis consentit, cum sic scribit: οὐ Θετταλοὺς μὲν τοὺς πρότερον ἐπάρξαντας Μακεδονίας, οὕτως οἰκείως πρὸς αὐτὸν διακεῖσθαι πεποίηκεν· ὥσθ᾽ ἑκάστους αὐτῶν μᾶλλον ἐκείνῳ πιστεύειν, ἢ τοῖς συμπολιτευομένοις; et epistola 2. ἐνθυμοῦ δὲ, ὅτι πολλοῖς καλῶς βεβουλεῦσθαι δοκεῖς, ὅτι δικαίως κέχρησαι Θετταλοῖς, καὶ συμφερόντως ἐκείνοις· ἀνδράσιν οὐκ εὐμεταχειρίστοις, ἀλλὰ μεγαλοψύχοις καὶ στάσεως μεστοῖς. Quanquam τὸ δεδουλωμένοι referri potest vel ad Philiadæ Tyranni liberos, quos pulsos a Thessalis, Philippus restituit, vel ad quosdam Thessalos male tractatos. Nam in oratione de Haloneso scribitur, §. ζ΄. ὅτι Φεραίων ἀφήρηται τὴν πόλιν· καὶ φρουρὰν ἐν τῇ ἀκροπόλει κατέστησεν· ἵνα δὴ αὐτόνομοι ὦσιν. et Isocrates: τῶν πόλεων τῶν περὶ τὸν τόπον ἐκεῖνον, τὰς μὲν ταῖς εὐεργεσίαις πρὸς τὴν αὐτοῦ συμμαχίαν προσῆκται, τὰς δὲ σφόδρα λυπούσας ἀναστάτους πεποίηκε; Μάγνητας δὲ κατέστραπται; Wolf.

Παρὰ τὴν αὑτῶν ἀξίαν] Wolf. interpr. *contra dignitatem suam*, potius: *contra exspectationem*, ut Ol. I. (III.) §. θ΄. coll. huj. or. §. ϛ΄. Nam Thessali, qui, ut paullo ante monuimus, Philippi præsidium implorabant, minime exspectaverant, se Philippi dominium experturos esse, quod quidem Noster tangit Ol. I. (III.) §. θ΄. Mount. affert locum ex Polyæn. Strat. IV. 20., qui docet, Philippum Thessaliam Strategematis subegisse, non armis. Rüdig.

Δεδουλωμένοι Θετταλοὶ] Philippus, ubi Thessaliæ tyrannos ejecisset, ipse in eorum locum succedere aggressus est. Neutiquam vero vi aperta: sed adeo callide comitatem et benignitatem simulavit, etiam erga victos, ut Thessali omnium rerum ei fidem haberent; quod ille in sua commoda dirigere probe norat. *Ex edit.* Stock.

Καὶ μὴν εἴ τις ὑμῶν] Postquam ostendit, socios, cæterosque Græcos male velle Philippo, refutat opinionem de vi et potentia: sumto argumento a natura et ingeniis hominum, maxime Græcorum. Locum hunc Cicer. 2. de officiis copiosius tractavit: quem his verbis concludit: 'pessimum diuturnitatis custodem esse metum: benevolentiam vero fidelem vel ad perpetuitatem.' Wolf.

Συστῇ] Præpos. ὑπὸ notionem præsidii vel impedimenti alicujus rei exprimit, cfr. de Chers. §. δ΄. ἂν δ᾽ ὑπὸ πνευμάτων μὴ δυνώμεθα. Verbum συστῆναι refertur et ad ortum et ad statum rerum, de Cor. §. ζ΄. τοῦ γὰρ Φωκικοῦ συστάντος πολέμου. cfr. Thom. M. s. συνίσταται. Rüdig.

Ταὐτὰ] Vulg. ταῦτα, sed illud jure editores vel ob enunciationem præcedentem prætulerunt: ceterum has voces sæpe confundi docuerunt VV. DD., quos Schæf. laudat ad Greg. Cor. p. 303. Confirmatur etiam orat. in ep. Phil. §. γ΄. quem omnem locum cum nostro conferas. Idem.

Φέρειν τὰς συμφορὰς] *Ferre casus*, i. e. non tantum tolerare labores, sed ne cladibus quidem acceptis a societate recedere solent. Wolf.

Ἐκ πλεονεξίας] Διά. Plura sibi præter jus et æquum vendicando, et improbe agendo. Idem.

Ἡ πρώτη πρόφασις] Τῶν δεδουλωμένων. Idem.

καὶ διέλυσεν. οὐ γάρ ἐστιν, οὐκ ἔστιν, ὦ ἄνδρες Ἀθηναῖοι, ἀδικοῦντα καὶ ἐπιορκοῦντα καὶ ψευδόμενον δύναμιν βεβαίαν κτήσασθαι, ἀλλὰ τὰ τοιαῦτα εἰς μὲν ἅπαξ καὶ βρα- 21
χὺν χρόνον ἀντέχει, καὶ σφόδρα γε ἤνθησεν ἐπὶ ταῖς ἐλπίσιν, ἂν τύχῃ, τῷ χρόνῳ δὲ φωρᾶται καὶ περὶ αὑτὰ κα-

Ἡ πρώτη — διέλυσεν] Vel vana causa monet orator res collabi. Nam voci πρόφ. notio vanitatis subest, quod jam vidimus ad Phil. I. §. θ'. et videbimus huj. or. §. θ'. Rüdig.

Καὶ μικρὸν πταῖσμα] Ἀτύχημα τοῦ τυράννου. Wolf.

Ἅπαντα] Τὰ πρότερον κατωρθωμένα, καὶ κατειλημμένα. Idem.

Ἅπαντα ἀνεχαίτισε καὶ διέλυσεν] Ἀντὶ τοῦ ἀνέστρεψεν καὶ ἀνέκοψε. Metaphorice dixit pro eo quod est, *omnia retro agit, et rerum processum interpellat et abrumpit.* Sic Lucian. ἀναχαιτίζειν τὴν ναῦν τοῦ δρόμου dixit. Vide Bud. in Comment. *Ex edit.* Hervag.

Ἅπαντα ἀνεχαίτισε καὶ διέλυσεν] Budæus, et ex eo Henricus Stephanus, hæc ita vertit: *omnia retroagit, rerumque processum interpellat et abrumpit:* sed non videtur mentem Demosthenis attigisse. Ἀνεχαίτισε hoc in loco idem sonat ac ἀνέτρεψε, sicuti exponit Scholiastes, et Harpocratio; ad quem Maussacus vocabulum hoc inter vocabula grandiloquentiæ et sublimis sermonis relatum esse a Criticis Plinio, Dionysio, Longino, et aliis, observat: eumque sensum ipse Demosthenes confirmat, qui in Orat. in Epist. Phil. ubi eadem fere ad verbum repetuntur, pro ἀνεχαίτισε, διέσεισε dixit, καὶ διέλυσεν. Mount. Imaginem nobis exhibet equi generosi, jubis erectis se efferentis, et onus suum superbe dejicientis. Stock. Vid. Hesych. s. ἀναχαιτίζει. διέλυσεν conferendum cum συστῇ. Rüdig.

Ἀνεχαίτισεν] Ὥσπερ ἵππον τῇ χαίτῃ εἰς τοὐπίσω εἵλκυσεν, εἰς τὰ πρόσω ὁρμώμενον. Wolf.

Καὶ διέλυσεν] Τὰ καλῶς συμπεπῆχθαι δοκοῦντα. Idem.

Οὐ γὰρ ἔστιν] Ἐπανάληψις διαβεβαιωτικὴ, καὶ γνώμη ἀποφαντικωτέρα ἴσως ἢ ἀληθεστέρα, παρ' ἡμῖν γε, τοῖς συνεχῶς τυραννουμένοις, καὶ ἀπατωμένοις. Idem.

Οὐ γάρ ἐστιν, —— δύναμιν βεβαίαν κτήσασθαι] Ad res feliciter agendas plurimum conferre pietatem erga deos, et justitiam erga homines, hoc est quod sæpe sæpius prædicat Demosthenes. Contra, nihil omnino stabile esse quod justitiæ fundamento haud nititur. Illustris est in hanc sententiam locus Orat. de Coron. §. ξζ. θεάσασθε τοίνυν ὡς σαθρὸν, ὡς ἔοικεν, ἐστὶ φύσει πᾶν ὅ,τι μὴ δικαίως ᾖ πεπραγμένον. Mount.

Ἀδικοῦντα] Τῷ ἀδικεῖν διὰ τοῦ ἀδικεῖν. Wolf.

Καὶ ἐπιορκοῦντα] Casaubonus, ad Equit. Aristoph. ver. 298. v. ἐπιορκῶ, hæc observat. "ὅρκος, *jusjurandum:* ἐπιορκεῖν, proprie *jusjurandum aliud addere, iterum jurare.* Usus auctorum obtinuit, ut ponatur in malam partem de pejerante; quasi monerent nos viri sapientes non multum interesse inter pejerantem, et sæpe jurantem, ut recte disputat Hierocles in Carmina Pythagoræ. Lysias in Theomnestum ἐπιορκήσαντα exposuit ὀμόσαντα, *eum qui juravit.*" Harpoc. Mount.

Οὐκ ἔστι κτήσασθαι] Οὐχ οἷόν τε ἢ δυνατόν ἐστι κτήσασθαι, id est, ὅπως ἄν τις κτήσηται, ἢ οὐ δύναταί τις κτήσασθαι. Wolf.

Ἀλλὰ τὰ τοιαῦτα] Τὸ ἀδικεῖν, καὶ τὰ λοιπά. Idem.

Εἰς μὲν ἅπαξ] Ἅπαξ γενόμενα, μᾶλλον δὲ σπανιάκις ἀντέχει, τουτέστι, διαμένει, καὶ οὐ καταγωνίζεται ἢ καταπίπτει. Notetur præpositio adverbio juncta: εἰς ἅπαξ διαιρέτως, sed εἰσαεὶ ὑφέν. Idem.

Εἰς μὲν ἅπαξ] Præp. εἰς sæpius struitur cum adverbiis temporis: εἰς μακρὰν §. ζ'. εἰς τότε de Class. §. ή. præivit Hom. Od. II. 99. Nostrum locum, ex quo patet, εἰς ἅπαξ non esse conjunctim scribendum, laudat Thom. M. p. 479. Rüdig.

Ἀντέχει] Hæc vox neutral.: *sustinere impetum, durare,* Olynth. I. (III.) §. ί. cfr. Xen. Mem. IV. 7. 7.: λίθος ἐν πυρὶ ὢν — οὔτε πολὺν χρόνον ἀντέχει, ὁ δὲ ἥλιος — διαμένει, Schol. ἰσχύει. Idem.

Καὶ σφόδρα γε ἤνθησεν] Ἀνθεῖν εἴωθεν. Wolf.

Σφόδρα γε ἤνθησεν] Est γε admirationem excitantis: Olynth. III. (II.) §. ί. Hom. Il. V. 132. 303. Lucian. Dial. M. XVII. 1. Herm. ad Vig. 825. Rüdig.

Ἂν τύχῃ] *Si res ita tulerit:* fieri aliquando potest, τῶν ἐνδεχομένων ἐστὶν ἀνθῆσαι τὰ τοιαῦτα ταῖς ἐλπίσι. Wolf.

Τῷ χρόνῳ δὲ φωρᾶται] Ἐλέγχεται, τὰ φώρια καταλαμβάνεται. Idem.

Περὶ αὐτὰ καταῤῥεῖ] Malim aspirate αὑτὰ, pro ἑαυτὰ, *circa se ipsa diffluunt,* vel *defluunt.* haud scio, an legendum sit παρ' αὑτὰ, *per seipsa,* id est, ipsa sese destruunt, sua sponte dilabuntur, decidunt instar flosculorum, cum vel aruerunt, vel

ταῤῥεῖ. ὥσπερ γὰρ οἰκίας, οἶμαι, καὶ πλοίου καὶ τῶν ἄλλων τῶν τοιούτων τὰ κάτωθεν ἰσχυρότατα εἶναι δεῖ, οὕτω καὶ τῶν πράξεων τὰς ἀρχὰς καὶ τὰς ὑποθέσεις ἀληθεῖς καὶ δικαίας εἶναι προσήκει. τοῦτο δὲ οὐκ ἔνι νῦν ἐν τοῖς πεπραγμένοις Φιλίππῳ.

έ. Φημὶ δὴ δεῖν ὑμᾶς ἅμα τοῖς μὲν Ὀλυνθίοις βοηθεῖν, καὶ ὅπως τις λέγει κάλλιστα καὶ τάχιστα, οὕτως ἀρέσκει μοι· πρὸς δὲ Θετταλοὺς πρεσβείαν πέμπειν, ἢ τοὺς μὲν διδάξει ταῦτα, τοὺς δὲ παροξυνεῖ· καὶ γὰρ νῦν εἰσὶν ἐψηφισμένοι Παγασὰς ἀπαιτεῖν καὶ περὶ Μαγνησίας λόγους ποιεῖσθαι. σκοπεῖσθε μέντοι τοῦτο, ὦ ἄνδρες Ἀθηναῖοι, ὅπως μὴ λόγους ἐροῦσι μόνον [1] οἱ παρ' ἡμῶν πρέσβεις, ἀλ-

[1] [οἱ παρ' ἡμῶν πρέσβεις]

vento agitantur. Sic in Psalmis impiorum felicitas pulveri, quem ventus dissipat, et gramini tectis innato comparatur. Idem. Valde arridet Wolfii conjectura. Hic plane loci sensus est, atque ita eum interpretantur Nic. Carrus, et Tourrellus. Illud *αὑτὰ* aspirate non necessariam est, cum apud optimos scriptores *αὐτὰ* pro *αὑτὰ* frequentissime invenies. Verisimile est scripsisse Demosthenem *παρ' ἑαυτὰ*, a quo facilior adhuc erat lapsus in *περὶ αὑτά*. Mount. *Ultro delabuntur*, plerique vertunt. Rectius fortasse, *eodemque recidunt*, unde exstructa sunt, scilicet. Translata est metaphora (teste Schol.) a veteri aliquo pariete, qui diuturnitate temporis pereditur. Stock.

Οἶμαι] *for instance.* Antonius et Maximus serm. 1. Taylor.

Καὶ πλοίου] *Διά τάς τε ὑφάλους πέτρας, καὶ τὸ ἐπικεῖσθαι τῇ τρόπιδι ἅπαν πλήρωμα καὶ βάρος τῶν ἐν τῇ νηΐ.* Wolf.

Τὰ κάτωθεν ἰσχυρότατα εἶναι δεῖ] Veteres Grammatici vituperabant Demosthenem, quod *κάτωθεν* dixerit, non *κάτω*. Ulpianus eum defendit, quod ex inferiore parte in superiorem ædificetur. Id quidem *κάτωθεν* significare potest, ex imo omnia solida esse oportere. Sed quum alia derivata in *θεν*, tum imprimis *κάτωθεν*, non motum ex loco, sed esse in loco significat. Cf. Schaefer. Melet. Crit. p. 78. Brem.

Καὶ τὰς ὑποθέσεις] *Οὐχὶ τὰς τῶν λόγων περιοχὰς, οὐδὲ τὰ ὡρισμένα τῶν ζητημάτων· ἀλλὰ τὰ κάτωθεν καὶ τὰ θεμέλια. μεταφορικὴ γὰρ ἐνθάδε ἡ λέξις.* Wolf.

Ἀληθεῖς] *Κεχωρισμένας ψεύδους καὶ ἐπιορκίας.* Idem.

Καὶ δικαίας] *Οὐ πλεονεκτικάς.* Idem.

Τοῦτο δ' οὐκ ἔνι] *Ὁλόκληρος ὁ συλλογισμὸς ὡδίπως γένοιτ' ἄν, οὐδεμία τῶν ἀδίκων δυναμέων βεβαία ἐστίν. ἡ τοίνυν Φιλίππου ἄδικος, οὐκ ἄρα βεβαία. τί δὲ τὸ συμβαῖνον ἐντεῦθεν; ὅτι ἀβέβαιον κεκτημένος δύναμιν οὐκ ἔστιν ἄμαχος, οὐδὲ φοβερός.* Idem.

έ. Φημὶ δὴ δεῖν] *Ἀρξάμενος μὲν τοῦ λόγου, διὰ τοῦ δηλῶσαι, ὅτι θείας εὐεργεσίας ἐστὶν ἡ τῶν Ὀλυνθίων συμμαχία· ἅμα καὶ ὅτι βοηθεῖν αὐτοῖς προσήκει, ἀπέφηνε. νυνὶ δὲ, ἀποδεῖξαι πειραθεὶς, ὅτι καὶ δυνήσονται Φιλίππῳ ἐναντιοῦσθαι· ἐπιλογιζόμενος, καὶ τὸ τοῦ τρόπου, καὶ πῶς δεῖ ποιεῖσθαι τὴν βοήθειαν, ἐκτίθεται.* Idem.

Ἅμα μὲν] *Διμερὴς ὁ ἐπίλογος, πρῶτον μὲν, περὶ βοηθείας, δεύτερον δὲ, περὶ πρεσβείας λέγων, μετὰ προσδιορισμῶν, ὅτι τοὺς λόγους δέοι τοῖς ἔργοις πιστώσασθαι. παῤῥησίᾳ γὰρ κέχρηται ὁ ῥήτωρ.* Idem.

Ὅπως τις — οὕτως] Hæc se excipiunt ut p. 40. v. 4. *ὅσῳ — τοσούτῳ*, nisi quod h. l. ad *οὕτως* superlativum non additum vides, qui in ipsa voce *ἀρέσκει* inest; hinc non *μάλιστα* supplendum cum Reiskio. Rüdig.

έ. Οὕτως ἀρέσκει μοι] Scilicet *μάλιστα*. Sicut τὸ *ὅπως* superlativos habet *τάχιστα καὶ κάλλιστα*. Wolf.

Ἢ τοὺς μὲν διδάξει] Quæ? perfidiamne et imbecillitatem Philippi? an nostros conatus? an potius utrumque? Idem.

Τοὺς δὲ παροξυνεῖ] Eos qui, cum ipsi rem omnem intelligant, metu Philippi quiescunt. Idem.

Παγασὰς ἀπαιτεῖν] Pagasas, Thessaliæ oppidum in promontorio Pheræorum situm, Philippus quinque annos ante habitam hanc orationem in potestatem suam redegerat. Mount.

Λόγους ποιεῖσθαι] Dicuntur, qui id, quod alii sibi assumserunt, vindicant: in Aphob. I. p. 818. 8. ed. R. *ἐποιήσατο λόγους περὶ τούτων ὁ Δημοχάρης* sc. de re familiari, qua

λὰ καὶ ἔργον τι [1] δεικνύναι ἕξουσιν ἐξεληλυθότων ἡμῶν ἀξί-
ως τῆς πόλεως καὶ ὄντων ἐπὶ τοῖς πράγμασιν, ὡς ἅπας
31 μὲν λόγος, ἂν ἀπῇ τὰ πράγματα, μάταιόν τι φαίνεται
καὶ κενόν, μάλιστα δὲ ὁ παρὰ τῆς ἡμετέρας πόλεως· ὅσῳ
γὰρ ἑτοιμότατ᾽ αὐτῷ δοκοῦμεν χρῆσθαι, τοσούτῳ μᾶλλον
ἀπιστοῦσι πάντες αὐτῷ.

ς΄. Πολλὴν δὴ τὴν μετάστασιν καὶ μεγάλην δεικτέον
τὴν μεταβολήν, εἰσφέροντας, ἐξιόντας, ἅπαντα ποιοῦντας
ἑτοίμως, εἴπερ τις ὑμῖν προσέξει τὸν νοῦν. κἂν ταῦτα
ἐθελήσητε ὡς προσήκει καὶ δεῖ περαίνειν, οὐ μόνον, ὦ ἄνδρες
Ἀθηναῖοι, τὰ συμμαχικὰ ἀσθενῶς καὶ ἀπίστως ἔχοντα
φανήσεται Φιλίππῳ, ἀλλὰ καὶ τὰ τῆς οἰκείας ἀρχῆς καὶ 22
δυνάμεως κακῶς ἔχοντα ἐξελεγχθήσεται. ὅλως μὲν γὰρ
ἡ Μακεδονικὴ δύναμις καὶ ἀρχὴ ἐν μὲν προσθήκης μέρει
ἐστί τις οὐ σμικρά, οἷον ὑπῆρξέ ποθ᾽ ὑμῖν ἐπὶ Τιμοθέου

[1] † δεικνύειν

tutores Demosthenis potiti erant. Rüdig.

Ἐξεληλυθότων ὑμῶν] S. μεθ᾽ ὅπλων ἐκ τῆς πόλεως, ἐκστρατευσάντων. Wolf.

Ἀξίως τῆς πόλεως] Μετὰ μεγάλης τῆς δυνάμεως, ἐπειδὴ μεγίστη καὶ ἀξιωματικωτάτη ἡ πόλις. Idem.

Ὄντων ἐπὶ τοῖς] Similiter Noster p. 928. 11. ed. R. πλευσεῖσθαι ἐπὶ τοῖς χρήμασι, i. e. ut invigiles mercibus. Rüdig.

Ὡς ἅπας μὲν λόγος] Alludit ad ignavam Atheniensium eloquentiam. Sic Isocratis Archidamus ἀεὶ ἐνόμισε τοὺς περὶ τοὺς λόγους διατρίβοντας, ἀργοτέρους εἶναι τὰς πράξεις. ubi multum verborum, ibi plerumque est parum rerum: nec ab re Turnus Drancen objurgat his verbis [Æn. xi. 389.]

—*An tibi Mavors*
Ventosa in lingua pedibusque fugacibus istis
Semper erit?—

Huic Ciceronianum dictum opponatur: *ubi rerum adsint testimonia: nihil opus esse verbis.* Wolf.

Ὅσῳ ἑτοιμότατα] Ἀντὶ τοῦ, πολλῷ ἑτοιμότερον τῶν ἄλλων· πολλὰ μὲν ἐπαγγελλόμενοι, ὀλίγα δ᾽ ἐπιτελοῦντες. Idem.

Ἑτοιμότατα] De hoc superlativi usu cfr. Matth. Gr. §. 462. Aliis etiam locis orator Atheniensibus exprobrat, quod τριήρεις κενὰς emiserint. Phil. I. §. ιέ. Olynth. III. (II.) §. γ΄. Rüdig.

ς΄. Πολλὴν δὲ τὴν μετάστασιν] Isocrates de pace: ἢν μεταβαλώμεθα τὸν τρόπον, καὶ δόξαν βελτίω λάβωμεν etc. Wolf.

Τὴν μετάστασιν — μεταβολὴν] Reiske μεταβολὴν in suspicionem vocat, sed sine idonea causa, nam hunc vidimus a Demosthene teneri morem, ut binis vocibus gravitatem sententiæ augeat: confirmatur etiam lect. vulgata testimonio scholiastæ, qui subtilius utramque vocem distinguit. Verbale δεικτέον cum accus. struitur, inest notio verbi δεῖ. cfr. Matth. Gr. p. 623. Rüdig.

Εἴπερ προσέξει] Ἀντὶ τοῦ, εἰ βουλόμεθα προσέχειν τινὰ ἡμῖν. Wolf.

Προσέξει τὸν νοῦν] Vid. Phil. I. §. γ΄. fin. *navare cui suam operam*; futurum notionem *finis* exprimit. Rüdig.

Κἂν ταῦτα ἐθελήσητε] Hactenus consilium: cujus nunc fructum exponit, et magis etiam Macedonum vires extenuat, quod et per se parvæ sint, et Philippo parum fidæ. Wolf.

Τὰ συμμαχικὰ] Στρατεύματα, τοὺς συμμάχους. Idem.

Ἐν μὲν προσθήκης μέρει] Προστιθεμένη ἑτέρᾳ δυνάμει. Idem.

Οἷον ὑπῆρξέ ποθ᾽] Τὸ, οἷον, adverbium. Alioqui dicendum οἷα. Idem.

Ἐπὶ Τιμοθέου] Historiæ fides sit penes auctorem et Ulp. Idem. Nullus, quod scio, Historicorum hujus expeditionis mentionem fecit, excepto Nepote, qui quidem inter Timothei præclare facta, Olynthios eum subegisse refert, de Macedonicis autem copiis ei conjunctis nihil dicit. Mount.

πρὸς Ὀλυνθίους· πάλιν αὖ πρὸς Ποτίδαιαν Ὀλυνθίοις ἐφάνη τι τοῦτο συναμφότερον· νυνὶ δὲ Θετταλοῖς νοσοῦσι καὶ στασιάζουσι καὶ τεταραγμένοις ἐπὶ τὴν τυραννικὴν οἰκίαν ἐβοήθησε. καὶ ὅποι τις ἄν, οἶμαι, προσθῇ κἂν μικρὰν δύναμιν, πάντ' ὠφελεῖ. αὐτὴ δὲ καθ' αὑτὴν ἀσθενὴς καὶ πολλῶν κακῶν ἐστὶ μεστή. καὶ γὰρ οὗτος ἅπασι τούτοις οἷς ἄν τις μέγαν αὐτὸν ἡγήσαιτο, τοῖς πολέμοις καὶ ταῖς στρατείαις, ἔτ' ἐπισφαλεστέραν αὐτήν, ἢ ὑπῆρχε φύσει, κατεσκεύακεν ἑαυτῷ. μὴ γὰρ οἴεσθε, ὦ ἄνδρες Ἀθηναῖοι, τοῖς αὐτοῖς Φίλιππόν τε χαίρειν καὶ τοὺς ἀρχομένους, ἀλλ' ὁ μὲν δόξης ἐπιθυμεῖ, καὶ τοῦτο ἐζήλωκε, καὶ προῄρηται πράττων καὶ κινδυνεύων, ἂν συμβῇ τι, παθεῖν,

Ἐπὶ Τιμοθέου] Timotheus, ejus Cononis filius, qui Athenas a Lacedæmoniis afflictas restauravit: eique in isto opere strenuus etiam adjutor. Plures postea urbes, inter alias vero Potidæam, patriæ suæ recuperavit. Nemo alius Imperator belli sortem expertus est minus inconstantem: etenim nihil unquam aggressus est quod ei non prospere successit. Felicitatem eam qui illi invidebant dormientem eum pingebant, Fortuna interim prope ipsum urbes retibus capiente. Quibus ille immotus: "Urbes dormiens capio: ecquid vigilans non faciam?" *Tourrell.* Confer Schol. ad Plut. Aristoph. ver. 180. IDEM.

Ἐπὶ Τιμοθέου] Timotheus, quem Corn. Nep. Olynthios subegisse tradit, auctore Diod. S. XV. 47. Ol. 101. 3. in Thraciam profectus multas ibi civitates in societatem civium suorum pertraxerat. Hoc tempore Macedoniæ præfuit Amyntas, qui (Æsch. de f. leg. §. ιγ'.) familiaritate utebatur Atheniensium; his ille videtur Perdiccam filium, quem Schol. commemorat, ad opem ferendam misisse. RÜDIG.

Ὀλυνθίοις ἐφάνη τι] Olynthiorum plurimum videtur interfuisse, tenere Potidæam, cfr. §. γ'. ibique dicta. Ut Phil. I. §. δ'. per τινὰς vidimus *non paucos* significari, ita hic per τὶ *magnum aliquid* exprimitur: eodem modo Lat. *aliquid*. Cic. Tusc. I. 10. Ovid. Metam. XIII. 241. IDEM.

Τοῦτο συναμφότερον] Scilicet ἥ τε Μακεδονικὴ καὶ ἡ Ὀλυνθιακὴ δύναμις. WOLF.

Θετταλοῖς νοσοῦσι] Sc. τὴν ψυχὴν διὰ τὴν στάσιν καὶ ταραχήν. IDEM.

Θετταλοῖς—ἐβοήθησε] Alexander, Pherarum tyrannus, ab uxore ejusque fratribus Lycophrone et Tisiphono Ol. 105. 4. trucidatus fuit; hinc illi gratia apud populum erant. Diod. S. XVI. 14. Sed quum consilio mutato principatum retinerent, *Aleuadæ*, nobile genus, ex quo ipso Schol. illos tyrannos oriundos dicit, Philippum Ol. 106. 4. arcessiverant, qui anno sequenti ita bello finem fecit, ut tyranni Pheras Philippo traderent. Diod. S. XVI. 35. 36. Jam intelligitur, cur talem describat Thessalorum statum, qui omnino perfidi habebantur. RÜDIG.

Ἐπὶ τὴν τυραννικὴν οἰκίαν ἐβοήθησε] Adversus Pitholaum et Lycophronem, qui cum, sorore Thebe adjutrice, affinem Alexandrum occidissent, tyrannicidæ habiti: non multo post ipsi eandem tyrannidem occuparunt. WOLF. Olymp. 106. a. 4. *Tourrell.* Vid. Diod. l. XVI. et Xenoph. l. VI. MOUNT.

Καὶ ὅπη τις ἂν] Οὐδὲν ἐξαίρετον ἔχει ἡ Μακεδονικὴ δύναμις. WOLF. Leg. ὅπῃ. TAYLOR.

Πάντ' ὠφελεῖ] Πότερον ἡ δύναμις ὠφελεῖ πάντα ἄνθρωπον, ἢ πράγματα πάντα; ἢ πάντα τὰ προστιθέμενα ὠφελεῖ; IDEM.

Πάντ' ὠφελεῖ] Si quid inchoatum vel parvo additamento absolvitur, hoc ipsum, quoniam perfecit rem, maximi facimus; nam ita illa integra facta eique toti consultum est; cavet, ne cives Philippo tribuant, quod casui debeatur. Cel. Hermannus mavult legi τὰ πάντα et Reisk. πάντως ὠφελεῖ, *semper prodest.* RÜDIG.

Ἐπισφαλεστέραν] Ἐπικινδυνωτέραν. WOLF.

Καὶ τοῦτο ἐζήλωκε] Τὸ δόξαν λαβεῖν. Nam δόξης ἐπιθυμεῖ, præcessit. IDEM.

Προῄρηται πράττων] *Decrevit agendo et periclitando,* id est, rebus gerendis et periculis adeundis, *si quid acciderit, pati,* id est, mori non recusat. Supra τοῦτο ἐζήλωκε pro τὴν δόξαν ἐζήλωκε, *gloriam admiratur,* summum bonum in gloria collocat.

32 τὴν τοῦ διαπράξασθαι ταῦτα, ἃ μηδεὶς πώποτε ἄλλος Μακεδόνων βασιλεύς, δόξαν ἀντὶ τοῦ ζῆν ἀσφαλῶς ᾑρημένος· τοῖς δὲ τῆς μὲν φιλοτιμίας τῆς ἀπὸ τούτων οὐ μέτεστι, κοπτόμενοι δὲ [1] ἀεὶ ταῖς στρατείαις ταύταις ταῖς [2] ἄνω κάτω λυποῦνται καὶ συνεχῶς ταλαιπωροῦσιν, οὔτ' ἐπὶ τοῖς ἔργοις οὔτ' ἐπὶ τοῖς αὑτῶν ἰδίοις ἐώμενοι διατρίβειν, οὔθ' ὅσ' ἂν πορίσωσιν οὕτως ὅπως ἂν δύνωνται, ταῦτ' ἔχοντες διαθέσθαι [3] κεκλῃμένων τῶν ἐμπορίων τῶν ἐν τῇ χώρᾳ διὰ τὸν πόλεμον.

ζ'. Οἱ μὲν οὖν πολλοὶ Μακεδόνων πῶς ἔχουσι Φιλίππῳ, ἐκ τούτων ἄν τις σκέψαιτο οὐ χαλεπῶς· οἱ δὲ δὴ περὶ 23 αὐτὸν ὄντες ξένοι καὶ πεζέταιροι δόξαν μὲν ἔχουσιν ὡς

[1] αἰεὶ [2] ἄνω τε καὶ κάτω [3] κεκλεισμένων

Cic. 1. Offic. de fortitudine agens, 'Est, inquit, in hoc genere molestum, quod in maximis animis splendidissimisque ingeniis, plerumque exsistunt honoris, imperii, potentiæ, gloriæ cupiditates.' Idem.

Προῄρηται] Vid. ad Phil. I. §. ιϛ'.; de perfecti hujus usu valet, quod Herm. d. em. rat. gr. p. 186. dicit: tempus significat præteritum terminatum præsenti tempore ita, ut res, quæ perfecto exprimitur, nunc peracta dicatur, illudque jam, peractam rem esse, præsens sit. Quid διαπράξασθαι sit, dictum ad Phil. I. Rüdig.

Μακεδόνων βασιλεὺς] Scilicet διεπράξατο. Wolf. Vid. Pausan. VIII. 7.

'Αντὶ τοῦ ζῆν ἀσφαλῶς] 'Αντ' ἀσφαλοῦς ζωῆς. Wolf.

Καὶ τὰ δίκαια λέγειν] Malim ποιεῖν, aut κἀμὲ τὰ δίκαια λέγειν: vel καὶ τὰ δίκαια λέγειν ἐμέ, Wolf. Quod in textum rec. Auger., sed λέγειν pertinet ad δόξομεν, videtur enim alios significare oratores, qui idem dicerent. Rüdig.

Οἴμαι δείξειν] *Puto comprobatum iri,* quæ docui. Idem.

Πρὸς δὲ τοὺς] F. πρὸς δὲ, S. τούτοις, τούς. *Ad hæc.* Alioqui malim τὸ, πρὸς δὲ, omitti, et legi: τοὺς δὲ οἰομένους, etc. βούλομαι λογίσασθαι πρὸς τοὺς οἰομένους, videtur insolens. Wolf. Nimirum, si λογίσασθαι est *cogitare,* non, *ratiocinari.* Reisk. et ipse πρὸς δὲ separatim poni jussit, *præterea.* Sed opponit iis, quæ demonstraverit, orator ea, quæ sit ratiocinaturus atque disputaturus apud illos, qui audacter quævis suscipienda et subeunda esse clament neque bellum fore prævideant. Beck.

Ὑπομένειν] Obsop. ὑπομεῖναι, quod est mollius. Wolf. Sed vereor, ne ita offenderit Athenienses. Rüdig.

Προορωμένους] Προορᾷν notionem *cavendi,* ne quid mali patiamur, innuit. Phil. II. p. 67. 24. ed. R. πάνθ' ἃ προσήκει προορώμενοι. Rüdig.

Ἡμεῖς Θηβαίους ἐῶμεν ἔχειν Ὠρωπὸν] Sententia est: parum et sapienter et constanter eos facere, qui, cum ad majora et sua conniveant, summum jus in minoribus et alienis velint persequi. Wolf.

Ἀμφιπόλεως] Hæc fuit conditio pacis cum Philippo, ut ea, quæ occupaverat, retineret. Rüdig.

Καρδιανοὺς ἐῶμεν ἔξω, etc.] Fusius exponitur hoc in argumento orationis de Chersoneso. Stock. *Cardia,* urbs Chersonesi in Thracia, quam Cersobleptes (vid. ad Phil. I. §. ζ'.) Atheniensibus non donaverat, ita ut, quum hi illam in suam potestatem redigere vellent, Cardiani Philippi opem implorarent et Chersonesenses se esse negarent. Hæc Schol. ad h. l. Illa urbs quanti fuerit facienda, patet ex or. in Aristocr. 681, 17. ed. R. ὥσπερ Χαλκὶς τῷ τόπῳ τῆς Εὐβοίας πρὸ τῆς Βοιωτίας κεῖται, οὕτω Χεῤῥονήσου κεῖται πρὸ τῆς Θρᾴκης ἡ Καρδιανῶν πόλις. Rüdig.

Χεῤῥονησιωτῶν] Prætuli. Eandem vid. Xenoph. H. G. III, 2, 8., apud quem I. 3, 10. hanc ipsam formam reponi malim. De duplici ρ vid. Poppo Obss. Thuc. p. 147. Idem.

Καὶ τὸν Κᾶρα] Mausolus Cariæ rex insularibus contra Athenas fœderatis auxilium dedit. Confecto autem bello sociali, cum Athenienses coacti essent eos esse liberos et immunes sinere, tum Mausolus ex socio se dominum ipsorum fecit. Eo defuncto, conjux Artemisia in insulas jam victas imperium exercuit. Huic denique successit frater Hidrieus, qui Cariæ regnavit, quo tempore habita est hæc oratio. *Ex edit.* Stock. Ex Atticorum usu et pro τοὺς Κᾶρας et de rege Cariæ accipi potest. vid. Koen. ad Greg. Cor. de Dial. p. 52. Nimirum intelligitur Hidrieus s. Idrieus, Mausoli frater, qui tum Cariæ præfuit, inde ab Ol. CVII. 2. (Diod. S. XVI. 42. Eckhel. doctr. Numm. vett. II.

Κῶν καὶ Ῥόδον, καὶ Βυζαντίους κατάγειν τὰ πλοῖα, δῆλον
ὅτι τὴν ἀπὸ τῆς εἰρήνης ἡσυχίαν πλειόνων ἀγαθῶν αἰτίαν 82
εἶναι νομίζοντες ἢ τὸ προσκρούειν καὶ φιλονεικεῖν περὶ τού-
των. οὐκοῦν εὔηθες καὶ κομιδῆ σχέτλιον, πρὸς ἑκάστους
καθ᾽ ἕνα οὑτωσὶ ἤδη προσενηνεγμένους περὶ τῶν οἰκείων καὶ
ἀναγκαιοτάτων, πρὸς ἅπαντας περὶ τῆς ἐν Δελφοῖς σκιᾶς
νυνὶ πολεμῆσαι;

p. 597.) Beck. i. e. regem Carum. Similiter Herodot. (I. 80. III. 7.) τὸν Λυδὸν, τὸν Ἀράβιον, ut Schweighaeuser, V. Cel., I. 3. pro τῶν Κόλχων βασιλῆα reposuit τὸν Κόλχον. Intelligitur rex Idrieus. Nam quum Mausolus, Cariæ rex, (mort. Ol. 106, 4. Diod. S. XVI. 36.), Ol. 105, 3. auxilia Chiis ceterisque, qui bellum sociale gerebant, (Diod. S. XVI. 7.), suppeditasset, hos ille in suam potestatem redegit, quam Athenienses Idrieo concedebant. Rüdig.

Κῶν] V. Diod. Sic. i. 81. xix. 86. Thucyd. viii. 41. ibique Wass. Beck.

Καὶ Βυζαντίους κατάγειν τὰ πλοῖα] Byzantini quoque defecerant, et cum insularibus erant fœderati in bello sociali. At quatenus istiusmodi injurias fecerint, aut unde fuit quod id impune tulerint, haud constat. *Ex edit.* Stock. Hesych. εἰς τὸν ναύσταθμον ἄγειν. Deduxerunt naves ad oram, aut ut inde merces sumerent (Noster in Polycl. p. 1207, 27. ed. R.), aut ut certa vectigalia nautæ penderent, *das Stapelrecht ausüben* [*to exercise the staple-right*] (Lept. 480, 15.). Hic sensus nostri loci. Nam quum Athenienses e Chersoneso Taurica frumenta importarent, sæpe fiebat, ut Byzantii, quorum urbs sita est ad Bosporum Thracium, naves deducerent. Quid sit πλοῖον, vid. ad Phil. I. §. ζ'. Rüdig.

Οὐκοῦν εὔηθες κ. τ. λ.] *Annon igitur stultum ac vehementer miserum, singulas adversus singulas commissas, de rebus propriis ac maxime necessariis, cum universis de umbra Delphica nunc depugnare?* Alludit ad proverbium, 'De Asini umbra,' cujus fabulam Plutarchus in Demosth. vita recenset, in hoc tantum a Demosthene dissentiens, quod hic Delphos, Megaram ille conductum ait. Plura Erasm. in Chiliad. *Ex edit.* Hervag.

Οἰκείων καὶ ἀναγκαιοτάτων] Illud refer ad oppida, hoc ad victum. Rüdig.

Περὶ τῆς ἐν Δελφοῖς σκιᾶς] Sic Amphictyoniam seu Pylæam per contemtum appellat. Alludit autem ad ὄνου σκιάν: etsi quid est aliud summus ille consessus regum et principum, nisi umbra quædam, brevi transitura? quæ ubi præteriit, perinde est, ac si nulla fuisset. Sic umbra umbræ succedit, Philippus Phocensibus, Antipater Philippo, et deinceps alius alii, donec una cum umbris ipse etiam locus est redactus ad nihilum. Wolf. *Pro umbra Delphica.* Hoc est, pro inani appellatione Amphictyonis, sive patroni templi Delphici. *Ex edit.* Stock. Didymus, inquit Harpocratio, ait proverbium de asini umbra detortum esse ab oratore de umbra delphica loquente: asini autem umbram dici in eos qui de rebus nihili contendunt. Auger. v. Schol. Aristoph. Vesp. 191.

ΛΙΒΑΝΙΟΥ ΥΠΟΘΕΣΙΣ ΦΙΛΙΠΠΙΚΟΥ Β.

Pag. ed. aliq. cit. — Pag. ed. Reisk.

83 ΠΑΡΑΙΝΕΙ διὰ τούτου τοῦ λόγου τοῖς Ἀθηναίοις ὁ ῥήτωρ πολέμιον ὑποπτεύειν τὸν Φίλιππον 64
καὶ τῇ εἰρήνῃ μὴ πάνυ [1]τι πιστεύειν, ἀλλὰ ἐγείρεσθαι καὶ προσέχειν τὸν νοῦν τοῖς πράγμασι
καὶ εὐτρεπίζεσθαι εἰς πόλεμον· ἐπιβουλεύειν γὰρ αἰτιᾶται καὶ τοῖς Ἀθηναίοις καὶ πᾶσι τοῖς
Ἕλλησι τὸν Φίλιππον, καὶ τοῦτο αὐτοῦ καταμαρτυρεῖν τὰς πράξεις φησίν· ἐπαγγέλλεται δὲ
καὶ ἀποκρίσεις δώσειν πρός τινας πρέσβεις ἥκοντας, ἀπορούντων τῶν Ἀθηναίων [2]ὅπως ἀποκρίνα-
σθαι δεῖ. πόθεν δὲ οὗτοι καὶ περὶ τίνων ἥκουσιν, ἐν τῷ λόγῳ μὲν οὐ δηλοῦται, ἐκ δὲ τῶν
Φιλιππικῶν ἱστοριῶν μαθεῖν δυνατόν. κατὰ γὰρ τοῦτον τὸν καιρὸν ἔπεμψε πρέσβεις ὁ Φίλιπ-
πος πρὸς τοὺς Ἀθηναίους, αἰτιώμενος ὅτι διαβάλλουσιν αὐτὸν μάτην πρὸς τοὺς Ἕλληνας ὡς
[3]ἐπαγγειλάμενον αὐτοῖς πολλὰ καὶ μεγάλα, [4]ψευσάμενον δέ· οὐδὲν γὰρ [5]ὑπεσχῆσθαί φησιν
οὐδὲ ἐψεῦσθαι, καὶ περὶ τούτων ἐλέγχους ἀπαιτεῖ. ἔπεμψαν δὲ μετὰ Φιλίππου καὶ Ἀργεῖοι
καὶ Μεσσήνιοι πρέσβεις εἰς Ἀθήνας, αἰτιώμενοι καὶ οὗτοι τὸν δῆμον, ὅτι Λακεδαιμονίοις καταδου-
λουμένοις τὴν Πελοπόννησον εὔνους τέ ἐστι καὶ συγκροτεῖ, αὐτοῖς δὲ περὶ ἐλευθερίας πολεμοῦ-
σιν ἐναντιοῦται. ἀποροῦσιν οὖν οἱ Ἀθηναῖοι καὶ πρὸς τὸν Φίλιππον ἀποκρίσεως καὶ πρὸς τὰς
πόλεις, ὅτι εὖνοι μέν εἰσι Λακεδαιμονίοις καὶ τὴν τῶν Ἀργείων καὶ Μεσσηνίων μετὰ Φιλίππου
σύστασιν καὶ μισοῦσι καὶ ὑποπτεύουσιν, οὐ μὴν ἀποφήνασθαι δύνανται δίκαια πράττειν τοὺς 65
Λακεδαιμονίους. πρὸς δὲ τὸν Φίλιππον διημαρτήκασι μὲν ὧν ἤλπισαν, οὐ μὴν ὑπ᾽ ἐκείνου γε
αὐτοῦ δοκοῦσιν ἐξηπατῆσθαι· οὔτε γὰρ ταῖς ἐπιστολαῖς ἐνέγραψεν ὁ Φίλιππος ἐπαγγελίαν
οὐδεμίαν, οὔτε διὰ τῶν ἰδίων [6]πρέσβεων ἐποιήσατό τινα ὑπόσχεσιν, ἀλλὰ Ἀθηναίων τινὲς ἦσαν
οἱ τὸν δῆμον εἰς ἐλπίδα καταστήσαντες, ὡς Φίλιππος Φωκέας σώσει καὶ τὴν Θηβαίων ὕβριν
καταλύσει. διὰ τοῦτο ὁ Δημοσθένης τῶν ἀποκρίσεων μνησθεὶς ἐπαγγέλλεται μὲν αὐτὰς δώ-
σειν, φησὶ δὲ ὅτι δίκαιον ἦν τοὺς τὴν δυσχέρειαν πεποιηκότας ἐκείνους καὶ τὰς ἀποκρίσεις ἀπαι-
τεῖσθαι, τοὺς ἀπατήσαντας, φησί, τὸν δῆμον καὶ ἀνοίξαντας Φιλίππῳ Πύλας. ταῦτα δὲ εἰς
τὸν Αἰσχίνην αἰνίττεται, προκατασκευαζόμενος, ὥς φασι, τὴν κατ᾽ αὐτοῦ κατηγορίαν τῆς
παραπρεσβείας, ἣν ὕστερον ἐνεστήσατο, καὶ προδιαβάλλων αὐτὸν πρὸς τοὺς Ἀθηναίους.

[1] † Deest τι. [2] † ὁπότε [3] ἐπαγγελλόμενον [4] ψευδόμενον [5] ὑπισχνεῖσθαι [6] πρεσβειῶν

Καὶ τοῦτο αὐτοῦ καταμαρτυροῦντος πράξειν φησὶ] Haud dubie, contra codicum consensum, legendum, *καὶ τοῦτ᾽ αὐτοῦ καταμαρτυρεῖν τὰς πράξεις φησὶ*, ut et Cicero: 'Ubi rerum (inquit) testimonia adsunt, quid opus est verbis?' WOLF.

Πόθεν δὲ οὗτοι καὶ περὶ τίνων] Obsop. *παρὰ τίνων*, *a quibus*. Sed illud melius. Nam *τὸ πόθεν* et locum et personas complectitur. Post lego, *ὡς ἐπαγγειλάμενον πολλὰ*, et, *οὐδὲ γὰρ ὑπεσχῆσθαί φησιν*. IDEM.

Ἐλέγχους ἀπαιτεῖ] Postulat se convinci vanitatis et insidiarum, si omnino tacere non possint. IDEM.

Συγκροτεῖ] Suidas *συνάγει, αὔξει, συνιστᾷ καὶ συνδεῖ, πρὸς ἁρμονίαν ἄγει, συνέχει, συμπράττει*. *quod Lacedæmoniis applaudat, adjutor sit*. IDEM.

ΦΙΛΙΠΠΙΚΟΣ Β.

ά. ῞ΟΤΑΝ, ὦ ἄνδρες Ἀθηναῖοι, λόγοι γίγνωνται περὶ 84
ὧν Φίλιππος πράττει καὶ βιάζεται παρὰ τὴν εἰρήνην, ἀεὶ
τοὺς ὑπὲρ ἡμῶν λόγους καὶ δικαίους καὶ φιλανθρώπους ὁρῶ
φαινομένους, καὶ λέγειν μὲν ἅπαντας ἀεὶ τὰ δέοντα δο-
κοῦντας τοὺς κατηγοροῦντας Φιλίππου, γιγνόμενον δ' οὐδὲν
ὡς ἔπος εἰπεῖν τῶν δεόντων οὐδ' ὧν [1]ἕνεκα ταῦτ' ἀκούειν
66 ἄξιον· ἀλλ' εἰς τοῦτ' ἤδη προηγμένα τυγχάνει πάντα τὰ
πράγματα τῇ πόλει, ὥσθ' ὅσῳ τις ἂν μᾶλλον καὶ φανε-
ρώτερον ἐξελέγχῃ Φίλιππον καὶ τὴν πρὸς ὑμᾶς εἰρήνην
παραβαίνοντα καὶ πᾶσι τοῖς Ἕλλησιν ἐπιβουλεύοντα,
τοσούτῳ τὸ τί χρὴ ποιεῖν συμβουλεῦσαι χαλεπώτερον
εἶναι. αἴτιον δὲ τούτων, ὅτι πάντας, ὦ ἄνδρες Ἀθηναῖοι,
τοὺς πλεονεκτεῖν ζητοῦντας ἔργῳ κωλύειν καὶ πράξεσιν,
οὐχὶ λόγοις δέον πρῶτον μὲν ἡμεῖς οἱ παριόντες τούτων
μὲν ἀφέσταμεν, καὶ γράφειν καὶ συμβουλεύειν διὰ τὴν πρὸς

[1] εἵνεκα

ά. Τοὺς ὑπὲρ ὑμῶν λόγους] Ὅτι ὑμεῖς καὶ δίκαια καὶ φιλάνθρωπα πράξαντες τυγχάνετε· Φίλιππος δὲ τἀναντία τούτων. Wolf.

Ὡς ἔπος εἰπεῖν] Ὡς φαίνεται, ὡς ἑνὶ λόγῳ εἰπεῖν (sic enim legendum) ὡς τύπῳ περιλαβεῖν. Vide Suidam. ὡς ἔπος, ὡς λόγος, scilicet ἐστὶν, *ut dicitur*. Platoni ἄρχων ὁ ὡς ἔπος εἰπεῖν (τὸ εἰπεῖν videtur delendum) est, ὁ δημοτικῶς λεγόμενος, is scilicet, qui rerum potitur, qualiscunque est: ὁ τῷ ἀκριβεῖ λόγῳ ἄρχων, verus princeps, qui sapientia et virtute aliis antecellit. ά. πολιτειῶν. Idem.

Οὐδ' ὧν εἵνεκα] Οὐδὲ τοιαῦτα γιγνόμενα, δι' ἅ. Idem.

Ἐξελέγχῃ — παραβαίνοντα] Ὅτι παραβαίνει. Sic ὁρῶ φαινομένους, ὅτι φαίνονται, ὁρῶ φαίνεσθαι Latine. Idem.

Πᾶσι τοῖς Ἕλλησιν ἐπιβουλεύοντα] Ὅπως ἂν καταδουλώσηται αὐτοὺς, καὶ ὑποχειρίους λάβῃ. Idem.

Ἡμεῖς οἱ παριόντες] Scilicet ἐπὶ τὸ βῆμα, οἱ λέγοντες, οἱ ῥήτορες, οἱ συμβουλεύοντες. [F. περὶ τούτων. aut post τούτων μὲν ἀφέσταμεν interpungendum, ut jungas ὀκνοῦντες καὶ γράφειν καὶ συμβ. etc. *In farrag.*] Idem.

Ἀφέσταμεν] Κατὰ συγκοπὴν, ἀντὶ τοῦ ἀφεστήκαμεν. ἀορ. β'. esset ἀπέστημεν, διὰ τοῦ π καὶ η. Idem.

Διὰ τὴν πρὸς ὑμᾶς ἀπέχθειαν] *Metu, ne vestram in invidiam incurram.* Ἡ πρός τινα ἀπέχθεια duplicem habet significationem, subjectivam, *odium, quo aliquem prosequor*, objectivam, *odium, quod est contra me apud aliquem.* Utraque significatio in brevi spatio invenitur de Cor. p. 237. ed. R. ταῦτα δ' ἀσμένως τινὲς ἤκουον αὐτοῦ διὰ τὴν τόθ' ὑποῦσαν ἀπέχθειαν πρὸς τοὺς Θηβαίους, subjective; objective contra illico: καὶ ἔτι πρὸς τούτοις (συνέβη) τὴν μὲν ἀπέχθειαν τὴν πρὸς τοὺς Θηβαίους καὶ Θετταλοὺς τῇ πόλει γενέσθαι, τὴν δὲ χάριν ὑπὲρ τῶν πεπραγμένων Φιλίππῳ. Objective etiam περὶ παραπρεσβείας p. 368. l. 2. s. ὑμῖν μὲν τὴν ἔχθραν τὴν πρὸς τοὺς Θηβαίους μείζω, Φιλίππῳ δὲ τὴν χάριν πεποίηκε. Hanc vim, a viris doctis in dubium nonnunquam vocatam, præpositio πρὸς habet, juncta vocabulis, quæ vel externum vel internum statum significant. Plato Lys. p. 212. B. τί δέ; ἆρά ἐστι καὶ μισεῖσθαι φιλοῦντα, οἷόν που ἐνίοτε δοκοῦσι καὶ οἱ ἐρασταὶ πάσχειν πρὸς

ὑμᾶς ἀπέχθειαν ὀκνοῦντες, οἷα ποιεῖ δέ, ὡς δεινὰ καὶ χα-
λεπά, ταῦτα διεξερχόμεθα· ἔπειθ' ὑμεῖς οἱ καθήμενοι, ὡς
μὲν ἂν εἴποιτε δικαίους λόγους καὶ λέγοντος ἄλλου [1]συνεί-
85 ητε, ἄμεινον Φιλίππου παρεσκεύασθε, ὡς δὲ κωλύσαιτ' ἂν
ἐκεῖνον πράττειν ταῦτα ἐφ' ὧν ἐστὶ νῦν, παντελῶς ἀργῶς
ἔχετε. συμβαίνει δὴ πρᾶγμα ἀναγκαῖον, οἶμαι, καὶ ἴσως
εἰκός· ἐν οἷς ἑκάτεροι διατρίβετε καὶ περὶ ἃ σπουδάζετε,
ταῦτ' ἄμεινον ἑκατέροις ἔχει, ἐκείνῳ μὲν αἱ πράξεις, ὑμῖν
δ' οἱ λόγοι. εἰ μὲν οὖν καὶ νῦν λέγειν δικαιότερα ὑμῖν ἐξαρ-
κεῖ, ῥᾴδιον, καὶ πόνος οὐδεὶς πρόσεστι τῷ πράγματι· εἰ δ'
ὅπως τὰ παρόντ' ἐπανορθωθήσεται, δεῖ σκοπεῖν, καὶ μὴ
προελθόντα ἔτι πορρωτέρω λήσει πάντας ἡμᾶς, μηδ' ἐπι-
στήσεται μέγεθος δυνάμεως πρὸς ἣν οὐδ' ἀντᾶραι δυνη-
σόμεθα, οὐχ ὁ αὐτὸς τρόπος ὅσπερ πρότερον τοῦ [2]βουλεύ-
εσθαι, ἀλλὰ καὶ τοῖς λέγουσιν ἅπασι καὶ τοῖς ἀκούουσιν
ὑμῖν τὰ βέλτιστα καὶ τὰ [3]σώσοντ' ἀντὶ τῶν ῥᾴστων καὶ
τῶν ἡδίστων προαιρετέον.

β'. Πρῶτον μὲν οὖν, εἴ τις, ὦ ἄνδρες Ἀθηναῖοι, θαῤῥεῖ

[1] *συνίητε* [2] *βουλεύσασθαι* [3] *σώσαντ' ἂν ἀντὶ*

τὰ παιδικά: ubi Heindorfius sine causa offendit. Brem.

Ὡς δεινὰ καὶ χαλεπὰ] Scilicet ἐστὶν, ἃ ποιεῖ. Wolf.

Οἱ καθήμενοι] Scilicet ἐν τῇ ἐκκλησίᾳ, οἱ ἀκούοντες. Idem.

Συνίητε] Ἀντὶ τοῦ, συνιῆτε. Dicitur enim præsenti conjunctivi, ἐὰν συνιῶ, ῇς, ῇ, ut ἐὰν τιθῶ, θῇς, θῇ. Idem.

Ἐφ' ὧν ἐστὶ νῦν] Ἃ πράττει, περὶ ἃ σπουδάζει καὶ ἀσχολεῖται. Idem.

Ἀργῶς ἔχετε] Ἀργοὶ ἐστέ. Idem.

Συμβαίνει πρᾶγμα, etc. ἔχειν ἄμεινον] Συμβαίνει πρᾶγμα. τὸ ποῖον; τὸ ἔχειν ἄμεινον, κατ' ἐπεξήγησιν, ὥστε ἔχειν ἄμεινον. Idem.

Συμβαίνει δὴ πρᾶγμα ἀναγκαῖον] Enuntiatio explicativa aut determinativa, sæpe ut directa, nulla nec particula nec conjunctione addita, ἀσυνδέτως, apponitur: quod haud raro viros doctos offendit. p. 110. l. 10. ed. R. ὥστε δέδοικα, μὴ βλάσφημον μὲν εἰπεῖν, ἀληθὲς δ' ᾖ· εἰ καὶ λέγειν ἅπαντες ἐβούλοντο — οὐκ ἂν ἡγοῦμαι δύνασθαι χεῖρον — διατεθῆναι, ubi Reiske sine causa legere voluit, ὅτι, εἰ καὶ λέγειν etc. Apud neminem scriptorum hoc frequentius quam apud Platonem multifariam; nonnunquam tamen viri docti lectionem tentarunt. Eodem pertinet, quod post formulas ὃ δὲ μέγιστον, ὃ δὲ δεινότατον, enuntiatio interdum ponitur sine particula aut conjunctione: de quo vide F. A. Wolfium ad Leptin. Vol. II. p. 510. Brem.

Ἐκείνῳ μὲν αἱ πράξεις, ὑμῖν δ' οἱ λόγοι] S. ἄμεινον ἔχουσιν. Alioqui ἀντίπτωσις erit, cum constructio postulet: συμβαίνει ἄμεινον ἔχειν ἐκείνῳ μὲν τὰς πράξεις, ὑμῖν δὲ τοὺς λόγους. Wolf. Leg. ἑκατέροις ἔχει· ἐκείνῳ μὲν αἱ πράξ. etc. vel ἑκατέροις ἔχειν· ἐκείνῳ μὲν τὰς πράξεις, ὑ. δὲ τοὺς λόγους. Lambinus.

Καὶ πόνος οὐδεὶς] Res facilis et nullius negotii est. Wolf.

Καὶ μὴ προελθόντα] Ὅπως μὴ τὰ πράγματα προελθόντα λήσει ἡμᾶς, μὴ προέλθοι οὐκ αἰσθομένων ἡμῶν. Idem.

Ἐπιστήσεται] S. Ὁ Φίλιππος, *ne adducat contra nos*, vel μέγεθος δυνάμεως ἐπιστήσεται, *ne magnitudo copiarum ingruat*, id est, ne tantis copiis et viribus oppugnemur. Idem.

Οὐδ' ἀντᾶραι] Οὐδὲ παρατάξασθαι, καὶ ἀντεπεξιέναι τοῖς πολεμίοις, διὰ τὸ μὴ ἀξιομάχους ἐκείνοις εἶναι. Idem.

Τὰ σώσοντα] Τὰ σωτήρια, *salutaria*. Idem.

Ἀντὶ τῶν ῥᾴστων προαιρετέον] Compositum pro simplici κατὰ πλεονασμόν. Sic Isocratis Panegyrico: ἅμα τούτους καλλίστους εἶναι τῶν λόγων προκρίνας, etc. Idem.

67 ὁρῶν ἡλίκος ἤδη καὶ ὅσων κύριός ἐστι Φίλιππος, καὶ μη-
δένα οἴεται κίνδυνον φέρειν τοῦτο τῇ πόλει μηδ' ἐφ' ὑμᾶς
πάντα ταῦτα παρασκευάζεσθαι, θαυμάζω, καὶ δεηθῆναι
πάντων ὁμοίως ὑμῶν βούλομαι τοὺς λογισμοὺς ἀκοῦσαί μου
διὰ βραχέων, δι' οὓς τἀναντία [1] ἐμοὶ παρέστηκε προσδοκᾶν
καὶ δι' [2] ὧν ἐχθρὸν ἡγοῦμαι Φίλιππον, ἵν' ἐὰν μὲν ἐγὼ δο-
κῶ [3] βέλτιον προορᾶν, ἐμοὶ πεισθῆτε, ἐὰν δ' οἱ θαῤῥοῦντες
καὶ πεπιστευκότες αὐτῷ, τούτοις πρόσθησθε. ἐγὼ τοίνυν,
ὦ ἄνδρες Ἀθηναῖοι, λογίζομαι, τίνων ὁ Φίλιππος κύριος
πρῶτον μετὰ τὴν εἰρήνην κατέστη; Πυλῶν καὶ τῶν ἐν
Φωκεῦσι πραγμάτων. τί οὖν; πῶς τούτοις ἐχρήσατο; ἃ 86
Θηβαίοις συμφέρει καὶ οὐχ ἃ τῇ πόλει πράττειν προεί-
λετο. τί δή ποτε; ὅτι πρὸς πλεονεξίαν, οἶμαι, καὶ τὸ
πάνθ' ὑφ' ἑαυτῷ ποιήσασθαι τοὺς λογισμοὺς ἐξετάζων,
καὶ οὐχὶ πρὸς εἰρήνην οὐδ' ἡσυχίαν οὐδὲ δίκαιον οὐδέν, εἶδε
τοῦτο ὀρθῶς, ὅτι τῇ μὲν ἡμετέρᾳ πόλει καὶ [4] τοῖς ἤθεσι τοῖς
ἡμετέροις οὐδὲν ἂν ἐνδείξαιτο [5] τοσοῦτον οὐδὲ ποιήσειεν, ὑφ'
οὗ πεισθέντες ὑμεῖς τῆς ἰδίας ἕνεκ' ὠφελείας τῶν ἄλλων
τινὰς Ἑλλήνων ἐκείνῳ πρόοισθε, ἀλλὰ καὶ τοῦ δικαίου
λόγον ποιούμενοι, καὶ τὴν προσοῦσαν ἀδοξίαν τῷ πράγματι
φεύγοντες, καὶ πάνθ' ἃ προσήκει προορώμενοι, ὁμοίως ἐναν-
τιώσεσθε, ἄν τι τοιοῦτον ἐπιχειρῇ πράττειν, ὥςπερ ἂν εἰ
πολεμοῦντες τύχοιτε· τοὺς δὲ Θηβαίους ἡγεῖτο, ὅπερ συνέ-
βη, ἀντὶ τῶν ἑαυτοῖς γιγνομένων τὰ λοιπὰ ἐάσειν ὅπως

[1] μοι [2] * οἷς [3] βέλτιον τῶν ἄλλων προορᾶν [4] τοῖς ἡμετέροις ἤθεσιν
[5] † τοιοῦτον

β'. Ἐφ' ὑμᾶς] Καθ' ὑμῶν, εἰς τὸ καταδουλώσασθαι ὑμᾶς. Idem.

Βούλομαι δεηθῆναι ὑμῶν, ἀκοῦσαί μου] Ἵνα ἀκούητέ μου. Multa verba Græcorum feruntur in infinitivum, qui Latine per ut τελικὸν est exponendus. Idem.

Μοὶ παρέστηκε προσδοκᾶν] Sic γ'. (β'.) Ὀλ. οὐ ταὐτὰ παρίσταταί μοι γινώσκειν. Idem.

Βέλτιον τῶν ἄλλων προορᾶν] S. τὰ μέλλοντα. et βέλτιον, ἀντὶ τοῦ, μᾶλλον. Idem.

Οἱ θαῤῥοῦντες] S. αὐτῷ, aut absolute, οἱ μηδὲν δεδιότες, securi, imperterriti. Idem.

Πυλῶν] Pylas jam ab Ol. cviii. ϛ'., quo bellum Phocicum confecerat, tenebat Philippus. Phil. Γ. 119, 15. ed. R. Et eapropter, dirutis Phocensium oppidis ac populo dispalato, aditus ei in Græciam in dies patebat. *F. Jacobs.*

Τῶν ἐν Φωκεῦσι πραγμάτων] Τῆς Ἀμφικτυονίας, καὶ τῆς διαθέσεως τῶν Πυθίων, μᾶλλον δὲ, ὅλης τῆς Φωκίδος. Wolf.

Ἃ Θηβαίοις συμφέρει] Hic aliter egisse monstratur Philippus, ac blaterantes quidam, quo Atheniensibus fucum facerent, acturum eum prædicabant. Cfr. h. or. §. ϛ'., Phil. A. §. ιϛ'., Phil. B. §. γ'. et alibi.

Τοὺς λογισμοὺς ἐξετάζων] Λογιζόμενος, καὶ σκοπῶν, πῶς ἂν πλεονεκτήσειε; τοὺς λογισμοὺς ἀναφέρων ἐπὶ πλεονεξίαν. Wolf.

Τοῖς ἡμετέροις ἤθεσι] Ἀντὶ τοῦ, ἡμῖν τοῖς τοιαῦτα ἤθη ἔχουσι. Idem.

Ποιήσειεν] F. ποιῆσαι, aut ποιήσειν. Taylor.

Ἄν τι] Ἐάν τι. Wolf.

Ὥσπερ ἂν] S. ἠναντιώθητε. Idem.

βούλεται πράττειν αὐτόν, καὶ οὐχ ὅπως ἀντιπράξειν καὶ
διακωλύσειν, ἀλλὰ καὶ συστρατεύσειν, ἂν [1] αὐτοὺς κελεύῃ. 68
καὶ νῦν τοὺς Μεσσηνίους καὶ τοὺς Ἀργείους ταὐτὰ ὑπει-
ληφὼς εὖ ποιεῖ. ὃ καὶ μέγιστόν ἐστι καθ᾽ ὑμῶν ἐγκώμιον,
ὦ ἄνδρες Ἀθηναῖοι· κέκρισθε γὰρ ἐκ τούτων τῶν ἔργων
μόνοι τῶν [2] πάντων μηδενὸς ἂν κέρδους τὰ κοινὰ δίκαια τῶν
Ἑλλήνων προέσθαι, μηδ᾽ ἀνταλλάξασθαι μηδεμιᾶς χάριτος
μηδ᾽ ὠφελείας τὴν εἰς τοὺς Ἕλληνας εὔνοιαν. καὶ ταῦτ᾽
εἰκότως καὶ περὶ ὑμῶν οὕτως ὑπείληφε καὶ κατ᾽ Ἀργείων
καὶ Θηβαίων ὡς ἑτέρως, οὐ μόνον εἰς τὰ παρόντα ὁρῶν,
ἀλλὰ καὶ τὰ πρὸ τούτων λογιζόμενος. εὑρίσκει γάρ, οἶμαι,
καὶ ἀκούει τοὺς μὲν ὑμετέρους προγόνους, ἐξὸν αὐτοῖς τῶν
87 λοιπῶν ἄρχειν Ἑλλήνων, ὥστ᾽ αὐτοὺς ὑπακούειν βασιλεῖ,
οὐ μόνον οὐκ ἀνασχομένους τὸν λόγον τοῦτον, ἡνίκ᾽ ἦλθεν
Ἀλέξανδρος ὁ τούτων πρόγονος περὶ τούτων κῆρυξ, ἀλλὰ
καὶ τὴν πόλιν ἐκλιπεῖν προελομένους καὶ παθεῖν ὁτιοῦν

[1] * αὐτὸς [2] ἁπάντων

Καὶ οὐχ ὅπως] Οὐ μόνον οὐκ, ἀλλὰ καί. Idem.

Ταὐτὰ ὑπειληφὼς] *Eadem sentiens.* Idem.

Αὐτοὺς κελεύῃ] F. αὐτὸς κελ. Taylor.

Ταῦτα ὑπειλ.] F. ταὐτὰ ὑπειλ. Idem.

Εὖ ποιεῖ] Promissa potius, quæ mox rata sperabant, quam benefacta intellige. Epistolæ porro minacius conscriptæ Lacedæmonemque id temporis delatæ addendæ forsan eodem sunt. V. Plutarch. de Garrul. t. ii. p. 511. Valcken. ad Theocr. Adoniaz. p. 261. sq. *F. Jacobs.*

Ὃ καὶ μέγιστόν ἐστι καθ᾽ ὑμῶν ἐγκώμιον] Καθ᾽ ὑμῶν, ἀντὶ τοῦ, ὑμέτερον, ἢ ὑμῶν, τὸ κατὰ, ἀντὶ τοῦ, ὑπὲρ, in bonam partem. paulo post aliter, ὑπείληφε περὶ ὑμῶν, in bonam: κατ᾽ Ἀργείων, in malam. Wolf.

Κέκρισθε — προέσθαι] Ἀντὶ τοῦ, κέκρικε Φίλιππος ὑμᾶς προήσεσθαι. Idem.

Ὡς ἑτέρως] Τὸ ὡς abundat eleganter. Idem.

Ἐξὸν αὐτοῖς τῶν λοιπῶν ἄρχειν] Fides sit penes auctorem. Scribit idem Isocrates in Panegyrico. Sed Herodotus hujus rei nullam, quod sciam, facit mentionem. Idem.

Ἐξὸν αὐτοῖς τῶν λοιπῶν ἄρχειν Ἑλλήνων, ὥστ᾽ αὐτοὺς ὑπακούειν βασιλεῖ] Conjunctionem exspectaveris, quæ *conditionem* exprimat, ἐφ᾽ ᾧτε, *sub ea conditione ut*; atque etiam in quibusdam libris conjunctioni ὥστε hæc significatio, ut aliæ, quas non habet, adscripta est: quod facilius est, quam ostendere, quem ad modum propria sine damno logicæ veritatis locum habeat. Ὥστε significat *consequentiam*, eamque, etsi non ut conditio proponebatur, Athenienses respuebant. Ita Græci interdum *effectum* exprimunt, ubi alii de consilio aut conditione loquerentur. Xenophon Cyrop. III. 2, 16. καὶ τοῦτο ἐπίστω — ὅτι ἐγὼ, ὥστε ἀπελάσαι Χαλδαίους ἀπὸ τούτων τῶν ἄκρων, πολλαπλάσια ἂν ἔδωκα χρήματα, ὧν σὺ νῦν ἔχεις παρ᾽ ἐμοῦ. Ita etiam interpretanda sunt loca, quæ Hermannus habet ad Vigerum p. 949. Brem.

Ὑπακούειν βασιλεῖ] Πειθαρχεῖν. Dicitur etiam ὑπακούω σου, ut Thucydides, ὑπακούοντες τῶν Ἀθηναίων. Wolf.

Ἀλέξανδρος ὁ τούτων πρόγονος] Fortasse τούτου. aut τούτων, τῶν Μακεδόνων: Series generis, Amyntas, Alexander, Amyntas, Philippus, Alexander. Vide Herodot. [l. viii. 136—144. l. ix. 1—5.] Idem.

Τούτων] *Istorum*, i. e. regum Macedonicorum, Amyntæ, Philippi, et reliquorum. Nonnulli codd. dant τούτου, *istius*, i. e. solius Philippi. Harpocratio dat τούτων ut vulgata, hunc locum commemorans in voce Ἀλέξανδρος, ubi, qui ille fuerit, docet. Auger.

Περὶ τούτων κῆρυξ] In codicibus nonnullis legitur τούτου, *istius*. Demosthenes præ contemptu vocat Alexandrum non πρέσβυν, *legatum*, sed κήρυκα, *præconem*, *nuncium*: quasi Mardonii mancipium. Herodotus rem totam narrat, l. 8. et 9. *Ex edit.* Stock.

ὑπομείναντας καὶ μετὰ ταῦτα πράξαντας ταῦθ᾽, ἃ πάν-
τες μὲν ἀεὶ γλίχονται λέγειν, ἀξίως δ᾽ οὐδεὶς [1] εἰπεῖν δε-
δύνηται, διόπερ κἀγὼ παραλείψω, δικαίως· ἔστι γὰρ
μείζω τἀκείνων ἔργα ἢ ὡς τῷ λόγῳ τις ἂν εἴποι· τοὺς δὲ
Θηβαίων καὶ Ἀργείων προγόνους τοὺς μὲν συστρατεύσαν-
τας τῷ βαρβάρῳ, τοὺς δ᾽ οὐκ ἐναντιωθέντας. οἶδεν οὖν
ἀμφοτέρους ἰδίᾳ τὸ λυσιτελοῦν ἀγαπήσοντας, οὐχ ὅ τι
συνοίσει κοινῇ τοῖς Ἕλλησι σκεψομένους. ἡγεῖτ᾽ οὖν, εἰ
μὲν ὑμᾶς ἕλοιτο φίλους, ἐπὶ τοῖς δικαίοις αἱρήσεσθαι, εἰ
δ᾽ ἐκείνοις [2] προσθεῖτο, συνεργοὺς ἕξειν τῆς αὑτοῦ πλεονε-
ξίας. διὰ ταῦτ᾽ ἐκείνους ἀνθ᾽ ὑμῶν καὶ τότε καὶ νῦν
69 αἱρεῖται. οὐ γὰρ δὴ τριήρεις γε ὁρᾷ πλείους αὐτοῖς ἢ ὑμῖν
[3] οὔσας· οὐδ᾽ ἐν μὲν τῇ μεσογείᾳ τιν᾽ ἀρχὴν εὕρηκε, τῆς δ᾽
ἐπὶ τῇ θαλάττῃ καὶ τῶν ἐμπορίων ἀφέστηκεν· οὐδ᾽ ἀμνη-
μονεῖ τοὺς λόγους οὐδὲ τὰς ὑποσχέσεις ἐφ᾽ αἷς τῆς εἰρήνης
ἔτυχεν.

γ΄. Ἀλλὰ νὴ Δί᾽, εἴποι τις ἂν ὡς πάντα ταῦτ᾽ εἰδώς,
οὐ πλεονεξίας ἕνεκεν οὐδ᾽ ὧν ἐγὼ κατηγορῶ τότε ταῦτ᾽
ἔπραξεν, ἀλλὰ τῷ δικαιότερ᾽ ἀξιοῦν τοὺς Θηβαίους ἢ ὑμᾶς. 88
ἀλλὰ τοῦτον καὶ μόνον πάντων τῶν λόγων οὐκ ἔνεστ᾽ αὐτῷ
νῦν εἰπεῖν· ὁ γὰρ Μεσσήνην Λακεδαιμονίους ἀφιέναι κε-

[1] εἰπεῖν οὐδεὶς [2] πρόσθοιτο [3] ἐνούσας

Συστρατεύσαντας τῷ βαρβάρῳ] Vid. Herodot. l. vii. 148—151. ix. 12.

Ἐπὶ τοῖς δικαίοις αἱρήσεσθαι] Eam amicitiam justitiæ limites non excessuram: vos neque ministros libidinum fore, neque adjutores ad injurias. Wolf.

Τριήρεις — ἐνούσας] Fortasse *οὔσας*, aut *παρούσας*. Quomodo enim triremes inerunt Thebanis, aut Argivis? [aut *αὐτοὺς ἢ ὑμᾶς ἔχοντας*. *In farrag.*] Idem.

Οὐ γὰρ δὴ τριήρεις γε ὁρᾷ πλείους αὐτοῖς ἢ ὑμῖν] Mari admodum pollebant Athenienses. In pugna Salaminia, ex classe Græcorum integra 300 triremium, 200 Athenienses. In expeditionem Syracusanam 300 naves emiserunt. Et classis eorum usque ad 400 deinde aucta fuit. *Ex edit.* Stock.

Οὐδ᾽ ἐν *μὲν τῇ μεσογείᾳ*] Sententia est: cum Philippus terrâ imperium affectet, multo magis eum velle mari dominari. sed quanquam vos ad parandum maris imperium sibi novit esse opportunissimos, tamen diffidit vestræ integritati. Wolf.

Οὐδ᾽ *ἀμνημονεῖ*] Hoc est, mavult fidem frangere, quam nos, qui adjutores injuriarum non sumus, habere amicos, et devincire sibi beneficiis. *ἔτυχεν* dixit, ut significet, Athenienses precibus et pollicitationibus Philippi victos, pacem ei concessisse, cum ipsi bello essent superiores, ac minime defatigati. Idem.

γ΄. Πάντα ταῦτα εἰδὼς] Et majorum nostrorum virtutis gnarus, nec oblitus pollicitationum. Idem.

Ἀλλὰ τῷ δικαιοτέρους ἀξιοῦν] Ἀντὶ τοῦ *κρίνειν*, durum videtur, *quod justiores judicaret Thebanos*. Malim, *τῷ δικαιότερ᾽ ἀξιοῦν*, *quod æquiora postularent*. Idem.

Ἀλλὰ τῷ δικαιότερα ἀξιοῦν τοὺς Θηβαίους ἢ ἡμᾶς] Societatis cum Thebanis initæ causam honestam præ se tulit Philippus: nempe ut de iis, qui Apollinem et templum Delphicum violassent, pœnas repeteret. Oratori haudquaquam esset commodum, hoc fusius exponere in concilio populi: hac itaque voce indefinita rem totam præcidit. *Ex edit.* Stock.

Μεσσήνην] Vide Archidamum Isocratis. Wolf.

λεύων, πῶς ἂν Ὀρχομενὸν καὶ Κορώνειαν τότε Θηβαίοις παραδοὺς τῷ δίκαια [1] νομίζειν ταῦτ' εἶναι πεποιηκέναι σκήψαιτο; ἀλλ' ἐβιάσθη νὴ Δία—τοῦτο γάρ ἐσθ' ὑπόλοιπον—καὶ παρὰ γνώμην, τῶν Θετταλῶν ἱππέων καὶ τῶν Θηβαίων ὁπλιτῶν ἐν μέσῳ ληφθείς, συνεχώρησε ταῦτα. καλῶς. οὐκοῦν φασὶ μὲν μέλλειν πρὸς τοὺς Θηβαίους αὐτὸν ὑπόπτως ἔχειν, καὶ λογοποιοῦσι περιϊόντες [2] τινὲς ὡς Ἐλάτειαν τειχιεῖ· ὁ δὲ ταῦτα μὲν μέλλει καὶ μελλήσει γε, ὡς ἐγὼ κρίνω, τοῖς Μεσσηνίοις δὲ καὶ τοῖς Ἀργείοις ἐπὶ τοὺς Λακεδαιμονίους συνεισβάλλειν οὐ μέλλει, ἀλλὰ καὶ ξένους εἰσπέμπει καὶ χρήματ' ἀποστέλλει καὶ δύναμιν μεγάλην ἔχων αὐτός ἐστι προσδόκιμος. τοὺς [3] μὲν ὄντας ἐχθροὺς Θηβαίων Λακεδαιμονίους ἀναιρεῖ, οὓς δ' ἀπώλεσεν αὐτὸς πρότερον Φωκέας νῦν σώζει; καὶ τίς ἂν ταῦτα πιστεύσειεν; ἐγὼ μὲν γὰρ [4] οὐδ' ἂν ἡγοῦμαι Φίλιππον, οὔτ' εἰ τὰ πρῶτα βιασθεὶς ἄκων ἔπραξεν οὔτ' ἂν εἰ νῦν

[1] * νομίζων [2] τινες περιϊόντες [3] μὲν οὖν ὄντας [4] †.οὐκ

Ὁ γὰρ Μεσσήνην Λακεδαιμονίοις] Eodem quippe jure Lacedæmonii Messenem vindicabant, quo Thebani Bœotiæ urbes memoratas. Lacedæmonii sibi arrogabant principatum Peloponnesi; Thebani autem, Bœotiæ. *Ex edit.* Stock. Lacedæmonii ex jure perantiquo Messenem vindicabant; at Thebanis e contra præter appetitionem alieni non causa erat, cur Orchomenum et Coroneam assererent. V. Orat. de Pace. F. *Jacobs.*

Λακεδαιμονίοις κελεύων ἀφιέναι] Κελεύω σοὶ ferri potest. Sed malim Λακεδαιμονίους. Wolf.

Ἀλλ' ἐβιάσθη, νὴ Δία] Ironica refutatio. Hic observabis formulas *ὑπόπτως ἔχειν πρός τινα*, pro *ὑποπτεύειν*, *suspectum habere, diffidere.* Deinde verba *μέλλει, μελλήσει, οὐ μέλλει.* Significat *μέλλω* et futurum tempus et moram. Eleganter igitur ludit amphibolia significationis. Sic in oratione *περὶ τῶν ἐν Χεῤῥονήσῳ· ὡς καὶ τοῦ μελλῆσαι δώσοντι δίκην*, *ut qui rationem reddere cogatur etiam de futuro*, id est, de his, quæ acturus esse putatur, aut dicitur. Idem.

Ἐλάτειαν] Urbs præcipua Phocidis, et propter situm reprimendis Thebanis apprime accommodata. Hac de causa Philippus, paucis abhinc annis, cum perspiceret Thebanos a se alienari, Elateam improviso occupavit. *Ex edit.* Stock. Vid. Dionys. Halic. Ep. ad Amm. c. 11. p. 742. Demosth. pro Cor. p. 278. ed. R. F. *Jacobs.*

Ξένους εἰσπέμπει] Vulgo perinde interpretantur, ac si reipsa id esset factum; at vero præparatio mera ea esset, quæ oratoris animum induceret, ut de re veluti præterita proloqueretur. F. *Jacobs.*

Ἐστι προσδόκιμος] Προσδοκᾶται, *exspectatur, est in exspectatione:* sperant eum cum magnis copiis adventare. Wolf.

Τοὺς μὲν οὖν ὄντας] Refutat fabulas quorundam, ut absurdas et repugnantes. Sententia est: cum hostes Thebanorum reliquos, Lacedæmonios, tollere studeat e medio, qui consentaneum est, eum Phocenses pene ad internecionem, in gratiam Thebanorum, deletos, velle in integrum restituere! Idem.

Τοὺς μὲν ὄντας ἐχθροὺς etc.] Participium ὢν præponitur substantivo cum vi. p. 58. l. 15. ed. R. παθεῖν, οἷα τῶν ὄντων ἀνθρώπων οὐδένες πώποτε πεπόνθασιν. p. 104. l. 5. ἀνοητότατος πάντων ἂν εἴην τῶν ὄντων ἀνθρώπων. Interdum hoc displicebat. Xenophon Memorr. II. 1, 28. τῶν γὰρ ὄντων ἀγαθῶν καὶ καλῶν οὐδὲν ἄνευ πόνου καὶ ἐπιμελείας θεοὶ διδόασιν: ubi Valckenaer conjiciebat ὄντως. Nostro loco magnam vim habet; significat enim εἶναι *existere*, oppositum οὓς ἀπώλεσεν. p. 93. l. pen. ed. R. ἂν μὲν τοίνυν ᾖ τὸ συνεστηκὸς τοῦτο στράτευμα, ubi oppositum est διαλύεσθαι. p. 125. l. 13. ὅτ' ἦν ἡ πόλις. Brem.

ἀπεγίγνωσκε Θηβαίους, τοῖς ἐκείνων ἐχθροῖς συνεχῶς ἐναντι- 89
70 οῦσθαι, ἀλλ' ἀφ' ὧν νῦν ποιεῖ, κἀκεῖνα ἐκ προαιρέσεως δῆλός
ἐστι ποιήσας. ἐκ πάντων δ', ἄν τις ὀρθῶς [1] θεωρῇ, πάντα πραγματεύεται κατὰ τῆς πόλεως συντάττων. καὶ τοῦτ' ἐξ ἀνάγκης τρόπον τιν' αὐτῷ νῦν γε δὴ συμβαίνει. λογίζεσθε γάρ. ἄρχειν βούλεται, τούτου δ' ἀνταγωνιστὰς μόνους [2] ὑπείληφεν ὑμᾶς. ἀδικεῖ πολὺν ἤδη χρόνον, καὶ τοῦτο αὐτὸς ἄριστα σύνοιδεν ἑαυτῷ· οἷς γὰρ οὖσιν ὑμετέροις ἔχει χρῆσθαι, τούτοις πάντα τἄλλα ἀσφαλῶς κέκτηται· εἰ γὰρ Ἀμφίπολιν καὶ Ποτίδαιαν προεῖτο, οὐδ' ἂν οἴκοι μένειν βεβαίως [3] ἡγεῖτο. ἀμφότερα οὖν οἶδε, καὶ ἑαυτὸν ὑμῖν ἐπιβουλεύοντα καὶ ὑμᾶς αἰσθανομένους. εὖ φρονεῖν δ' ὑμᾶς ὑπολαμβάνων, δικαίως ἂν αὐτὸν μισεῖν νομίζει καὶ παρώξυνται, πείσεσθαί τι κακὸν προσδοκῶν, ἂν καιρὸν λάβητε, ἐὰν μὴ φθάσῃ ποιήσας [4] πρότερος. διὰ ταῦτ' ἐγρήγορεν, ἐφέστηκεν, ἐπὶ τῇ πόλει θεραπεύει τινὰς Θηβαίων καὶ Πελοποννησίων τοὺς ταὐτὰ βουλομένους τούτοις, οὓς διὰ μὲν πλεονεξίαν τὰ παρόντα ἀγαπήσειν οἴεται, διὰ δὲ σκαιότητα τρόπων τῶν μετὰ ταῦτ' οὐδὲν προόψεσθαι. καίτοι σωφρονοῦσί γε καὶ μετρίως ἐναργῆ παραδείγματ' ἔστιν ἰδεῖν, ἃ καὶ

[1] θεωροίη, [ὅτι] πάντα [2] * ὑπειληφὼς ὑμᾶς, [3] ἡγοῖτο
[4] πρότερος φθάσῃ ποιήσας

Ἀπεγίνωσκε] Si eos improbaret et suspectos haberet, si eis diffideret. WOLF.

Ἐκ πάντων δ', ἅ τις ὀρθῶς θεωροίη] Puto legendum, ἐκ πάντων δ' (ἄν τις ὀρθῶς θεωροίη) δῆλον, ὅτι πάντα πραγματεύεται, κατὰ τῆς πόλεως συντάττων, S. ἑαυτὸν, ἢ αὐτὰ, ἀντὶ τοῦ, συνταττόμενος, ἢ παρασκευαζόμενος. *Adjungit sibi socios*, per quos nos oppugnet. Felicianus habet, ἐκ πάντων δ' ἂν τις ὀρθῶς θεωροίη, ὅτι. Quod ferri potest, si τὸ ὀρθῶς deleatur. IDEM.

Καὶ τοῦτ' ἐξ ἀνάγκης τρόπον τινὰ] Sic C. Memmius apud Sallustium in Jugurthino: 'Nam fidei quidem et concordiæ quæ spes est? Dominari illi volunt, vos liberi esse: facere illi injurias, vos prohibere. Potestne in tam diversis ingeniis pax aut amicitia esse?' IDEM.

Τοὺς ταὐτὰ βουλομένους τούτοις] Τοὺς ὁμονοοῦντας Θηβαίοις. IDEM.

Ταῦτα βουλ.] F. ταὐτά βουλ. TAYLOR.

Οὓς διὰ μὲν πλεονεξίαν τὰ παρόντα ἀγαπήσειν οἴεται] *Contentos fore præsenti rerum statu.* ἀγαπῶ cum dativo, et Attice per accusativum, *acquiesco, contentus sum*, ut ἀγαπῶ τοῖς δεδιῃτημένοις, *acquiesco arbitrorum sententia.* ἀγαπῶ τὴν κρίσιν ἢ τὰ ἐγνωσμένα, hoc est, *provocare nolo.* Isocrat. ὥστε καὶ τοὺς ἀφεστῶτας μηκέτι τὴν ἐλευθερίαν ἀγαπᾶν, ἀλλ' ἤδη καὶ τῶν ὁμόρων ζητεῖν ἐπάρχειν, *ita ut qui ab eis desciverant, non jam acquiescerent in libertate, nisi etiam finitimis imperarent. Ex edit.* HERVAG.

Ἃ καὶ πρὸς Μεσσηνίους] Cum primum Philippus harum civitatum cum Lacedæmone controversiis se immiscere cœpit, Athenienses in Peloponnesum legationem miserunt, ut et ejus opes et gratiam minuerent, et Argivos Messeniosque monerent, ne istiusmodi omnino uterentur arbitro. Hoc tempore habita fuit oratio cujus jam pars citatur. [* Vid. Leland. Vit. Phil. IV. 1. S.] *Ex edit.* STOCK. Turbatur in chronologicis. Demosthenes in Phil. Γ. p. 129. 16. ed. R. legationem in Peloponnesum πέρυσι missam meminit. Quæ Philippica habita est Ol. cix. 3. et ad hanc normam legatio obita Ol. cix. 2.; at vero hæc, secundam volo, habita est Ol. cix. 1. Ita tamen cum Lucchesinio

πρὸς Μεσσηνίους καὶ πρὸς Ἀργείους ἔμοιγ' εἰπεῖν συνέβη· βέλτιον δ' ἴσως καὶ πρὸς ὑμᾶς ἐστὶν εἰρῆσθαι.

δ'. Πῶς γὰρ οἴεσθ', ἔφην, ὦ ἄνδρες Μεσσήνιοι, δυσχερῶς
90 ἀκούειν Ὀλυνθίους, εἴ τίς τι λέγοι κατὰ Φιλίππου κατ' ἐκείνους τοὺς χρόνους, ὅτ' Ἀνθεμοῦντα μὲν αὐτοῖς ἠφίει, [1]ἧς πάντες οἱ πρότερον Μακεδονίας βασιλεῖς ἀντεποιοῦντο, Ποτίδαιαν δ' ἐδίδου τοὺς Ἀθηναίων ἀποίκους ἐκβαλών, 71
καὶ τὴν μὲν ἔχθραν τὴν πρὸς ἡμᾶς αὐτὸς ἀνῄρητο, τὴν χώραν δ' ἐκείνοις ἐδεδώκει καρποῦσθαι; ἆρα προσδοκᾶν αὐτοὺς τοιαῦτα πείσεσθαι, ἢ λέγοντος ἄν τινος πιστεῦσαι; οὐκ οἴεσθέ γε. ἀλλ' ὅμως, ἔφην ἐγώ, μικρὸν χρόνον τὴν ἀλλοτρίαν καρπωσάμενοι πολὺν τῆς ἑαυτῶν ὑπ' ἐκείνου στέρονται, αἰσχρῶς ἐκπεσόντες, οὐ κρατηθέντες μόνον ἀλλὰ καὶ προδοθέντες ὑπ' ἀλλήλων καὶ πραθέντες· οὐ γὰρ ἀσφαλεῖς ταῖς πολιτείαις αἱ πρὸς τοὺς τυράννους αὗται λίαν ὁμιλίαι. τί δ' οἱ Θετταλοί; ἆρ' οἴεσθ', ἔφην, ὅτ' [2]αὐτοῖς τοὺς τυράννους [3]ἐξέβαλλε καὶ πάλιν Νίκαιαν καὶ Μαγνησίαν ἐδίδου, προσδοκᾶν τὴν καθεστῶσαν νῦν δεκα-

[1] οὗ [2] αὐτῶν [3] ἐξέβαλε

nodus diducatur. Fac Philippicam B. habitam esse in fine Ol. cix. 1., Γ. in initio Ol. cix. 3. Intervenit Ol. cix. 2. et quod excurrit; quod Demosthenes per πέρυσι, anno plus minus, libere exprimit: atque ita legatio prius obita, quam hæc oratio est habita. *F. Jacobs.*

δ'. Ἀνθεμοῦντα] Urbs ista Macedoniæ regibus parebat antiquitus. Testatur enim Herodotus, 200 annis antea, Amyntam ejus copiam fecisse Hippiæ Pisistrati filio. *Ex edit.* Stock. De hac cessione Anthemuntis oppidi Demosthenem solum fidejussorem habemus. Factam tamen verisimile est id circiter tempus, quo Potidæam Olynthiis tradidit. *F. Jacobs.*

Τὴν πρὸς ὑμᾶς αὐτὸς] Malim ἡμᾶς, ut de Atheniensium inimicitiis, a Philippo propter Potidæam susceptis, intelligatur. Wolf.

Πολὺν τῆς ἑαυτῶν] Μᾶλλον δὲ τὸν πάντα. Neque enim (quod sciam) instaurata est Olynthus illa ætate. Idem.

Ὑπ' ἀλλήλων] A Lasthene et Euthycrate. Idem.

Νίκαιαν] Urbs Locrensis, quam in ditionem Philippo dederat Phalecus sub finem belli sacri. [* Nicææ dono rex callidus omnem de se amovere studuit suspicionem, si quam Thessali haberent. Munitissimum quippe iis locum, et in ipsis Thermopylarum angustiis positum, tradidit. *Lucches.* S.] *Ex edit.* Stock. V. Diodor. xvi. 69. Theopomp. ap. Athenæum l. vi. p. 260. B. C. *F. Jacobs.*

Δεκαδαρχίαν] Decemviratum nunc apud eos institutum. Philippum decuriones singulis civitatibus præfecisse intelligo, id quod et Lacedæmonii fecerunt. Wolf. Legendum potius (cum Harpocratione) τετραδαρχίαν. Thessalia quippe revera fuit divisa in quatuor regiones, quarum unicuique tyrannum præposuit Philippus. Et Demosthenes, de hac re in Philippica tertia locutus, disertis verbis dicit, τετραδαρχίας κατέστησε παρ' αὐτοῖς. [Conciliat hæc Lelandus (V. Phil. Tom. II. p. 109.) ponendo, Philippum universam primo Thessaliam in *quatuor* regiones, seu præfecturas, distribuisse; quibus deinde singulis *denos* homines præposuit. Ad hunc modum Lacedæmonios civitates sibi subjectas decemvirorum arbitrio permisisse, testis est Harpocratio, voce δεκαδαρχία. S.] *Ex edit.* Stock. Sed, cum oratoresque et historici, quando optimorum tyrannidem convellebant, Decemviratum dictitabant, lenius est existimare, hoc loco de vera reipub. forma nihil dicere voluisse Demosthenem, et ὀλιγαρχίαν tan-

δαρχίαν ἔσεσθαι παρ' αὐτοῖς; ἢ τὸν τὴν Πυλαίαν ἀπο-
δόντα, τοῦτον τὰς ἰδίας αὐτῶν προσόδους παραιρήσεσθαι;
οὐκ ἔστι ταῦτα. ἀλλὰ μὴν γέγονε ταῦτα καὶ πᾶσιν ἔστιν
εἰδέναι. ὑμεῖς δ', ἔφην ἐγώ, διδόντα μὲν καὶ ὑπισχνούμενον
θεωρεῖτε Φίλιππον, ἐξηπατηκότα δ' ἤδη καὶ παρακεκρου- 91
σμένον ἀπεύχεσθε, ἂν σωφρονῆτ', ἰδεῖν. ἔστι τοίνυν νὴ Δί',
ἔφην ἐγώ, παντοδαπὰ εὑρημένα ταῖς πόλεσι πρὸς φυλα-
κὴν καὶ σωτηρίαν, οἷον χαρακώματα καὶ τείχη καὶ τάφροι
καὶ τἆλλα ὅσα τοιαῦτα. καὶ ταῦτα μέν ἐστιν ἅπαντα
χειροποίητα καὶ [1]δαπάνης προσδεῖται· ἓν δέ τι κοινὸν ἡ
φύσις τῶν εὖ φρονούντων ἐν ἑαυτῇ κέκτηται φυλακτήριον, ὃ
πᾶσι μέν ἐστιν ἀγαθὸν καὶ σωτήριον, μάλιστα δὲ τοῖς
πλήθεσι πρὸς τοὺς τυράννους. τί οὖν ἐστὶ τοῦτο; ἀπιστία.
ταύτην φυλάττετε, ταύτης ἀντέχεσθε· ἐὰν ταύτην σώζητε,
οὐδὲν δεινὸν μὴ πάθητε. [2]τί ζητεῖτε; ἔφην. ἐλευθερίαν. εἶτ'
72 οὐχ ὁρᾶτε Φίλιππον ἀλλοτριωτάτας ταύτῃ καὶ τὰς προσ-
ηγορίας ἔχοντα; βασιλεὺς γὰρ καὶ τύραννος ἅπας ἐχθρὸς
ἐλευθερίᾳ καὶ νόμοις ἐναντίος. οὐ φυλάξεσθ', ἔφην, ὅπως
μὴ πολέμου ζητοῦντες ἀπαλλαγῆναι δεσπότην εὕρητε;

έ. Ταῦτ' ἀκούσαντες ἐκεῖνοι, καὶ θορυβοῦντες ὡς ὀρθῶς λέγεται, καὶ πολλοὺς ἑτέρους [3]λόγους παρὰ τῶν πρέσβεων καὶ παρόντος ἐμοῦ καὶ πάλιν [4]ὕστερον, ὡς ἔοικεν, οὐδὲν μᾶλλον ἀποσχήσονται τῆς Φιλίππου φιλίας οὐδ' ὧν ἐπαγγέλλεται. καὶ οὐ τοῦτό ἐστ' ἄτοπον, εἰ Μεσσήνιοι καὶ Πελοποννησίων τινὲς παρ' ἃ τῷ λογισμῷ βέλτισθ' ὁρῶσί

[1] δαπάνης πολλῆς προσδεῖται [2] τί [οὖν] ζητεῖτε [3] λόγους καὶ παρὰ [4] ὕστερον [ἀκούσαντες], ὡς

tum generatim exprobrasse. *F. Jacobs.*

Τὴν Πυλαίαν ἀποδόντα] Hinc apparet, eos Pylæam amissam recuperasse Philippi opera, cum et ipsi prius fuissent Pylagoræ. Wolf. Per *Pylæam* hoc loco designari censet Lucchesinius, non senatoriam in Pylis auctoritatem, quam tum temporis obtinuisse Thessalos nemo dubitat, verum aliquam donorum partem, aut pecuniæ munus, quibus rex frueretur, ut Pythiorum ludorum præses. Rectius enim opponitur Thessalorum *vectigalibus* aliquod pecuniæ aut rerum emolumentum, quam Amphictyonica *dignitas*. Stock.

Θεωρεῖτε] Cavete, quia latet anguis in herba. Inescat vos pollicitationibus: inescatos male perdet. Sirenes cantus suavitate nautas delinitos, et consopitos lacerant. Wolf.

Ἓν δέ τι κοινὸν κ. τ. λ.] Plutarch. præcept. politic. Taylor.

Ἀλλοτριωτάτας ταύτῃ καὶ τὰς προσηγορίας] Quasi vero regnum et libertatis inter sese pugnent: ac non potius et legum et regum servi simus, ut liberi esse possumus. Wolf.

Καὶ νόμοις ἐναντίος] Isocrates *παραινέσει*: *ἰσχυρότατος νόμος ὁ τοῦ βασιλέως τρόπος.* Idem.

έ. Παρὰ τῶν πρέσβεων] *A legatis,* nempe ab iis qui una cum Demosthene ad Messenios legati fuerant, et quos Demosthenes illic reliquit prius discedens ob causam nobis ignotam. Auger.

[τι] πράξουσιν, ἀλλ' εἰ [1] ὑμεῖς οἱ καὶ συνιέντες αὐτοὶ καὶ τῶν λεγόντων ἀκούοντες ἡμῶν, ὡς ἐπιβουλεύεσθε, ὡς περιστοιχίζεσθε, ἐκ τοῦ μηδὲν ἤδη ποιεῖν [2] λήσεθ', ὡς ἐμοὶ δοκεῖ, [3] πάνθ' ὑπομείναντες· οὕτως ἡ παραυτίχ' ἡδονὴ καὶ ῥαστώνη μεῖζον ἰσχύει τοῦ ποθ' ὕστερον συνοίσειν μέλλοντος. περὶ μὲν δὴ τῶν ὑμῖν πρακτέων καθ' ὑμᾶς αὐτοὺς ὕστερον βουλεύσεσθε, ἂν σωφρονῆτε· ἃ δὲ νῦν ἀποκρινάμενοι τὰ δέοντ' ἂν εἴητ' ἐψηφισμένοι, ταῦτ' ἤδη λέξω.

92 ϛ'. Ἦν μὲν οὖν δίκαιον, ὦ ἄνδρες Ἀθηναῖοι, τοὺς ἐνεγκόντας τὰς ὑποσχέσεις, ἐφ' αἷς ἐπείσθητε ποιήσασθαι τὴν εἰρήνην, καλεῖν· οὔτε γὰρ αὐτὸς ἄν ποτε ὑπέμεινα πρεσβεύειν, οὔτ' ἂν [4] ὑμεῖς οἶδ' ὅτι ἐπαύσασθε πολεμοῦντες, εἰ τοιαῦτα πράξειν τυχόντα εἰρήνης Φίλιππον ᾤεσθε· ἀλλ' ἦν πολὺ τούτων ἀφεστηκότα τὰ τότε λεγόμενα. καὶ πάλιν γ' ἑτέρους καλεῖν. τίνας; τοὺς ὅτ' ἐγὼ γεγονυίας ἤδη τῆς εἰρήνης ἀπὸ τῆς ὑστέρας ἥκων πρεσβείας τῆς ἐπὶ τοὺς 73 ὅρκους, αἰσθόμενος φενακιζομένην τὴν πόλιν, προὔλεγον

[1] ὑμεῖς αὐτοὶ οἱ [2] λήσετε [3] † πάντα ταῦθ' ὑπομείναντες [4] ὑμεῖς εὖ οἶδ'

Ὡς ἐκ τοῦ μηδὲν] Τὸ ὡς puto redundare, et ex superioribus huc quoque per incuriam inculcatum. Nam περιτειχίζεσθε vel περιστοιχίζεσθε (utrumque enim legitur) protasin periodi finit. *Sed vos, &c. quia nunc socordiæ indulgetis, non prius expergiscemini, quam hæc omnia vos oppresserint.* Wolf.

Ἀποκρινάμενοι] Interpretatus sum quasi pro ἀποκρινάμενοι legeretur ἀνακρινάμενοι, *judicium habentes, quæstionem habentes,* aut ἀποκρινάμενοι posset eo sensu accipi. Auger.

Ταῦτ' ἤδη λέξω] Responsa hæc non sunt inserta huic orationi: sed illius loco insectatio legatorum. Wolf. Etsi editorum nemo hoc moneat, verisimile tamen videtur scribam hic loci de scripto recitasse Oratoris rogationem, juxta formulas: nisi credendum sit hanc orationem ad nos mutilam pervenisse: liquet enim inter hanc sententiam, et ea quæ sequuntur, nullum esse nexum. [Potuit utique Demosthenes sermonis filum abrumpere, ut isti adversariorum vellicationi aliquantum indulgeret; rogationem autem suam, peracta demum oratione, in medium proferre. S.] *Ex edit.* Stock.

ϛ'. Οὔτ' ἂν ὑμεῖς οἶδ' ὅτι ἐπαύσασθε πολεμοῦντες] Reiskius plus semel sine causa εὖ præposuit verbo οἶδα, ut hic, et paullo post p. 161. l. 8. μνημονεύετ' εὖ οἶδ' ὅτι, p. 110. l. 5. ed. R. πάντων οἶδ' ὅτι φησάντων. Quod tam sæpe mutandum erat, persuadere ei oportuisset, mutatione non opus esse. Aliquando tamen eo intelligentiæ pervenit, v. c. in Timocr. p. 717. l. 8. οἶδ' ὅτι φήσαιτ' ἄν, ubi, "pro εὖ οἶδ'," inquit, "*ut sæpe noster.*" Reiskius omnino nimium fastidiosus erat in emphatico verborum usu, iisque pronus addere adverbia. p. 21. l. 10. ὅπως τις λέγει κάλλιστα καὶ τάχιστα, οὕτως ἀρέσκει μοι, ubi Reiskius vult, οὕτως ἀρέσκει μοι μάλιστα. At ἀρέσκειν etiam alibi cum emphasi ponitur. p. 48. l. 17. ἐπειδὰν ἐπιχειροτονῆτε τὰς γνώμας, ἃ ἂν ὑμῖν ἀρέσκῃ χειροτονήσατε. In seqq. εἰ — ᾤεσθε est, *si—putassetis.* Aoristus quidem plerumque hac vi plusquamperfecti ponitur. Sin adhibetur imperfectum, res in id tempus revocatur, quo fiebat: quod sæpe multum ponderis addit orationi. Quin etiam *præsens* participii huic constructioni cum μὴ inseritur, resolvendum per plusquamperfectum. p. 122. l. 20. οὐ γὰρ ἂν αὐτοῖς ἔμελεν, εἴ τις ἐν Πελοποννήσῳ τινὰς ἀναιρεῖται καὶ διαφθείρει, μὴ τοῦθ' ὑπολαμβάνουσιν. Cautius igitur de imperfecto loquendum erat Rüdigero ad Phil. I. §. ά. Brem.

ϛ', Καὶ πάλιν γ' ἑτέρους] S. Δίκαιον ἂν ἦν. Wolf.

Τοὺς ὅτ' ἐγὼ γεγ.] F. τοὺς λέγοντας, ὅτ' ἐγὼ γεγ. Idem. Cum desideraretur λέγοντας p. 161. v. 2. in ed. Wolf. et Aldin.

καὶ διεμαρτυρόμην καὶ οὐκ εἴων προέσθαι Πύλας οὐδὲ Φω-
κέας, λέγοντας ὡς ἐγὼ μὲν ὕδωρ πίνων εἰκότως δύσκολος
καὶ δύστροπός εἰμί τις ἄνθρωπος, Φίλιππος δ᾽, ἅπερ εὔ-
ξαισθ᾽ ἂν ὑμεῖς, ἐὰν παρέλθῃ, πράξει, καὶ Θεσπιὰς μὲν καὶ
Πλαταιὰς τειχιεῖ, Θηβαίους δὲ παύσει τῆς ὕβρεως, [1] Χερ-
ῥόνησον δὲ τοῖς [2] αὑτοῦ τέλεσι διορύξει, Εὔβοιαν δὲ καὶ τὸν
Ὠρωπὸν ἀντ᾽ Ἀμφιπόλεως ὑμῖν ἀποδώσει· ταῦτα γὰρ
ἅπαντα ἐπὶ τοῦ βήματος [3] ἐνταυθὶ [4] μνημονεύετ᾽ οἶδ᾽ ὅτι
ῥηθέντα, καίπερ ὄντες οὐ δεινοὶ τοὺς ἀδικοῦντας μεμνῆσθαι.
καὶ τὸ πάντων αἴσχιστον, καὶ τοῖς [5] ἐκγόνοις πρὸς τὰς
ἐλπίδας τὴν αὐτὴν εἰρήνην εἶναι ταύτην προσεψηφίσασθε· 93
οὕτω τελέως ὑπήχθητε. τί δὴ ταῦτα νῦν λέγω καὶ καλεῖν
φημὶ δεῖν τούτους; ἐγὼ νὴ τοὺς θεοὺς τἀληθῆ μετὰ παῤῥη-
σίας ἐρῶ πρὸς ὑμᾶς καὶ οὐκ ἀποκρύψομαι. οὐχ ἵν᾽ εἰς λοι-
δορίαν ἐμπεσὼν ἐμαυτῷ μὲν ἐξ ἴσου λόγον παρ᾽ ὑμῖν ποιήσω,

[1] χεῤῥόννησον [2] αὐτοῦ [3] † ἐνταυθοῖ [4] μνημονεύετ᾽ εὖ οἶδ᾽ [5] † ἐγγόνοις

Οὐδὲ Φωκέας ὡς ἐγὼ] Legendum videtur: οὐδὲ Φωκέας τοὺς λέγοντας, ὡς ἐγὼ μὲν etc. alterius exemplaris testimonio. Obsopœus.

Ὡς ἐγὼ μὲν ὕδωρ πίνων] Orator quidam Philocrates, Philippi mercenarius, hujus scommatis auctor fuit. Res fusius narratur in oratione de falsa legatione [p. 348. 12. 355. 24. ed. R.] *Ex edit.* Stock. Vid. Anim. ad Anthol. Gr. t. I. v. II. p. 231. *F. Jacobs.*

Χεῤῥόνησον δὲ τοῖς αὑτοῦ τέλεσι διορύξει] Ταῖς ἰδίαις δαπάναις. Cur vero? An ut Hellespontum immittat? an ad distinguendos Macedonum et Atheniensium limites? περὶ τῆς τοῦ ἰσθμοῦ διορυγῆς exstat Luciani libellus: et vetus oraculum:

Ἰσθμὸν δὲ μὴ πυργοῦτε, μήτ᾽ ὀρύσσετε.
Ὁ Ζεύς γ᾽ ἔθηκε νῆσον, εἴγ᾽ ἐβούλετο.

Sed de Chersonesi perfossione vide orationem de Haloneso [p. 86. 17. ed. R.] Wolf. Ut isthmus ille perfodiatur, e re fuit tum Atheniensium, quod perpetuis Thracum incursionibus viam muniret, tum Græcorum omnium, quibus litora semper legentibus difficile atque incommodum erat Athos et Chersonesi peninsulam navibus circuire. Stock.

Καίπερ ὄντες οὐ δεινοὶ μεμνῆσθαι] Ἐπιλανθάνεσθαι εἰωθότες. Wolf.

Μεμνῆσθαι καὶ τὸ πάντων αἴσχιστον] Videtur aliquid deesse: cujusmodi sit commemoratio, quemadmodum Athenienses ista mendacia approbarint. Idem.

Καὶ τοῖς ἐκγόνοις (sic enim malo quam ἐγγόνοις: quæ scripturæ depravatio nata videtur e pronuntiatione literæ κ pro ν) πρὸς τὰς ἐλπίδας] *Etiam posteros, ad quos pertinet ejus spei quam vos habetis hæreditas, isto fœdere obstrinxistis.* Amplificatio dedecoris a longitudine temporis. Idem.

Πρὸς τὰς ἐλπίδας] *Propter has spes: hisce pollicitationibus adducti.* Nos Lucchesinium et Olivetum sequimur. [Arbitror neque hos neque Wolfium sensum fuisse consecutos, qui idem est, ac si hoc modo instituta fuisset sententia: καὶ ταῖς τῶν ἐγγόνων ἐλπίσι προσεῖναι τὴν αὐτὴν εἰρήνην ταύτην προσεψηφίσασθε· *ut etiam nepotum vestrorum spei eadem ista pax* tanquam pestis *adhæreat*, &c. Πρὸς τὰς ἐλπίδας εἶναι pro ταῖς ἐλπίσι προσεῖναι vulgatissima est apud optimæ notæ scriptores verborum compositorum resolutio. Quidam codd. habent ἐκγόνοις, sed male. Ἐγγόνοι enim, interprete Hesychio, sunt τὰ τέκνα τῶν τέκνων. S.] *Ex edit.* Stock. Hoc intelligo quasi legeretur, ἐπὶ ταῖς ἐλπίσι, *vana spe, vanis promissis decepti.* Auger. Cfr. de fals. leg. §. ιθ΄.

Οὐχ ἵνα εἰς λοιδορίαν] Non tam ut passim dicatur in triviis: quam acriter insectatus est nos Demosthenes? quam est maledicus conviciator? quam, ut, ubi, quæ voluero, dixero, ea, quæ nolo, audiam. Nam Æschines vicissim pro concione Demosthenem insectatus fortassis esset. Wolf. *Non ut faciam ut ex æquo* (i. e.

τοῖς δ' ἐμοὶ προσκρούσασιν ἐξ ἀρχῆς [1] καὶ νῦν παράσχω
πρόφασιν τοῦ [2] πάλιν τι λαβεῖν παρὰ Φιλίππου· οὐδ' ἵνα
τηνάλλως ἀδολεσχῶ. ἀλλ' οἴομαί ποθ' ὑμᾶς λυπήσειν, ἃ
Φίλιππος πράττει, μᾶλλον ἢ τὰ νυνί· τὸ γὰρ πρᾶγμα
ὁρῶ προβαῖνον, καὶ οὐχὶ βουλοίμην μὲν ἂν εἰκάζειν ὀρθῶς,
φοβοῦμαι δὲ μὴ λίαν ἐγγὺς ᾖ τοῦτ' ἤδη. ὅταν οὖν μηκέθ'
ὑμῖν ἀμελεῖν ἐξουσία γίγνηται τῶν συμβαινόντων, μηδ'
ἀκούηθ' ὅτι ταῦτ' ἐφ' ὑμᾶς ἐστὶν ἐμοῦ μηδὲ τοῦ δεῖνος,
ἀλλ' αὐτοὶ πάντες ὁρᾶτε καὶ εὖ εἰδῆτε, ὀργίλους καὶ τρα-
χεῖς ὑμᾶς ἔσεσθαι νομίζω. φοβοῦμαι [3] δὴ μὴ τῶν πρέσβεων 74
σεσιωπηκότων ἐφ' οἷς αὐτοῖς συνίσασι δεδωροδοκηκόσι, τοῖς
ἐπανορθοῦν τι πειρωμένοις τῶν διὰ τούτους ἀπολωλότων τῇ
παρ' ὑμῶν ὀργῇ περιπεσεῖν συμβῇ· ὁρῶ γὰρ ὡς τὰ πολλὰ
ἐνίους οὐκ εἰς τοὺς αἰτίους ἀλλ' εἰς τοὺς ὑπὸ χεῖρα μάλιστα
τὴν ὀργὴν ἀφιέντας.

ζ'. Ἕως οὖν ἔτι μέλλει καὶ συνίσταται τὰ πράγματα
καὶ κατακούομεν ἀλλήλων, ἕκαστον ὑμῶν, καίπερ ἀκριβῶς
94 εἰδότα, ὅμως ἐπαναμνῆσαι βούλομαι, τίς ὁ Φωκέας πείσας
ὑμᾶς [4] καὶ Πύλας προέσθαι, ὧν καταστὰς ἐκεῖνος κύριος
τῆς ἐπὶ τὴν Ἀττικὴν ὁδοῦ καὶ τῆς εἰς Πελοπόννησον κύριος
γέγονε, καὶ πεποίηχ' ὑμῖν μηκέτι περὶ τῶν δικαίων [5] μηδ'
ὑπὲρ τῶν ἔξω πραγμάτων εἶναι τὴν βουλήν, ἀλλ' ὑπὲρ τῶν
ἐν τῇ χώρᾳ καὶ τοῦ πρὸς τὴν Ἀττικὴν πολέμου, ὃς λυπήσει
μὲν ἕκαστον, ἐπειδὰν παρῇ, γέγονε δ' ἐν ἐκείνῃ τῇ ἡμέρᾳ.
εἰ γὰρ μὴ παρεκρούσθητε τόθ' ὑμεῖς, οὐδὲν ἂν [6] ἦν τῇ πόλει
πρᾶγμα· οὔτε γὰρ ναυσὶ δήπου κρατήσας εἰς τὴν Ἀττικὴν

[1] Desunt hæc καὶ νῦν, suffecto post πρόφασιν vocabulo καινήν. [2] πάλιν γέ τι [3] δὲ [4] καὶ Πύλας πείσας ὑμᾶς [5] μήθ' [6] ἦν * νῦν τῇ

vicissim) *contra me apud vos dicatur.* Auger.

Ἐξ ἀρχῆς κενὴν] *Inanem.* Alii καινὴν, *novam*, rectius, quam καὶ νῦν. et paulo post, pro τῶν αἰτίων σεσιωπηκότων, rectius legitur τῶν πρέσβεων. Wolf.

Ἢ τὰ νυνὶ] S. πεπαῤῥησιασμένα, *quam ea, quæ nunc a me sunt dicta liberius.* τὰ νῦν γιγνόμενα, vel τὰ νῦν, ἀντὶ τοῦ, νῦν. *Aliquando ista vobis molestiora futura sunt, quam nunc sunt.* Idem.

Εἰς τοὺς ὑπὸ χεῖρα] Hic locus facit, ut retinendam censeam in prima (tertia) Olynthiaca vocem ὑστάτους. ἀλλὰ τοὺς ὑστάτους περὶ τῶν πραγμάτων εἰπόντας: ut significet, eos proxime dicta duntaxat meminisse: sicut vulgus nostrum, cum redit e concionibus. Sic in epistolis queritur, se ideo condemnatum esse, quod primus causam dixerit: impetu iracundiæ judicum in se effuso: in cæteris languefacto et restincto. Idem.

ζ. Περὶ τῶν δικαίων] Fortasse τῶν Ἑλληνικῶν δικαίων, non de jure Græcorum tuendo, et exteris ditionibus defendendis. Idem.

Ναυσὶ κρατήσας] Athenienses in mari fuerunt exercitatiores et melius instructi. Idem.

ἦλθεν ἄν ποτε στόλῳ Φίλιππος, οὔτε πεζῇ βαδίζων ὑπὲρ τὰς Πύλας καὶ Φωκέας, ἀλλ᾿ ἢ τὰ δίκαι᾿ ἂν ἐποίει καὶ τὴν εἰρήνην ἄγων ἡσυχίαν εἶχεν, ἢ παραχρῆμ᾿ ἂν ἦν ἐν ὁμοίῳ πολέμῳ, δι᾿ ὃν τότε τῆς εἰρήνης ἐπεθύμησε. ταῦτ᾿ οὖν, ὡς μὲν ὑπομνῆσαι, νῦν ἱκανῶς εἴρηται· ὡς δ᾿ ἂν ἐξετασθείη μάλιστ᾿ ἀκριβῶς, μὴ γένοιτο, ὦ πάντες θεοί. οὐδένα γὰρ βουλοίμην ἂν ἔγωγε, οὐδ᾿ εἰ δίκαιός ἐστ᾿ ἀπολωλέναι, μετὰ τοῦ πάντων κινδύνου καὶ τῆς ζημίας δίκην ὑποσχεῖν.

Καὶ τῆς ζημίας] Μετὰ τῆς ζημίας τῶν ἁπάντων. IDEM.

ΛΙΒΑΝΙΟΥ ΥΠΟΘΕΣΙΣ ΤΟΥ ΠΕΡΙ [1]ΑΛΟΝΝΗΣΟΥ ΛΟΓΟΥ.

Pag. ed. aliq. cit. Pag. ed. Reisk.

95 ΟΥΤΟΣ ὁ λόγος ἐπιγράφεται μὲν ΠΕΡΙ ʽΑΛΟΝΝΗΣΟΥ, τάχα δὲ ὀρθότερον ἐπιγράφειν 75
ΠΡΟΣ ΤΗΝ ΕΠΙΣΤΟΛΗΝ ΤΗΝ ΦΙΛΙΠΠΟΥ. πέπομφε γὰρ πρὸς τοὺς ʼΑθηναίους ἐπιστολὴν
περὶ πολλῶν διαλεγόμενος, ὧν ἕν ἐστι καὶ τὸ κατὰ τὴν ʽΑλόννησον· ἥτις ἦν μὲν τῶν ʼΑθηναίων
ἀρχαῖον κτῆμα, κατὰ δὲ τοὺς Φιλίππου καιροὺς ὑπὸ λῃστῶν κατείχετο, οὓς ἐκβαλὼν ὁ Φίλιπ-
πος ἀπαιτοῦσι μὲν τοῖς ʼΑθηναίοις τὴν νῆσον οὐκ ἀποδίδωσιν — ἑαυτοῦ γὰρ εἶναί φησιν —,
αἰτοῦσι δὲ ὑπισχνεῖται δώσειν. ὁ δὲ λόγος οὐ δοκεῖ μοι Δημοσθένους εἶναι. δηλοῖ δὲ ἡ φράσις
καὶ ἡ τῆς συνθέσεως ἁρμονία, πολὺ τὸν Δημοσθενικὸν πεφευγυῖα τύπον, ἀνειμένη τε καὶ δια-
λελυμένη παρὰ τὴν ἰδέαν τούτου τοῦ ῥήτορος. καὶ μὴν καὶ τὸ ἐπὶ τέλει ῥηθὲν οὐ μικρὸν μαρτύ-
ριον τοῦ νόθον εἶναι τὸν λόγον, εἴπερ ὑμεῖς τὸν ἐγκέφαλον ἐν τοῖς κροτάφοις
καὶ μὴ ἐν ταῖς πτέρναις καταπεπατημένον φορεῖτε. ὁ μὲν γὰρ Δημοσθένης
εἴωθε παῤῥησίᾳ χρῆσθαι, τοῦτο δὲ ὕβρις ἐστὶ καὶ λοιδορία μέτρον οὐκ ἔχουσα. εὐτέλειά τε
αὐτῷ δεινὴ πρόσεστι κατὰ τὴν ἑρμηνείαν. πρὸς δὲ τούτοις καὶ [2]εὔηθες τὸ νομίζειν ἐν τοῖς κρο-
τάφοις ἔχειν τοὺς ἀνθρώπους τὸν ἐγκέφαλον. ὑπώπτευσαν δὲ καὶ οἱ πρεσβύτεροι τὸν λόγον, ὡς
οὐ τοῦ ῥήτορος· καὶ πεφωράκασί γέ τινες ὄντα ʽΗγησίππου καὶ ἀπὸ τῆς ἰδέας τῶν λόγων —
τοιαύτη γὰρ κέχρηται — καὶ ἀπὸ τῶν πραγμάτων· κατὰ Καλλίππου γὰρ τοῦ Παιανιέως 76
φησὶν ὁ τὸν λόγον γεγραφὼς ἀπενηνοχέναι γραφὴν παρανόμων, φαίνεται δὲ οὐχ ὁ Δημοσθένης
ἀλλʼ ὁ ʽΗγήσιππος τὴν κατὰ τοῦ Καλλίππου γραφὴν ἐνστησάμενος. νὴ Δία, ἀλλʼ ὁ λόγος συμ-
βουλεύει περὶ τῆς ʽΑλοννήσου τοῖς ʼΑθηναίοις μὴ λαμβάνειν αὐτὴν, ἀλλʼ ἀπολαμβάνειν, καὶ
διαφέρεται περὶ τῶν ὀνομάτων· ταῦτα δὲ Αἰσχίνης φησὶ τὸν Δημοσθένην συμβεβουλευκέναι
τοῖς ʼΑθηναίοις. εἶτα τί τοῦτο; δύναται γὰρ τὴν αὐτὴν πεποιῆσθαι συμβουλὴν καὶ Δημοσθένης
καὶ ʽΗγήσιππος· ἐπεὶ καὶ τὰ ἄλλα τῆς αὐτῆς ἦσαν ἐν τῇ πολιτείᾳ προαιρέσεως καὶ τοῖς φι-
λιππίζουσι τῶν ῥητόρων ἀντέλεγον. καὶ μέμνηται καὶ ὁ Δημοσθένης τοῦ ʽΗγησίππου, ὡς καὶ
πρεσβεύσαντος μεθʼ ἑαυτοῦ καὶ ἀντιταχθέντος τῷ Μακεδόνι. δῆλον οὖν, ὅτι ὁ μὲν τοῦ Δημο-
σθένους λόγος ὁ περὶ τῆς ʽΑλοννήσου ῥηθεὶς οὐ σώζεται, ἐκείνου δὲ οὐκ ὄντος τὸν εὑρεθέντα
προσέθεσαν αὐτῷ, ἀφορμὴν ἔχοντες τὸ περὶ ʽΑλοννήσου λόγον εἰρῆσθαι τῷ ῥήτορι, οὐκέτι δὲ
ἐξετάζοντες εἰ τοῦτον εἰκὸς εἶναι τὸν ἐκείνου.

[1] ʽΑλονησ. passim. [2] εὔηθές τι νομίζεται τὸ ἐν

ΑΛΟΝΗΣΟΥ] ʽΑλόνησος, *Insula salinarum*, ʼΑλωπεκόνησος, *vulpium*, Μυόνησος, *murium*, Προκόνησος, *cervorum*, πρὸξ γὰρ ἡ ἔλαφος. Wolf.

ΑΛΟΝΝΗΣΟΥ] De inscriptione hujus orationis vid. Dionys. Halicarn. de Admir. vi dicendi in Demosth. §. ιγʹ., et Meurs. Att. Lect. l. iii. c. 6., et Corsin. Fast. Att. par. i. d. xiii. §. 25. s. v. Βοηδρόμια, et Fabr. Bibl. Græc. l. ii. c. 26. n. 8.

ʼΟρθότερον] Subaudi ἦν, et αὐτὸν ad ἐπιγράφειν, *rectius esset ipsam* (orationem) *inscribere*. Auger.

ʼΑπαιτοῦσι μὲν] Observa argutias, αἰτεῖν, ἀπαιτεῖν, δοῦναι, ἀποδοῦναι, λαβεῖν, ἀπολαβεῖν. de quibus in vita Demosthenis diximus. Wolf.

Εὐτέλειά τε αὐτῷ] S. τῷ λόγῳ. Idem.

Καὶ εὔηθες νομίζεται τὸ ἐν τοῖς κροτάφοις] Alii καὶ εὔηθες τὸ νομίζειν ἐν τοῖς κροτάφοις ἔχειν. Non usque adeo fortassis absurde dictum, cum priores duæ cerebri cavitates pene ad aures descendant. Profert autem animus, postquam efferbuit, ad ostendendam rei indignitatem, nonnunquam atrociora, cujusmodi fuit illud, quod Plutarchus refert ἔμμετρον Demosthenis jusjurandum:

> Μὰ γῆν, μὰ κρήνας, μὰ ποταμοὺς, μὰ νάματα.

Et senex ille apud Terentium exclamat:

> ‘O cœlum, o terra, o maria Neptuni!’

Physici tradunt, sues et asinos cerebrum in temporibus habere: homines ibi duntaxat medullare cerebrum. Idem.

ʽΩς οὐ τοῦ ῥήτορος] S. ὄντα, ἢ, ὅτι οὐκ ἔστι. Idem.

ΔΗΜΟΣΘΕΝΟΥΣ

ΠΕΡΙ ΑΛΟΝΝΗΣΟΥ

ΛΟΓΟΣ.

α΄. ἌΝΔΡΕΣ Ἀθηναῖοι, οὐκ ἔστιν ὅπως αἱ αἰτίαι, ἃς 96
Φίλιππος αἰτιᾶται, τοὺς ὑπὲρ τῶν δικαίων πρὸς ὑμᾶς λέ-
γοντας, κωλύσουσι συμβούλους ἡμᾶς γίγνεσθαι ὑπὲρ τῶν
77 ὑμῖν συμφερόντων· δεινὸν γὰρ ἂν εἴη, εἰ τὴν ἐπὶ τοῦ βήμα-
τος παῤῥησίαν αἱ παρ᾽ ἐκείνου πεμπόμεναι ἐπιστολαὶ
ἀνέλοιεν. ἐγὼ δ᾽ ὑμῖν, ὦ ἄνδρες Ἀθηναῖοι, βούλομαι, πρῶ-
τον μὲν περὶ ὧν Φίλιππος ἐπέσταλκε, περὶ τούτων διεξελ-
θεῖν· ὕστερον δὲ, περὶ ὧν οἱ πρέσβεις λέγουσι, καὶ ἡμεῖς
λέξομεν.

β΄. Φίλιππος γὰρ ἄρχεται μὲν περὶ Ἀλοννήσου λέγων, ὡς ὑμῖν δίδωσιν ἑαυτοῦ οὖσαν· ὑμᾶς δὲ οὔ φησι δικαίως αὐτὸν ἀπαιτεῖν, οὐ γὰρ ὑμετέραν οὖσαν [1]οὔτε λαβεῖν οὔτε νῦν ἔχειν. ἔλεγε δὲ καὶ πρὸς ἡμᾶς τοιούτους λόγους, ὅτε πρὸς αὐτὸν ἐπρεσβεύσαμεν, ὡς λῃστὰς ἀφελόμενος ταύτην τὴν νῆσον κτήσαιτο, καὶ προσήκειν αὐτὴν ἑαυτοῦ εἶναι. τοῦτον δὲ τὸν λόγον, ὡς οὐκ ἔστι δίκαιος, οὐ χαλεπόν ἐστιν αὐτοῦ ἀφελέσθαι. ἅπαντες γὰρ οἱ λῃσταὶ, τοὺς ἀλλοτρίους τόπους καταλαμβάνοντες καὶ τούτους ὀχυροὺς ποιούμενοι, ἐντεῦθεν τοὺς ἄλλους κακῶς ποιοῦσιν. ὁ δὴ τοὺς λῃστὰς τιμωρησάμενος καὶ κρατήσας οὐκ ἂν δήπου εἰκότα λέγοι, εἰ φαίη, ἃ ἐκεῖνοι ἀδίκως καὶ ἀλλότρια εἶχον, ταῦθ᾽ ἑαυτοῦ γίγνεσθαι. εἰ γὰρ ταῦτα συγχωρήσετε, τί κωλύει, καὶ εἴ τινα τῆς Ἀττικῆς λῃσταὶ τόπον καταλάβοιεν, ἢ

[1] οὔτε * τότε λαβεῖν

β΄. Οὐ γὰρ ὑμετέραν οὖσαν, οὔτε λαβεῖν, οὔτε νῦν ἔχειν] Recte. Cur ea ignavia fuerunt Athenienses, ut nec sua tuerentur, nec mare pacatum redderent? Philippo certe gratia deberi, et sumtus in eam expeditionem facti restituendi videntur. Sed ignava superbia neutrum horum æquum esse censet. WOLF.

Ἐπρεσβεύσαμεν] Non alia legatio, quam quæ Pellam Ol. cviii, 4. missa, est intelligenda; cujus de fals. leg. §. ϛβ΄. Demosthenes mentionem facit. Quod ex re eorum est, qui hanc Hegesippi esse orationem autumant. Eam saltem legationem

Λήμνου ἢ Ἴμβρου ἢ Σκύρου, καί τινες τούτους τοὺς λῃστὰς
ἐκκόψαιεν, εὐθὺς καὶ τὸν τόπον τοῦτον, οὗ ἦσαν οἱ λῃσταὶ,
97 τὸν ὄντα ἡμέτερον, τῶν τιμωρησαμένων τοὺς λῃστὰς γί-
γνεσθαι; Φίλιππος δ' οὐκ ἀγνοεῖ ταῦτ' οὐ δίκαια λέγων,
ἀλλ', εἰ καί τις ἄλλος, ἐπιστάμενος παρακρουσθῆναι ἂν
ὑμᾶς οἴεται ὑπὸ τῶν τὰ ἐνταῦθα διοικήσειν [1]μελλόντων,
ὡς ἂν αὐτὸς ἐκεῖνος βούληται, καὶ πρὶν ὑπεσχημένων καὶ
νῦν δὲ πραττόντων. ἀλλὰ μὴν οὐδ' ἐκεῖνό γε λανθάνει αὐ- 78
τὸν, ὅτι δι' ἀμφοτέρων τῶν ὀνομάτων ὁποτέρῳ ἂν χρῆσθε
ὑμεῖς, ἕξετε τὴν νῆσον, ἄν τε λάβητε ἄν τ' ἀπολάβητε. τί
οὖν αὐτῷ διαφέρει μὴ τῷ δικαίῳ ὀνόματι χρησάμενον ἀπο-
δοῦναι ὑμῖν, ἀλλὰ δωρεὰν δεδωκέναι, τῷ ἀδίκῳ; οὐχ ἵν'
εὐεργέτημά τι καταλογίσηται πρὸς ὑμᾶς — γελοῖον γὰρ
ἂν εἴη τοῦτό γε τὸ εὐεργέτημα —, ἀλλ' ἵν' ἐνδείξηται
ἅπασι τοῖς Ἕλλησιν, ὅτι Ἀθηναῖοι τὰ ἐν τῇ θαλάττῃ
χωρία ἀγαπῶσι παρὰ τοῦ Μακεδόνος λαμβάνοντες. τοῦτο
δ' ὑμῖν οὐ ποιητέον ἐστὶν, ὦ ἄνδρες Ἀθηναῖοι. ὅταν δὲ λέγῃ
περὶ τούτων ὡς ἐθέλει [2]διαδικάσασθαι, οὐδὲν ἄλλο ἢ
χλευάζει ὑμᾶς· πρῶτον μὲν ἀξιῶν Ἀθηναίους ὄντας πρὸς
τὸν ἐκ Πέλλης ὁρμώμενον περὶ τῶν νήσων διαδικάζεσθαι,
πότερον ὑμέτεραι ἢ ἐκείνου εἰσίν. ὁπότε γὰρ ἡ μὲν δύναμις
ἡ ὑμετέρα, ἡ ἐλευθερώσασα τοὺς Ἕλληνας, μὴ [3]δύναται
ὑμῖν [4]τὰ ἐν τῇ θαλάττῃ διασώζειν χωρία, οἱ δὲ δικασταὶ,
οἷς ἂν ἐπιτρέψητε, οἱ κύριοι τῆς ψήφου, οὗτοι ὑμῖν [5]σώζου-

[1] [μελλόντων] [2] διαδικάζεσθαι [3] δύνηται [4] τὰ χωρία τὰ ἐν τῇ θαλάττῃ διασώζειν, [5] σώζωσιν

Demosthenes non obibat. *F. Jacobs.*

Λήμνου — Σκύρου] Cfr. Æsch. de fals. leg. §. κδ'. et Xenoph. Hellen. v. 1. 31. *F. Jacobs.*

Ἄλλος] Subaudi ἐπίσταται. Auger.

Μελλόντων] Ego pro μελλόντων, quod retinui, quia potest utcumque explicari, legi velim ὑπὲρ αὐτοῦ. Idem.

Ἄν τε λάβητε, ἄν τ' ἀπολάβητε] Cfr. Not. Taylor. ad §. λ. Æschin. Or. c. Ctesiph. et Paul. Leopard. Emend. l. xii. c. 6. Grut. Thes. Crit. t. iii.

Τὰ ἐν τῇ θαλάττῃ χωρία] Athenienses maritimis rebus, quarum imperium jam inde ab secundo bello Persico sibi vindicabant, Philippum sese implicantem ægre ferebant; quippe quia commercii, rerumque lautiorum, et vel vitæ necessitatum, quas Attica parce edebat, ea res in causa erat. (Xenoph. de Rep. Athen. c. 6. et 8.) Exinde porro apud multos in odio et invidia erant, uti Isocrates Or. de Pac. docet. Cfr. de Pauw. Réserch. sur les Grecs, t. i. p. 357. sqq. *F. Jacobs.*

Ἀθηναίους ὄντας πρὸς τὸν ἐκ Πέλλης] Vide ignavæ nobilitatis supercilium. Quæ enim olim vi potius, quam jure occupata, per socordiam amiserunt, stulta persuasione adhuc sua esse jactant. Wolf.

Ἡ δύναμις ἡ ὑμετέρα] Ubi vero illa est? πάλαι ποτ' ἦσαν ἄλκιμοι Μιλήσιοι. Vide ultimam Æschinis epistolam. Idem.

Οἱ κύριοι τῆς ψήφου] Τῇ δυνάμει τὴν ψῆφον opponit: q. d. Si copiæ vestræ maris imperium tueri nequeunt, quomodo judices restituent? Vel: Turpe est, ea jure persequi, quæ armis recuperanda sunt. Idem.

σιν, ἐὰν μὴ Φίλιππος αὐτοὺς πρίηται, πῶς ὑμεῖς οὐχ ὁμολογουμένως, ὅταν ταῦτα διαπράττησθε, τῶν ἐν τῇ ἠπείρῳ ἁπάντων ἀφεστήκατε, καὶ ἐπιδείκνυτε ἅπασιν ἀνθρώποις ὅτι οὐδὲ περὶ ἑνὸς ἂν αὐτῷ διαγωνίζοισθε, εἴ γε ὑπὲρ τῶν ἐν τῇ θαλάττῃ, οὗ φατὲ ἰσχύειν, μὴ διαγωνιεῖσθε ἀλλὰ διαδικάσεσθε.

γʹ. Ἔτι περὶ συμβόλων φησὶ πεπομφέναι πρὸς ὑμᾶς 98
τοὺς ποιησομένους· ταῦτα δὲ κύρια ἔσεσθαι, οὐκ ἐπειδὰν ἐν
τῷ δικαστηρίῳ τῷ παρ᾽ ὑμῖν κυρωθῇ, ὡς ὁ νόμος κελεύει,
ἀλλ᾽ ἐπειδὰν ὡς ἑαυτὸν ἐπανενεχθῇ, ἐφέσιμον τὴν παρ᾽
79 ὑμῶν γενομένην γνῶσιν ὡς ἑαυτὸν ποιούμενος. βούλεται
γὰρ ὑμῶν τοῦτο προλαβεῖν, καὶ ὁμολογούμενον ἐν τοῖς συμβόλοις καταστῆσαι, ὅτι τῶν περὶ Ποτίδαιαν γεγενημένων ἀδικημάτων οὐδὲν ἐγκαλεῖτε αὐτῷ ὡς ἀδικούμενοι, ἀλλὰ βεβαιοῦτε δικαίως αὐτὴν ἐκεῖνον καὶ λαβεῖν καὶ κεκτῆσθαι. καίτοι Ἀθηναίων οἱ ἐν Ποτιδαίᾳ κατοικοῦντες, οὐκ ὄντος αὐτοῖς πολέμου πρὸς Φίλιππον ἀλλὰ συμμαχίας, καὶ ὅρκων ὀμωμοσμένων, οὓς Φίλιππος τοῖς οἰκοῦσιν ἐν Ποτιδαίᾳ ὤμοσεν, ἀφῃρέθησαν ὑπ᾽ αὐτοῦ τὰ κτήματα. ταῦτα δὴ

Ἐὰν μὴ πρίηται αὐτοὺς] Χρήμασι διαφθείρῃ δωροδοκοῦντας, καὶ πιπράσκοντας ἑαυτούς. Nam *πρίασθαί τινα* est *corrumpere largitionibus: πιπράσκειν ἑαυτὸν, corrumpi.* Est enim merces auctoramentum servitutis. Idem.

Τῶν ἐν τῇ ἠπείρῳ] Ἐν τῇ μεσογείᾳ. Lacedæmonii terra magis, mari Athenienses, tyrannidem in Græcos exercuerunt. Si ergo mari cedent Athenienses, quanto magis terra? Idem.

Ἐπιδείκνυται] Corrige ἐπιδείκνυτε. Obsopœus. F. ἐπιδείκνυτε. Taylor.

γʹ. Ἔτι περὶ συμβόλων] Σύμβολα Suidas interpretatur *συνθήκας, ἃς ἂν πρὸς ἀλλήλας αἱ πόλεις θέμεναι τάττωσι τοῖς πολίταις, ὥστε διδόναι καὶ λαβεῖν τὰ δίκαια.* Alias sunt tesseræ hospitales, theatrales, nummariæ, frumentariæ, castrenses: de quibus vide ea, quæ Robertus Constantinus in suo Lexico prolixe annotavit: præclara multis in locis navata opera. Wolf. Σύμβολον, proprie *tessera*, i. e. signum quo aliquid cognoscitur. Hic idem ac *συμβόλαιον, pactum, conventum. σύμβολα*, juxta Harpocrationem, sunt pacta quæ inter se faciunt civitates, et pro civibus constituunt, ut hi jus et æquum præstent et obtineant. Horum, inquit idem, sæpius meminit Demosthenes in septima Philippicarum. Ceterum non plane liquet quæ sit connexio inter hæc pacta et Potidæam quam mox dicet orator Atheniensium fuisse. Auger. Vid. Vales. ad l. et Petit. Leg. Att. l. viii. tit. iv. §. 9.

Ἐφέσιμον τὴν γνῶσιν] Ἔφεσις alias ἡ ἐπιθυμία. Sed hic, ἡ εἰς ἕτερον δικαστήριον ἐξ ἑτέρου μεταγωγὴ, ἡ καὶ ἔκκλητος καλουμένη. παρὰ τὸ ἐκκαλεῖσθαι καὶ παραιτεῖσθαι, καὶ φεύγειν τὸ ἔλαττον καὶ πρότερον δικαστήριον. Appellatio, provocatio. Hinc ἐφέσιμος, sicut ἀνύσιμος, ἀρόσιμος, ab ἄνυσις καὶ ἄροσις, *id quod ad alium superiorem refertur, illius auctoritate confirmandum.* ἐφέσιμος δίκη, idem quod ἔφεσις, sicut παραινετικὸς, παρακλητικὸς, προτρεπτικὸς λόγος, idem quod παραίνεσις, παράκλησις, προτροπή. Wolf.

Ὅτι τῶν περὶ Ποτίδαιαν γεγενημένων ἀδικημάτων οὐδὲν ἐγκαλεῖτε αὐτῷ ὡς ἀδικούμενοι] Nescio, quomodo hæc cohæreant: Athenienses Philippum patiuntur confirmare tesseras. ergo, Potidæatis, colonis suis, nullam ab eo esse factam injuriam confitentur: nisi forte confirmatio tesserarum constituat αὐτοκράτορα, cui quod libet liceat. Idem.

Ἀθηναίων — οἱ κατοικοῦντες] Inter Athenienses ii qui habitant. Auger.

Ταῦτα δὴ βούλεται τὰ ἀδικήματα] Φίλιπ-

βούλεται τἀδικήματα πανταχῶς παρ' ὑμῖν βεβαιώσασθαι, ὅτι οὔτε ἐγκαλεῖτε αὐτῷ οὔθ' ἡγεῖσθε ἀδικεῖσθαι, ἐπεὶ ὅτι γε συμβόλων οὐδὲν δέονται Μακεδόνες πρὸς Ἀθηναίους, ὁ παρεληλυθὼς ὑμῖν χρόνος τεκμήριον γενέσθω· οὔτε γὰρ Ἀμύντας ὁ πατὴρ ὁ Φιλίππου οὔθ' οἱ ἄλλοι Μακεδονίας βασιλεῖς οὐδεπώποτε σύμβολα ἐποιήσαντο πρὸς τὴν πόλιν τὴν ἡμετέραν. καίτοι πλείους γε ἦσαν αἱ ἐπιμιξίαι τότε πρὸς ἀλλήλους ἢ νῦν εἰσίν· ἐφ' ἡμῖν γὰρ ἦν ἡ Μακεδονία
99 καὶ φόρους ἡμῖν ἔφερε, καὶ τοῖς ἐμπορίοις τότε μᾶλλον ἢ νῦν ἡμεῖς τε τοῖς ἐκεῖ κἀκεῖνοι τοῖς παρ' ἡμῖν ἐχρῶντο, καὶ ἐμπορικαὶ δίκαι οὐκ ἦσαν, ὥσπερ νῦν, ἀκριβεῖς, αἱ κατὰ μῆνα, ποιοῦσαι μηδὲν δεῖσθαι συμβόλων τοὺς τοσοῦτον ἀλλήλων ἀπέχοντας. ἀλλ' ὅμως οὐδενὸς ὄντος τοιούτου τότε οὐκ ἐλυσιτέλει σύμβολα ποιησαμένους οὔτ' ἐκ Μακεδονίας πλεῖν Ἀθήναζε δίκας ληψομένους οὔθ' ἡμῖν εἰς Μακεδονίαν, ἀλλ' ἡμεῖς τε τοῖς ἐκεῖ νομίμοις ἐκεῖνοί τε τοῖς παρ' ἡμῖν τὰς δίκας ἐλάμβανον. μὴ οὖν ἀγνοεῖτε ὅτι τὰ σύμβολα ταῦτα 80
γίγνεται εἰς ὑποδοχὴν τοῦ μηδ' ἀμφισβητῆσαι ὑμᾶς εὐλόγως ἔτι περὶ Ποτιδαίας.

δʹ. Περὶ δὲ τῶν λῃστῶν δίκαιόν φησιν εἶναι κοινῇ φυλάττειν τοὺς ἐν τῇ θαλάττῃ κακουργοῦντας ὑμᾶς τε καὶ αὐτὸν, οὐδὲν ἄλλο ἢ τοῦτ' ἀξιῶν, ὑφ' ἡμῶν εἰς τὴν θάλατταν καταστασθῆναι, καὶ ὁμολογῆσαι ὑμᾶς ὡς ἄνευ Φιλίππου οὐδὲ τὴν ἐν τῇ θαλάττῃ φυλακὴν δυνατοί ἐστε φυλάττειν· ἔτι δὲ καὶ δοθῆναι αὐτῷ ταύτην τὴν ἄδειαν, περιπλέοντι καὶ ὁρμιζομένῳ εἰς τὰς νήσους ἐπὶ προφάσει τῇ τῶν

πος δὲ βούλεται βεβαιώσασθαι πανταχόσε παρ' ὑμῖν, ὅτι οὔτε ἐγκαλεῖτε αὐτῷ ταῦτα τὰ ἀδικήματα, οὔτε ἡγεῖσθε ἀδικεῖσθαι. Wolf.

Ἐφ' ἡμῖν γὰρ ἦν ἡ Μακεδονία] Hoc nusquam me legere memini, nisi apud Demosthenem. Iphicrati quidem supplicem fuisse Eurydicen, Philippi matrem, scribit Æschines ἐν τῷ περὶ τῆς παραπρεσβείας. Idem. V. Valckenaer. or. de Philipp. Maced. p. 268. not. 61. *F. Jacobs.*

Τοῖς ἐκεῖ] Sub. ἐμπορίοις, *portubus qui illic sunt; illic*, id est, in Macedonia. Auger.

Ἐμπορικαὶ δίκαι αἱ κατὰ μῆνα] S. γιγνόμεναι νῦν. Judicia, quæ propter mercatores constituebantur. Wolf. Vid. Demosth. adv. Phorm. p. 919. v. 20. ed. R. et Xenoph. de Vectigal. c. 3. *F. Jacobs.*

Ποιοῦσαι] Καὶ ποιοῦσι μηδὲν δεῖσθαι, ὅπως ἂν μηδὲν δέωνται. Wolf.

Τοὺς τοσοῦτον ἀλλήλων ἀπέχοντας] Μακεδόνας καὶ Ἀθηναίους. Sed cur hanc clausulam addit? Quia Atheniensibus in Macedonia, Macedonibus Athenis jus suum persequi, grave erat. Macedo in Atheniensem Macedonia negotiantem Macedonicis legibus agat, nec necesse habeat Athenis illum accusare etc. Idem.

Ἀμφισβητῆσθαι] Suppone ἀμφισβητῆσαι. Obsopœus.

δʹ. Δοθῆναι—τὴν ἄδειαν—κεκομικέναι] Ἀντὶ τοῦ, κομίζειν. Wolf. Junge δοθῆναι cum ἀξιῶν quod præcessit. Auger.

Τῇ τῶν λῃστῶν φυλακῇ] Est veluti ap

λῃστῶν φυλακῇ διαφθείρειν τοὺς νησιώτας καὶ ἀφιστάναι [1][ἀφ'] ὑμῶν, καὶ μὴ μόνον τοὺς φυγάδας τοὺς παρ' ἑαυτοῦ εἰς Θάσον [2]κεκομικέναι διὰ τῶν ὑμετέρων στρατηγῶν, ἀλλὰ καὶ τὰς ἄλλας νήσους οἰκειώσασθαι, συμπέμπων τοὺς συμπλευσομένους μετὰ τῶν στρατηγῶν τῶν [3]ὑμετέρων ὡς κοινωνήσοντας τῆς κατὰ θάλατταν φυλακῆς. καίτοι οὔ φασί τινες αὐτὸν προσδεῖσθαι τῆς θαλάττης. ὁ δ' οὐδὲν δεόμενος τριήρεις κατασκευάζεται, καὶ νεωσοίκους οἰκοδομεῖται, καὶ ἀποστόλους ἀποστέλλειν βούλεται καὶ δαπάνας οὐ μικρὰς δαπανᾷν εἰς τοὺς κατὰ θάλατταν κινδύνους, ὧν οὐδὲν προτιμᾷ. ταῦτ' οὖν οἴεσθ' [4]ἄν, ὦ ἄνδρες Ἀθηναῖοι, Φίλιππον 100
[5]ἀξιῶσαι ὑμᾶς συγχωρῆσαι αὐτῷ, εἰ μὴ ὑμῶν μὲν κατεφρόνει, οὓς δ' ἐνθάδε προῄρηται φίλους κεκτῆσθαι, τούτοις διεπίστευεν; οἳ οὐκ αἰσχύνονται Φιλίππῳ ζῶντες καὶ οὐ τῇ ἑαυτῶν πατρίδι, καὶ τὰς παρ' ἐκείνου δωρεὰς λαμβάνοντες οἴονται οἴκαδε λαμβάνειν, τὰ οἴκοι πωλοῦντες.

81 έ. Περὶ δὲ τῆς ἐπανορθώσεως τῆς εἰρήνης, ἣν ἔδοσαν ἡμῖν οἱ πρέσβεις οἱ παρ' ἐκείνου πεμφθέντες ἐπανορθώσασθαι, [6]ὅτι ἐπηνωρθωσάμεθα, ὃ παρὰ πᾶσιν ἀνθρώποις ὁμολογεῖται δίκαιον εἶναι, ἑκατέρους ἔχειν [7]τὰ ἑαυτῶν, ἀμφισβητεῖ μὴ δεδωκέναι μηδὲ τοὺς πρέσβεις ταῦτ' εἰρηκέναι πρὸς ὑμᾶς, οὐδὲν ἄλλο ἢ πεπεισμένος ὑπὸ τούτων, οἷς χρῆται φίλοις, ὡς ὑμεῖς οὐ μνημονεύετε τὰ ἐν τῷ δήμῳ εἰρημένα. μόνον δὲ τοῦτο οὐχ οἷόν τέ ἐστιν ὑμῖν ἀμνημονῆσαι· ἐν γὰρ τῇ αὐτῇ ἐκκλησίᾳ καὶ οἱ πρέσβεις ὑμῖν οἱ παρ' ἐκείνου ἥκοντες διελέγοντο, καὶ τὸ ψήφισμα ἐγράφη, ὥστε οὐχ οἷόν τέ ἐστι παραχρῆμα τῶν λόγων εἰρημένων, καὶ εὐθὺς τοῦ ψηφίσματος ἐπαναγιγνωσκομένου, τὴν καταψευ-

[1] Absunt unci. [2] διακεκομικέναι [3] ἡμετέρων [4] Deest ἄν. [5] ἀξιῶσαι ἂν ὑμᾶς [6] ὅ,τι [7] τὰ ἑαυτῶν ἔχειν

positum ad ἐπὶ προφάσει. Auger.

Τοὺς παρ' ἑαυτοῦ φυγάδας] Exsules Macedonicos, vel, eos, qui ad Philippum, aliunde pulsi, confugerant. Nam cum Θάσος ἀγαθῶν in proverbium abierit:

'Felix exsilium quam locus ille fuit?
Sed fumus patriæ est alieno clarior igni.' Wolf.

Exsules a seipso, i. e. exsules qui ad seipsum confugerant. Auger.

Θάσον] V. Herodot. vi. 46. sq. Thucyd. i. 100. sq. viii. 64. Xenoph. Hellen. i. 4. Diodor. Sic. xiii. 72. *F. Jacobs.*

Οἴκαδε λαμβάνειν δωρεὰς] Intelligo, *dona accipere domum transferenda.* Auger.

έ. Περὶ τῆς ἐπανορθώσεως—ἣν ἔδοσαν ἐπανορθώσασθαι] Ἐπανορθώσασθαι ἐπανόρθωσιν, notus Atticismus. Wolf.

Οὐδὲν ἄλλο ἢ πεπεισμένος] Διὰ subintelligitur, aut fortasse legendum οὐ δι' ἄλλο. Idem.

Τὴν καταψευδομένην γνώμην τῶν πρέσβεων] Non, *ementitum decretum*, sed γνώ-

δομένην γνώμην τῶν πρέσβεων, ταύτην ὑμᾶς χειροτονῆσαι·
ὥστε τοῦτο μὲν οὐ κατ᾽ ἐμοῦ ἀλλὰ καθ᾽ ὑμῶν ἐπέσταλκεν,
ὡς ὑμεῖς περὶ ὧν οὐκ ἠκούσατε, περὶ τούτων ἀποκρινάμενοι
τὴν γνώμην ἀπεστείλατε. καὶ οἱ μὲν πρέσβεις αὐτοί, ὧν
κατεψεύδετο τὸ ψήφισμα, ὅτ᾽ ἀπεκρίνασθε αὐτοῖς ἀναγι-
νώσκοντες καὶ ἐπὶ ξενίαν αὐτοὺς ἐκαλεῖτε, οὐκ ἐτόλμησαν
παρελθεῖν, οὐδ᾽ εἰπεῖν ὅτι Καταψεύδεσθε ἡμῶν, ὦ ἄνδρες
Ἀθηναῖοι, καὶ φατὲ ἡμᾶς εἰρηκέναι ἃ οὐκ εἰρήκαμεν, ἀλλὰ
σιωπῇ ἀπιόντες ᾤχοντο. βούλομαι δ᾽ ὑμᾶς, ὦ ἄνδρες Ἀθη-
ναῖοι,—καὶ γὰρ εὐδοκίμησεν ὁ Πύθων παρ᾽ ὑμῖν ἐν τῇ δη-
μηγορίᾳ, ὁ τότε πρεσβεύων—, αὐτοὺς τοὺς λόγους οὓς ἔλε-
101 γεν ὑπομνῆσαι· οἶδα γὰρ ὅτι μνησθήσεσθε. παραπλήσιοι
δ᾽ ἦσαν οἷς καὶ νῦν ἐπέσταλκε Φίλιππος· ἐγκαλῶν γὰρ
ἡμῖν τοῖς διαβάλλουσι τὸν Φίλιππον, καὶ ὑμῖν ἐμέμφετο
ὅτι ὡρμηκότος αὐτοῦ εὖ ποιεῖν ὑμᾶς καὶ προῃρημένου μά- 82
λιστα τῶν Ἑλλήνων φίλους κεκτῆσθαι αὐτοὶ κωλύετε,
ἀποδεχόμενοι τοὺς λόγους τῶν συκοφαντούντων καὶ χρή-
ματα ἐκεῖνον αἰτούντων καὶ διαβαλλόντων. τοὺς γὰρ τοιού-
τους λόγους, ὅταν ἀπαγγελλόντων ἀκούῃ, ὅτι κακῶς ἤκουεν,
ὑμεῖς δ᾽ [1] ἀπεδέχεσθε, μεταβάλλειν αὐτοῦ τὴν γνώμην,
ὅταν ἄπιστος φαίνηται τούτοις ὧν προῄρηται εὐεργέτης
εἶναι. [2] ἐκέλευεν οὖν τοὺς λέγοντας ἐν τῷ δήμῳ τῇ μὲν
εἰρήνῃ μὴ ἐπιτιμᾶν, οὐ γὰρ ἄξιον εἶναι εἰρήνην λύειν· εἰ δέ
τι μὴ καλῶς γέγραπται ἐν τῇ εἰρήνῃ, τοῦτ᾽ ἐπανορθώσα-
σθαι, ὡς ἅπαντα Φίλιππον ποιήσοντα, ὅσ᾽ ἂν ὑμεῖς ψη-
φίσησθε. ἐὰν δὲ διαβάλλωσι μέν, αὐτοὶ δὲ μηδὲν γράφωσι
δι᾽ οὗ ἡ μὲν εἰρήνη ἔσται, παύσεται δὲ ἀπιστούμενος Φί-
λιππος, μὴ προσέχειν τὸν νοῦν τοῖς τοιούτοις ἀνθρώποις.

[1] ἀποδέχεσθε [2] ἐκέλευσεν

μην τὴν καταψευδομένην τῶν πρέσβεων, *decretum, quod de legatis mentitur.* sic infra αὐτοί, ὧν κατεψεύδετο τὸ ψήφισμα, *ipsi, in quos mentiebatur decretum.* hæc intelligenda sunt de confictis querelis, et falsis excusationibus Philippi, qui dicat, Athenienses alia perscripsisse in suo senatusconsulto, quam quæ legati sui habuerint in mandatis, aut Atheniensibus polliciti fuerint. IDEM.

Ταύτην] Posset abesse salvo sensu, et hic tantum ponitur ad validius affirmandum. AUGER.

Ἐπὶ ξενίαν αὐτοὺς ἐκαλεῖτε] Hoc malim, quam ἐπὶ ξενίᾳ, et si id quoque ferri potest, ἀντὶ τοῦ, ξενικῶς ἢ φιλοξένως. WOLF.

Πύθων] Vid. or. de Cor. §. μγ΄. et c. Aristocrat. §. λ. et Nott. ad ll. ll.

Ὑμεῖς δ᾽ ἀποδέχεσθε] M. ἀπεδέχεσθε, παρατατικῷ. WOLF.

Ὡς ἅπαντα Φίλιππον ποιήσοντα] Ἀντὶ τοῦ, ὡς Φιλίππου ποιήσοντος. IDEM.

Μὴ προσέχειν τὸν νοῦν] Refer ad ἐκέλευσεν. AUGER.

ϛʹ. Καὶ τούτους τοὺς λόγους ὑμεῖς ἀκούοντες ἀπεδέχεσθε, καὶ δίκαια ἔφατε τὸν Πύθωνα λέγειν. καὶ ἦν δίκαια. ἔλεγε δὲ τούτους [1] τοὺς λόγους οὐχ ὅπως λυθείη ἐκ τῆς εἰρήνης, ἃ ἦν ἐκείνῳ συμφέροντα καὶ ὧν πολλὰ χρήματα ἀνηλώκει ὥστε γενέσθαι, ἀλλὰ ὑπὸ τῶν ἐνθάδε διδασκάλων προδεδιδαγμένος, οἳ οὐκ ᾤοντο εἶναι τὸν γράψοντα ἐναντία τῷ Φιλοκράτους ψηφίσματι, τῷ ἀπολλύντι Ἀμφίπολιν. ἐγὼ δὲ, ὦ ἄνδρες Ἀθηναῖοι, παράνομον μὲν οὐδὲν ἐτόλμησα γράψαι, τῷ δὲ Φιλοκράτους ψηφίσματι ὃ ἦν παράνομον τἀναντία ἔγραψα, ὡς ἐγὼ ἐπιδείξω· τὸ γὰρ ψήφισμα τὸ [τοῦ] Φιλοκράτους, καθ᾽ ὃ ὑμεῖς ἀπώλλυτε Ἀμφίπολιν, ἐναντίον ἦν τοῖς προτέροις ψηφίσμασι, καθ᾽ ἃ ὑμεῖς ἐκτή-
83 σασθε ταύτην τὴν χώραν. τοῦτο μὲν οὖν παράνομον ἦν τὸ ψήφισμα τὸ τοῦ Φιλοκράτους, καὶ οὐχ οἷόν τε ἦν τὸν τὰ ἔννομα γράφοντα ταὐτὰ τῷ παρανόμῳ ψηφίσματι γράφειν. ἐκείνοις δὲ τοῖς προτέροις ψηφίσμασι, τοῖς οὖσιν ἐννόμοις
καὶ σώζουσι τὴν ὑμετέραν χώραν, ταὐτὰ γράφων ἔννομά 102
τ᾽ ἔγραφον καὶ ἐξήλεγχον τὸν Φίλιππον, ὅτι ἐξηπάτα ὑμᾶς καὶ οὐκ ἐπανορθώσασθαι ἐβούλετο τὴν εἰρήνην, ἀλλὰ τοὺς ὑπὲρ ὑμῶν λέγοντας ἀπίστους καταστῆσαι. καὶ ὅτι μὲν δοὺς τὴν ἐπανόρθωσιν νῦν ἔξαρνός ἐστιν, ἅπαντες ἴστε, φησὶ δὲ Ἀμφίπολιν ἑαυτοῦ εἶναι· ὑμᾶς γὰρ ψηφίσασθαι ἐκείνου εἶναι, ὅτ᾽ ἐψηφίσεσθε ἔχειν αὐτὸν ἃ εἶχεν. ὑμεῖς δὲ τὸ μὲν ψήφισμα τοῦτ᾽ ἐψηφίσασθε, οὐ μέντοι γ᾽ ἐκείνου εἶναι Ἀμφίπολιν· ἔστι γὰρ ἔχειν καὶ τἀλλότρια, καὶ οὐχ ἅπαντες οἱ ἔχοντες τὰ ἑαυτῶν ἔχουσιν, ἀλλὰ πολλοὶ καὶ τἀλλότρια κέκτηνται. ὥστε τοῦτό γε τὸ σοφὸν αὐτοῦ ἠλίθιόν ἐστι. καὶ τοῦ μὲν Φιλοκράτους ψηφίσματος μέμνηται, τῆς δὲ ἐπιστολῆς, ἣν πρὸς ὑμᾶς ἔπεμψεν ὅτ᾽ Ἀμφίπολιν ἐπολιόρκει, ἐπιλέλησται, ἐν ᾗ ὡμολόγει τὴν Ἀμφίπολιν ὑμετέραν εἶναι· ἔφη γὰρ ἐκπολιορκήσας ὑμῖν ἀποδώσειν, ὡς οὖσαν ὑμετέραν καὶ οὐ τῶν ἐχόντων. κἀκεῖνοι μὲν, ὡς ἔοικεν, οἱ πρότερον ἐν Ἀμφιπόλει οἰκοῦντες πρὶν Φίλιππον

[1] τοὺς λόγους τούτους

ϛʹ. Φιλοκράτους] Cfr. de Cor. §. ζʹ. ηʹ. et de fals. leg. §. ιζʹ. et Æschin. c. Ctesiph. §. κϛʹ.

Νῦν ἔξαρνός ἐστι] S. δεδωκέναι τὴν ἐπανόρθωσιν. Wolf.

λαβεῖν, τὴν Ἀθηναίων χώραν εἶχον· ἐπειδὴ δὲ Φίλιππος
αὐτὴν εἴληφεν, οὐ τὴν Ἀθηναίων χώραν ἀλλὰ τὴν ἑαυτοῦ
ἔχει. οὐδ᾽ Ὄλυνθόν γε, οὐδ᾽ Ἀπολλωνίαν οὐδὲ Παλλήνην
οὐκ ἀλλοτρίας, ἀλλὰ τὰς ἑαυτοῦ χώρας κέκτηται. ἆρ᾽
ὑμῖν δοκεῖ πεφυλαγμένως ἅπαντα πρὸς ὑμᾶς ἐπιστέλλειν,
ὅπως ἂν φαίνηται καὶ λέγων καὶ πράττων ἃ παρὰ πᾶσιν 84
ἀνθρώποις ὁμολογεῖται δίκαια εἶναι, ἀλλ᾽ οὐ σφόδρα κατα-
πεφρονηκέναι, ὃς τὴν χώραν, ἣν οἱ Ἕλληνες καὶ [1][ὁ] βασι-
λεὺς ὁ Περσῶν ἐψηφίσαντο καὶ ὡμολογήκασιν ὑμετέραν
εἶναι, ταύτην φησὶν ἑαυτοῦ καὶ οὐχ ὑμετέραν εἶναι;

ζ′. Περὶ δὲ τοῦ ἑτέρου ἐπανορθώματος, ὃ ὑμεῖς ἐν
τῇ εἰρήνῃ ἐπηνωρθώσασθε, τοὺς ἄλλους Ἕλληνας, ὅσοι
μὴ κοινωνοῦσι τῆς εἰρήνης, ἐλευθέρους καὶ αὐτονόμους εἶναι,
καὶ ἐάν τις ἐπ᾽ αὐτοὺς στρατεύῃ, βοηθεῖν τοὺς κοινω-
νοῦντας τῆς εἰρήνης, ἡγούμενοι καὶ δίκαιον εἶναι τοῦτο
καὶ φιλάνθρωπον, μὴ μόνον ἡμᾶς καὶ τοὺς [2]συμμάχους
τοὺς ἡμετέρους καὶ Φίλιππον καὶ τοὺς συμμάχους τοὺς
ἐκείνου ἄγειν τὴν εἰρήνην, τοὺς δὲ μήθ᾽ ἡμετέρους ὄντας
103 μήτε Φιλίππου [3]συμμάχους ἐν μέσῳ κεῖσθαι καὶ ὑπὸ τῶν
κρειττόνων ἀπόλλυσθαι, ἀλλὰ καὶ τούτοις διὰ τὴν ὑμετέραν
εἰρήνην ὑπαρχεῖν σωτηρίαν, καὶ τῷ ὄντι εἰρήνην ἡμᾶς ἄγειν
καταθεμένους τὰ ὅπλα· τοῦτο δὲ τὸ ἐπανόρθωμα ὁμολογῶν
ἐν τῇ ἐπιστολῇ, ὡς ἀκούετε, δίκαιόν τ᾽ εἶναι καὶ δέχεσθαι,
Φεραίων μὲν ἀφῄρηται τὴν πόλιν καὶ φρουρὰν ἐν τῇ ἀκρο-
πόλει κατέστησεν, ἵνα δὴ αὐτόνομοι ὦσιν, ἐπὶ δ᾽ Ἀμβρα-
κίαν στρατεύεται, τὰς δ᾽ ἐν Κασσωπίᾳ τρεῖς πόλεις,
Πανδοσίαν καὶ Βούχεταν καὶ Ἐλάτειαν, Ἠλείων ἀποικίας,

[1] Absunt unci. [2] ξυμμάχους [3] ξυμμάχους * οὐκ ἐν μέσῳ

Ἀπολλωνίαν] V. Phil. Γ. p. 117. 20.

Καταπεφρονηκέναι] Subaudiri debet ὑμῶν vel Ἀθηναίων. AUGER.

Καὶ ὁ βασιλεὺς ὁ Περσῶν] De pace ab Antalcida facta hæc intelligenda sunt. Sic et Archidamus, ex Persico fœdere Lacedæmoniorum esse Messenam, affirmat. Vide Panegyricum Isocratis de auctoritate Persæ inter Græcos. WOLF.

ζ′. Ἡγούμενοι καὶ δίκαιον εἶναι—μὴ μόνον—τοὺς δὲ μὴ] Ἀνανταπόδοτον. Sequitur enim ἡ ἀπόδοσις post ἀπόλλυσθαι, quod membrum interjectum est. IDEM.

Τοῦτο δὲ τὸ ἐπανόρθωμα] Hic completur phrasis quæ incipit supra περὶ δὲ τοῦ, et δὲ post τοῦτο valet ad periodum resumendam longius circumductam. AUGER.

Φεραίων τε μὲν] Τό τε abundare videtur. WOLF.

Ἐπὶ δ᾽ Ἀμβρακίαν—] De his rebus silent historici. Ad propulsandum Thessaliæ oppressores Philippus sæpe invitatus, Ol. cix, 1. agrum eorum ingressus est. Cfr. de Ambracia Phil. Γ. p. 118, 5. 119, 30. 129, 21. ed. R. Cassopia Epiri pagus. Alexander Olympiadis, uxoris Philippi,

κατακαύσας τὴν χώραν καὶ εἰς τὰς πόλεις βιασάμενος παρέδωκεν Ἀλεξάνδρῳ τῷ κηδεστῇ τῷ ἑαυτοῦ δουλεύειν. σφόδρα γε βούλεται τοὺς Ἕλληνας ἐλευθέρους εἶναι καὶ αὐτονόμους, ὡς δηλοῖ τὰ ἔργα.

ή. Περὶ δὲ τῶν ὑποσχέσεων, ὧν ὑμῖν διατελεῖ ὑπισχνού-
85 μενος ὡς μεγάλα ὑμᾶς εὐεργετήσων, καταψεύδεσθαί μέ φησιν [1] αὐτοῦ διαβάλλοντα πρὸς τοὺς Ἕλληνας· οὐδὲν γὰρ [2] ὑμῖν πώποτέ φησιν ὑπεσχῆσθαι. οὕτως ἀναιδής ἐστιν ὁ ἐν ἐπιστολῇ γεγραφώς, ἥ ἐστι νῦν ἐν τῷ βουλευτηρίῳ, ὅτ' ἐπιστομιεῖν ἡμᾶς ἔφη τοὺς [3] ἑαυτῷ ἀντιλέγοντας, ἐὰν ἡ εἰρήνη γένηται, τοσαῦτα ὑμᾶς [4] ἀγαθὰ ποιήσειν, ἃ γράφειν ἂν ἤδη, εἰ ᾔδει τὴν εἰρήνην ἐσομένην, δῆλον ὡς προκεχειρισμένων καὶ ἑτοίμων ὄντων τῶν ἀγαθῶν, ἃ ἐμέλλομεν πείσεσθαι τῆς εἰρήνης γενομένης. γενομένης δὲ τῆς εἰρήνης, ἃ μὲν ἡμεῖς ἐμέλλομεν ἀγαθὰ πείσεσθαι, ἐκποδών ἐστι, φθορὰ δὲ τῶν Ἑλλήνων τοσαύτη γέγονεν ὅσην ὑμεῖς ἴστε. ὑμῖν δ' ἐν τῇ νῦν ἐπιστολῇ ὑπισχνεῖται, ἐὰν τοῖς μὲν αὐτοῦ φίλοις καὶ ὑπὲρ αὐτοῦ λέγουσι πιστεύητε, ἡμᾶς δὲ τοὺς διαβάλλοντας αὐτὸν πρὸς ὑμᾶς τιμωρήσησθε, ὡς μεγάλα ὑμᾶς εὐεργετήσει. τὰ μέντοι εὐεργετήματα τοιαῦτα ἔσται· οὔτε τὰ ὑμέτερα ὑμῖν ἀποδώσει—ἑαυτοῦ γάρ φησιν εἶναι—, οὔτε ἐν τῇ οἰκουμένῃ αἱ δωρεαὶ ἔσονται, ἵνα μὴ διαβληθῇ πρὸς τοὺς Ἕλληνας, ἀλλ' ἄλλη τις χώρα, καὶ ἄλλος τις, ὡς ἔοικε, τόπος φανήσεται, οὗ ὑμῖν αἱ δωρεαὶ δοθήσονται.

θ'. Περὶ δὲ ὧν ἐν τῇ εἰρήνῃ εἴληφε χωρίων, ὑμῶν ἐχόντων, 104
παρασπονδῶν καὶ λύων τὴν εἰρήνην, ἐπειδὴ οὐκ ἔχει ὅ τι εἴπῃ, ἀλλ' ἀδικῶν φανερῶς ἐξελέγχεται, ἐπιτρέπειν φησὶ περὶ τούτων ἕτοιμος εἶναι ἴσῳ καὶ κοινῷ δικαστηρίῳ, περὶ ὧν μόνων οὐδὲν δεῖ ἐπιτροπῆς, ἀλλ' ἀριθμὸς ἡμερῶν ἐστὶν ὁ

[1] αὐτοῦ [2] ἡμῖν [3] αὐτῷ [4] ἀγαθὰ ἡμᾶς

frater fuit. *F. Jacobs.*

ή. Ἥ ἐστι νῦν] Malim ἐστὶ καὶ νῦν.— Wolf.

Ὅτ'—ἔφη] Idem valet ac ἐν ᾗ ἔφη. Auger.

Γράφειν] Hic infinitivus regitur ab ἔφη quod præcessit. Primo conjeceram legendum ἐγεγράφειν. Idem.

Ὡς μεγάλα] Vel intellige ὡς μεγάλα, *quam maxima*, vel εὐεργετήσειν muta in εὐεργετήσει. Idem.

θ'. Παρασπουδῶν] In nostro παρασπονδῶν. Siquidem quid παρασπονδεῖν τὴν εἰρήνην sit, vel literis Græcis leviter imbutis liquere puto, et ita legendum, præsertim sequente participio simili λύων. Obsopœus.

κρίνων. ἅπαντες γὰρ ἴσμεν τίνι μηνὶ καὶ ποίᾳ ἡμέρᾳ ἡ εἰρήνη ἐγένετο. ὥσπερ δὲ ταῦτα ἴσμεν, κἀκεῖνα ἴσμεν, τίνι μηνὶ καὶ τίνι ἡμέρᾳ Σέῤῥιον τεῖχος καὶ Ἐργίσκη καὶ Ἱερὸν ὄρος ἑάλω. οὐ δὴ ἀφανῆ ἐστὶ ταῦτα οὕτω πραχθέντα, οὐδὲ 86
κρίσεως δεόμενα, ἀλλὰ πᾶσι γνώριμα, πότερος πρότερος μήν ἐστιν, ἐν ᾧ ἡ εἰρήνη ἐγένετο, ἢ ἐν ᾧ τὰ χωρία ἑάλω. φησὶ δὲ καὶ τοὺς αἰχμαλώτους [1]ἡμῶν, ὅσοι ἐν τῷ πολέμῳ ἑάλωσαν, ἀποδεδωκέναι· ὃς τὸν μὲν Καρύστιον, τὸν πρόξενον τῆς ἡμετέρας πόλεως, ὑπὲρ οὗ ὑμεῖς τρεῖς πρεσβείας ἐπέμψατε ἀπαιτοῦντες, τοῦτον τὸν ἄνδρα ἐκεῖνος οὕτω σφόδρα ὑμῖν ἐβούλετο χαρίσασθαι, ὥστε ἀπέκτεινε καὶ οὐδ᾽ ἀναίρεσιν ἔδωκεν, ἵνα ταφῇ.

ι. Περὶ δὲ Χεῤῥονήσου ἅ τ᾽ ἐπιστέλλει πρὸς [2]ὑμᾶς ἄξιόν ἐστιν ἐξετάσαι, ἔτι δὲ καὶ ἃ πράττει, καὶ ταῦτ᾽ εἰδέναι. τὸν μὲν γὰρ τόπον ἅπαντα τὸν ἔξω ἀγορᾶς, ὡς ἑαυτοῦ ὄντα καὶ ὑμῖν οὐδὲν προσήκοντα, δέδωκε καρποῦσθαι Ἀπολλωνίδῃ τῷ Καρδιανῷ. καίτοι Χεῤῥονήσου οἱ ὅροι εἰσὶν, οὐκ ἀγορὰ, [3]ἀλλὰ βωμὸς τοῦ Διὸς τοῦ ὁρίου, ὅς ἐστι μεταξὺ Πτελεοῦ καὶ Λευκῆς ἀκτῆς, οὗ ἡ διωρυχὴ ἔμελλε Χεῤῥονήσου ἔσεσθαι, ὥς γε τὸ ἐπίγραμμα τὸ ἐπὶ τοῦ βωμοῦ τοῦ Διὸς τοῦ ὁρίου δηλοῖ. ἔστι δὲ [4]τουτί·

Τόνδε καθιδρύσαντο θεῷ περικαλλέα βωμὸν,
Λευκῆς καὶ Πτελεοῦ μέσσον ὅρον θέμενοι,

[1] ὑμῶν [2] ἡμᾶς [3] ἀλλ' ὁ βωμὸς
[4] τουτί. ΕΠΙΓΡΑΜΜΑΤΟΣ ΑΝΑΓΝΩΣΙΣ. Τόνδε

Σέῤῥιον—] Cfr. Phil. Γ. §. δ′. de Cor. §. θ′. et Æschin. c. Ctesiph. §. λ.

Ἀλλὰ πᾶσι γνώριμα, πρότερος] F. ὅτι, vel εἰ, πρότερος μήν ἐστιν, vel πότερος πρότερος μήν ἐστιν. Wolf.

Τὸν μὲν Καρύστιον] Carystus urbs Eubœæ, unde Καρύστιος. Sed hic videtur proprium esse nomen. Idem.

Ὅς τὸν μὲν — ἐκεῖνος οὕτω] Hujus phraseos constructio peccat contra grammatices regulas, nam duo sunt nominativi ὃς et ἐκεῖνος, sed hujus irregularitatis plura occurrunt exempla apud Oratores. Auger.

ι. Ἅτε ἐπιστέλλει] F. ἄγε, nisi forte sit Hegesippi idiotismus, inculcare τό τε. Wolf. Correxi ἃ μὲν, ita postulante nexu phraseos. Auger.

Ταῦτ᾽ εἰδέναι] Ταῦτ᾽ refertur simul et ad ἐπιστέλλει et ad ἃ πράττει. Idem.

Τὸν ἔξω ἀγορᾶς] Puto loci esse proprium nomen. Wolf.

Ἀγορᾶς] De Agora, oppido Chersonesi, mentionem facit Herodotus l. vii. c. 58.; de Pteleo autem et Alba Acta, ejusdem regionis oppidis, nullus, quod sciam, auctor. De Cardia vid. de Pace, §. ϛ′. [et c. Aristocrat. §. μέ.] *F. Jacobs.*

Τοῦ Διὸς τοῦ ὀρείου] *Montani Jovis.* Fortasse, quod ejus fanum in monte situm esset, si ὀρίου legeretur παρὰ τὸν ὅρον, verterem, *terminalis* aut *finitoris Jovis.* Wolf. Vid. Brodæi Miscell. l. vi. c. 9. p. 555. vol. ii. Grut. Thes. Crit.

Πτελεοῦ, καὶ Λευκῆς ἀκτῆς] Locorum Chersonesi propria nomina esse puto. Alias πτελεὸς *ulmum*, λευκὴ ἀκτὴ, *album litus*, vel *albam oram*, significat. Wolf.

Ἡ διωρυχὴ] Hinc illud intelligitur β′. Φιλ. Χεῤῥόνησον δὲ τοῖς αὑτοῦ τέλεσι διορύξει. Idem.

Ἐνναίεται χώρης σημήϊον· ἀμμορίης δὲ 105
Αὐτὸς ἄναξ μακάρων ἐστὶ μέσος Κρονίδης.

ταύτην μέντοι τὴν χώραν τοσαύτην οὖσαν ὅσην οἱ πολλοὶ ὑμῶν ἴσασιν, ὡς ἑαυτοῦ οὖσαν, τὴν μὲν αὐτὸς καρποῦται, τὴν δὲ ἄλλοις δωρεὰν δέδωκε, καὶ ἅπαντα τὰ κτήματα τὰ ὑμέτερα ὑφ᾽ ἑαυτῷ ποιεῖται. καὶ οὐ μόνον τὴν ἔξω ἀγο-
87 ρᾶς χώραν σφετερίζεται, ἀλλὰ καὶ πρὸς Καρδιανούς, οἳ οἰκοῦσιν ἔσω ἀγορᾶς, ἐπιστέλλει ἐν τῇ νυνὶ ἐπιστολῇ, ὡς δεῖ ὑμᾶς διαδικάζεσθαι πρὸς Καρδιανοὺς τοὺς κατοικοῦντας ἐν τῇ ὑμετέρᾳ, εἴ τι πρὸς αὐτοὺς διαφέρεσθε. διαφέρονται δὲ πρὸς ὑμᾶς, σκέψασθε εἰ περὶ μικροῦ. ἑαυτῶν φασὶ τὴν χώραν οὖσαν οἰκεῖν καὶ οὐχ ὑμετέραν [1][εἶναι], καὶ τὰ μὲν ὑμέτερα εἶναι ἐγκτήματά φασιν ὡς ἐν ἀλλοτρίᾳ, τὰ δὲ [2]αὑτῶν κτήματα᾽ ὡς ἐν οἰκείᾳ, καὶ ταῦθ᾽ ὑμέτερον πολίτην γράψαι ἐν ψηφίσματι, Κάλλιππον Παιανιέα. καὶ τοῦτό γε ἀληθὲς λέγουσιν· ἔγραψε γάρ, καὶ ἐμοῦ γ᾽ αὐτὸν γραψαμένου παρανόμων γραφὴν ὑμεῖς ἀπεψηφίσασθε· τοιγάρτοι ἀμφισβητήσιμον ὑμῖν τὴν χώραν κατεσκεύακεν. ὁπότε δὲ περὶ τούτου τολμήσετε πρὸς Καρδιανοὺς διαδικάζεσθαι, εἴθ᾽ ὑμετέρα ἐστὶν εἴτ᾽ ἐκείνων ἡ χώρα, διὰ τί οὐ καὶ πρὸς τοὺς ἄλλους Χερρονησίτας τὸ αὐτὸ δίκαιόν ἔσται; καὶ οὕτως ὑβριστικῶς ὑμῖν κέχρηται, ὥστε φησίν, ἐὰν μὴ θέλωσι διαδικάζεσθαι οἱ Καρδιανοί, αὐτὸς ἀναγκάσειν, ὡς ὑμῶν γ᾽ οὐκ ἂν δυναμένων οὐδ᾽ ἀναγκάσαι Καρδιανοὺς τὰ δίκαια [3]ὑμῖν ποιῆσαι· ἐπειδὴ δ᾽ ὑμεῖς οὐ δύνασθε, αὐτός φησι τοῦτ᾽ ἀναγκάσειν αὐτοὺς ποιῆσαι. ἆρ᾽ οὐ μεγάλα [4]φαίνεται ὑμᾶς εὐεργετῶν; 106

[1] Deest εἶναι. [2] αὐτῶν [3] ὑμῖν] πρὸς ὑμᾶς [4] ὑμᾶς φαίνεται

Ἐνναίεται] *Habitatores.* Ἀμμορίης: subaudio ἕνεκα, et explico *discretionis causa,* i. e. ut agri discernantur. Auger.

Ἀμμορίης δὲ] Ἀμμοιρίαν καὶ ἀμμορίαν interpretantur τὴν κακὴν μοῖραν. Quo significatu intelligi potest, Jovem prohibere calamitatem, quod utrinque arceat hostiles impetus. Sed cum ἄμμορος idem sit, quod ἀμέτοχος, *expers, non particeps,* ut apud Homerum [Il. Σ. 487.]

Ἄρκτον θ᾽, ἣν καὶ ἄμαξαν ἐπίκλησιν καλέουσιν,
Ἥ τ᾽ αὐτοῦ στρέφεται, καί τ᾽ Ὠρίωνα δοκεύει·
Οἴη δ᾽ ἄμμορός ἐστι λοετρῶν Ὠκεανοῖο.

quid si ἀμμορίη sit ὁ ὅρος, *limes, terminus,* qui utrinque Chersonesitas excludat, ne ulterius progrediantur? Possit et scribi cum aspiratione ἁμμορίη, παρὰ τὸ ἅμα καὶ ὅρος. quasi ὁμορία, *confinium.* Wolf.

Οἳ οἰκοῦσιν ἔσω ἀγορᾶς] Alii ἔξω. sed hoc videtur rectius. Idem.

Ἐγκτήματα — κτήματα] Ipse auctor discrimen satis declarat. Idem.

Κάλλιππον] Augeri conjectura, Callippum hic loci memoratum eundem esse, ac ille quem Demosthenes oratione tractabat, eapropter infirmatur, cum hic Lamprensis, ille Pæaniensis sit. *F. Jacobs.*

Ὑμεῖς ἀπεψηφίσασθε] S. αὐτοῦ. Auger.

Οὐ δὲ ἀναγκάσαι] M. οὐδὲ Καρδιάνους ἀναγκάσαι. Wolf.

ιά. Καὶ ταύτην τὴν ἐπιστολήν τινες εὖ ἔφασαν γε-
γράφθαι, οἳ πολὺ ἂν δικαιότερον ὑφ᾽ ὑμῶν ἢ Φίλιππος μι-
σοῖντο. ἐκεῖνος μὲν γὰρ, ἑαυτῷ κτώμενος δόξαν καὶ μεγάλ᾽
ἀγαθὰ, ἅπαντα καθ᾽ ὑμῶν πράττει· ὅσοι δ᾽ Ἀθηναῖοι
ὄντες μὴ τῇ πατρίδι ἀλλὰ Φιλίππῳ εὔνοιαν ἐνδείκνυνται,
προσήκει αὐτοὺς ὑφ᾽ ὑμῶν κακοὺς κακῶς ἀπολωλέναι, εἴπερ
ὑμεῖς τὸν ἐγκέφαλον ἐν τοῖς κροτάφοις καὶ μὴ ἐν ταῖς πτέρ- 88
ναις καταπεπατημένον φορεῖτε.

Ὑπόλοιπόν μοί ἐστιν ἔτι πρὸς ταύτην τὴν ἐπιστολὴν τὴν εὖ ἔχουσαν καὶ τοὺς λόγους τῶν πρέσβεων γράψαι τὴν ἀπόκρισιν, ἣν ἡγοῦμαι δικαίαν τ᾽ εἶναι καὶ συμφέρουσαν ὑμῖν.

ιά. Εὔνοιαν ἐνδείκνυνται] Supra, ἐμφατικώτερον, οἳ οὐκ αἰσχύνονται Φιλίππῳ ζῶντες, καὶ οὐ τῇ ἑαυτῶν πατρίδι. Wolf.

Εὖ ἔχουσαν] Εὖ γεγραμμένην. εἰρωνικῶς. [*In farrag.* Aut hæc abesse malim, ut inculcata e superioribus, aut addi aliquid, εὖ ἔχουσάν γε, ut appareat ironia.] Idem.

Τὴν ἀπόκρισιν] Quam forsan, domi conscriptam, perlegit orator, et assedit. *F. Jacobs.*

ΛΙΒΑΝΙΟΥ ΥΠΟΘΕΣΙΣ ΤΟΥ ΠΕΡΙ ΤΩΝ ΕΝ ΧΕΡΡΟΝΗΣΩΙ.

Pag. ed. Reisk. — Pag. ed. aliq. cit.

88 Ο ΛΟΓΟΣ οὗτος ὑπὲρ Διοπείθους εἴρηται καὶ ὧν ἐκεῖνος παρὰ Ἀθηναίοις κατηγόρητο. ἦν 107
μὲν γὰρ Χερρόνησος ἡ πρὸς Θρᾴκην τῶν Ἀθηναίων κτῆμα ἀρχαῖον, εἰς δὲ ταύτην ἀπέστειλαν κατὰ τοὺς Φιλίππου καιροὺς κληρούχους ἑαυτῶν. ἔθος δὲ ἦν τοῦτο παλαιὸν τοῖς Ἀθηναίοις, ὅσοι πένητες ἦσαν αὐτῶν καὶ ἀκτήμονες οἴκοι, τούτους πέμπειν ἐποίκους εἰς τὰς ἔξω πόλεις τὰς ἑαυτῶν· καὶ ἐλάμβανον πεμπόμενοι ὅπλα τε ἐκ τοῦ δημοσίου καὶ ἐφόδιον. καὶ νῦν τοίνυν τοῦτο γέγονε, καὶ πεπόμφασιν ἐποίκους εἰς τὴν Χερρόνησον, στρατηγὸν αὐτοῖς δόντες Διοπείθη. οἱ μὲν οὖν ἄλλοι Χερρονησῖται τοὺς ἐπελθόντας ἐδέξαντο καὶ μετέδωκαν αὐτοῖς καὶ οἰκιῶν καὶ γῆς, Καρδιανοὶ δὲ οὐκ ἐδέξαντο, λέγοντες ἰδίαν χώραν οἰκεῖν καὶ οὐκ Ἀθηναίων. ἐντεῦθεν οὖν Διοπείθης [1] ἐπολέμησε Καρδιανοῖς. οἱ δὲ παρὰ Φίλιππον καταφεύγουσι, καὶ ὃς ἐπιστέλλει τοῖς Ἀθηναίοις μὴ βιάζεσθαι Καρδιανοὺς ὡς αὐτῷ προσήκοντας, ἀλλὰ δικάσασθαι πρὸς αὐ-
89 τούς, εἴ τί φασιν ἠδικῆσθαι. ὡς δὲ οὐκ ἤκουον τούτων οἱ Ἀθηναῖοι, βοήθειαν τοῖς Καρδιανοῖς ἔπεμψεν. ἐφ' οἷς ἀγανακτήσας ὁ Διοπείθης, τοῦ Φιλίππου περὶ τὴν μεσογείαν τὴν ἄνω Θρᾴκην πολεμοῦντος πρὸς τὸν Ὀδρυσῶν βασιλέα, τὴν παράλιον Θρᾴκην, ὑπήκοον οὖσαν τοῦ Μακεδόνος, κατέδραμε καὶ ἐπόρθησε, καὶ ἔφθη, πρὶν Φίλιππον ἐπανελθεῖν, ἀναχωρήσας εἰς τὴν Χερρόνησον καὶ ἐν ἀσφαλεῖ γενόμενος. διόπερ ὁ Φίλιππος οὐ δυνηθεὶς ὅπλοις αὐτὸν ἀμύνασθαι, πέπομφεν ἐπιστολὴν πρὸς τοὺς Ἀθηναίους, κατηγορῶν τοῦ στρατηγοῦ καὶ λέγων αὐτὸν παραβεβηκέναι τὴν εἰρήνην ἄντικρυς. καὶ οἱ φιλιππίζοντες τῶν ῥητόρων κατατρέχουσι τοῦ Διοπείθους, καὶ κολάζειν ἀξιοῦσιν αὐτόν. πρὸς οὓς ὁ Δημοσθένης ἐναντιούμενος διχῇ ὑπὲρ Διοπείθους ἵσταται, οὔτε γὰρ ἄδικά φησιν αὐτὸν πεποιηκέναι· Φιλίππου γὰρ πολὺ πρότερον παραβάντος τὴν εἰρήνην καὶ ἀδικοῦντος τὴν τῶν Ἀθηναίων πόλιν, εἰκότως καὶ τοῦτον ἔργα πολεμίου διαπράττεσθαι· οὔτε συμφέρειν λέγει τοῖς Ἀθηναίοις κολάσαι τὸν στρατηγὸν καὶ διαλῦσαι τὴν ὑπ' ἐκείνου δύναμιν, ἥτις νῦν ἀποκρούεται Χερρονήσου Φίλιππον. τὸ δὲ ὅλον ἐπὶ πόλεμον παρακαλεῖ, καὶ τοῦ Φιλίππου πολλὴν ποιεῖται κατηγορίαν ὡς ἀδίκου καὶ παρασπόνδου καὶ τοῖς Ἀθηναίοις καὶ τοῖς Ἕλλησιν ἐπιβουλεύοντος.

[1] ἐπολέμει

Καὶ ὧν] Καὶ ὑπὲρ ἐκείνων, ὧν. Wolf.

Κληρούχους ἑαυτῶν] Id est, κληρούχους Ἀθηναίους, vel κληρούχους, ὄντας πολίτας Ἀθηναίους. κληροῦχον Suidas interpretatur γεωργόν, *agricolam, colonum*. Rem declarat ipse Libanius. Dicuntur autem παρὰ τὸ κλῆρον ἔχειν, *ab habenda hæreditate seu sorte*, quod eis apud exteros prædia assignabantur: idque sortito fortasse factum est. Inter κληρούχους et ἀποίκους hoc interesse videtur, quod hi vel pulsis veteribus incolis terram occupabant, vel in vacua veniebant: illi, a veteribus recipiebantur in communionem opum, ut ex sequentibus Libanii verbis apparet. ἔποικον Phavorinus *inquilinum in urbe*, ex Thucydide interpretatur. Nos inopia verborum coacti κληροῦχον, ἔποικον, ἄποικον, *colonum* interpretamur sine discrimine: nisi *Agripetam* dicere libeat τὸν κληροῦχον, ut Cicero 'Neoclem Epicuri patrem Samum venisse agripetam' scribit: et 'agripetas ejectos atque concisos.' Idem.

Ἀκτήμονες] *Sine possessionibus, non prædiati*, quo nomine Apuleius utitur. quod propter auctorem non repudiandum censeo, cum Cicero *Prædiatorium jus* dicat, horridiore etiam vocabulo. Idem.

Πεμπόμενοι] Ὅτε ἐπέμποντο. *Cum mittebantur*, sed malim addi articulum οἱ πεμπόμενοι, *qui mittebantur*. Idem.

Περὶ τὴν μεσογείαν τὴν ἄνω Θρᾴκην] *In mediterraneis, superiore Thracia.* potest exponi sic κατ' ἐπεξήγησιν. Possit etiam legi τῆς ἄνω Θρᾴκης genitivo casu, *in superioris Thraciæ mediterraneis.* Idem.

Ἔφθη ἀναχωρήσας] *Antevertit reversus*, id est, prius recessit, quam, etc. a verbo φθάνω. Idem.

Ο ΠΕΡΙ ΤΩΝ ΕΝ ΧΕΡΡΟΝΗΣΩΙ.

108 α΄. ἜΔΕΙ μὲν, ὦ ἄνδρες Ἀθηναῖοι, τοὺς λέγοντας ἅπαν- 90
τας ἐν ὑμῖν μήτε πρὸς ἔχθραν ποιεῖσθαι λόγον μηδένα μήτε πρὸς χάριν, ἀλλ᾽ ὃ βέλτιστον ἕκαστος ἡγεῖτο, τοῦτ᾽ ἀποφαίνεσθαι, ἄλλως τε καὶ περὶ κοινῶν πραγμάτων καὶ μεγάλων ὑμῶν βουλευομένων· ἐπειδὴ δ᾽ ἔνιοι τὰ μὲν φιλονεικίᾳ, τὰ δ᾽ ἡτινιδήποτ᾽ αἰτίᾳ προάγονται λέγειν, ὑμᾶς, ὦ ἄνδρες Ἀθηναῖοι, τοὺς πολλοὺς δεῖ πάντα τἄλλ᾽ ἀφέντας, ἃ τῇ πόλει νομίζετε συμφέρειν, ταῦτα καὶ ψηφίζεσθαι καὶ πράττειν. ἡ μὲν οὖν σπουδὴ περὶ τῶν ἐν Χεῤῥονήσῳ πραγμάτων ἐστὶ καὶ τῆς στρατείας, ἣν ἑνδέκατον

'Ο ΠΕΡΙ ΤΩΝ ΕΝ ΧΕΡΡΟΝΗΣΩΙ] S. στρατιωτῶν. hoc enim nomen additur Philippica 3. Possis etiam interpretari *de Chersonesitanis*. Sic enim articuli substantivis locorum et gentium nominibus, et præpositionibus vel adverbiis additi, sæpe commode, interdum etiam necessario redduntur, ut οἱ ἐν ῥώμῃ, *Romani*, quod brevius est, quam si dicas, hi, qui Romæ sunt, οἱ πρὸς τοὺς ἔξω πόλεμοι, *externa bella* Ciceroni dicuntur. Ut autem fatear, præpositiones hujusmodi sæpe continere distinctiones et exceptiones aliquas, ut Chersonesitani milites intelligi possent e Chersoneso oriundi potius, quam aliunde in Chersonesum missi: tamen ab interprete postulandum non opinor, ut omnes syllabas annumeret; præsertim, si constet, probatos auctores ἀκρίβειαν illam Græcorum tanti non fecisse, ut propterea moleste et parum Latine loquerentur, etsi et ipsi proprietatis studiosi. Χεῤῥόνησος peninsula est, quarum quatuor potissimum celebrantur, Thracica, de qua hic agitur, Taurica, Aurea, Cimbrica. Strabo et Peloponnesum annumerat, cum et ipsa peninsula sit, quamvis Chersonesus appellari non soleat. Wolf.

Ἔδει μὲν] Tale fere est exordium Cæsaris apud Sallustium: 'Omnes homines, Patres conscripti, qui de rebus dubiis consultant, ab odio, amicitia, ira atque misericordia vacuos esse decet. Haud facile animus verum providet, (*malim* pervidet) ubi illa officiunt: neque quisquam omnium libidini simul et usui paruit.' Idem.

Τοὺς λέγοντας ἅπαντας ἐν ὑμῖν] Ordo est, ἅπαντας τοὺς λέγοντας ἐν ὑμῖν. Neque enim jungo ποιεῖσθαι ἐν ὑμῖν λόγον: etsi id quoque hic fieri posset. Verum aliquando fit, ut hujusmodi verborum trajectiones non animadversæ, diversam gignant sententiam. Sic paulo post: οὓς κατὰ τοὺς νόμους ἐφ᾽ ὑμῖν ἐστὶν, ὅταν βούλησθε, κολάζειν: rectius jungitur κολάζειν κατὰ τοὺς νόμους, quam ἔστιν ἐφ᾽ ὑμῖν κατὰ τοὺς νόμους, *legibus vobis licet*. Idem.

Πρὸς ἔχθραν, πρὸς χάριν] Δι᾽ ἔχθραν, ἢ χάριν: ἔχθρας, ἢ χάριτος ἕνεκα. Idem.

Ὑμᾶς τοὺς πολλοὺς] *Vos multos*, id est, τὸν δῆμον, *vulgus, multitudinem, populum*. In Latino sermone vel nomen vel pronomen videtur omittendum. Conjungi enim utrumque non potest. οἱ λέγοντες, id est, οἱ ῥήτορες, οἱ σύμβουλοι, *oratores, consiliarii*, sunt quasi duces: οἱ πολλοὶ, id est, ὁ δῆμος, *reliquus exercitus*. Sed quid faciat τὸ ἄλογον, id est multitudo, si τὸ ἡγεμονικὸν, id est magistratus, vel erroribus, vel pravis affectibus, ducitur? Quidam Alexandri magni exercitum, illo sublato, Polyphemo excæcato non insulse comparavit. Idem.

Ἣν ἑνδέκατον] Posset intelligi, si verba sola spectes, *mense ab undecimo*, ut infra τρίτον ἢ τέταρτον τουτὶ ἔτος, *anno abhinc tertio aut quarto*. Sed sententia cogit, ut sic accipias: Philippum jam undecimum mensem versari in Thracia. Sequitur enim post, δέκα μῆνας ἀπογενομένου τἀνθρώπου. Idem.

μῆνα τουτονὶ Φίλιππος ἐν Θρᾴκῃ ποιεῖται· τῶν δὲ λόγων
οἱ πλεῖστοι περὶ ὧν Διοπείθης πράττει καὶ μέλλει ποιεῖν 109
εἴρηνται. ἐγὼ δ' ὅσα μέν τις αἰτιᾶταί τινα τούτων, οὓς κατὰ
τοὺς νόμους ἐφ' ὑμῖν ἐστίν, ὅταν βούλησθε, κολάζειν, κἂν ἤδη
δοκῇ κἂν [1] σμικρὸν ἐπισχοῦσι περὶ αὐτῶν σκοπεῖν ἐγχωρεῖν
ἡγοῦμαι, καὶ οὐ πάνυ [2] δεῖ περὶ τούτων οὔτ' ἐμὲ οὔτ' ἄλλον
οὐδένα [3] ἰσχυρίζεσθαι· ὅσα δ' ἐχθρὸς ὑπάρχων τῇ πόλει
Φίλιππος καὶ δυνάμει πολλῇ περὶ Ἑλλήσποντον ὢν πειρᾶ-
ται προλαβεῖν, κἂν ἅπαξ ὑστερήσωμεν, οὐκέθ' ἕξομεν σῶ-
σαι, περὶ τούτων δ' οἶμαι τὴν ταχίστην συμφέρειν καὶ βε-
91 βουλεῦσθαι καὶ παρεσκευάσθαι καὶ μὴ τοῖς περὶ τῶν ἄλ-
λων θορύβοις καὶ ταῖς κατηγορίαις ἀπὸ τούτων ἀποδρᾶναι.

β'. Πολλὰ δὲ θαυμάζων τῶν εἰωθότων λέγεσθαι παρ' ὑμῖν οὐδενὸς ἧττον, ὦ ἄνδρες Ἀθηναῖοι, τεθαύμακα ὃ καὶ πρώην τινὸς ἤκουσα εἰπόντος ἐν τῇ βουλῇ, ὡς ἄρα δεῖ τὸν συμβουλεύοντα ἢ πολεμεῖν ἁπλῶς ἢ τὴν εἰρήνην [4] ἄγειν συμβουλεύειν. ἔστι δέ—, εἰ μὲν ἡσυχίαν Φίλιππος ἄγει καὶ μήτε τῶν ἡμετέρων ἔχει παρὰ τὴν εἰρήνην μηδὲν μήτε συσκευάζεται πάντας ἀνθρώπους ἐφ' [5] ἡμᾶς, οὐδὲν δεῖ λέγειν, ἀλλ' ἁπλῶς εἰρήνην ἀκτέον· καὶ τά γε ἀφ' ὑμῶν ἕτοιμα ὑπάρχονθ' ὁρῶ. εἰ δ' ἃ [6] μὲν ὠμόσαμεν καὶ ἐφ' οἷς τὴν

[1] μικρὸν [2] δεῖν [3] διϊσχυρίζεσθαι [4] ἄγειν τὴν εἰρήνην [5] ὑμᾶς
[6] μὲν ἡμεῖς ὠμόσαμεν

Ἐν Θρᾴκῃ ποιεῖται] Odrysorum regi Amadoco, Cersobleptis fratri, bellum inferens. Leland. Vit. Phil. iv. §. 2. Stock.

Εἴρηται] L. εἴρηνται. Wolf.

Κολάζειν] Hic finio πρότασιν periodi. Idem.

Κἂν σμικρὸν ἐπίσχωσι] S. οἱ φιλιππίζοντες ῥήτορες. [S. οἱ Διοπείθους κατηγοροῦντες. *In farrag.*] Felicianus, ἐπισχοῦσι dativo plurali, ut ad ὑμῖν referatur, *sive vobis jam eos punire, sive moram interponere visum fuerit.* Idem.

Καὶ οὐ πάνυ δεῖ] Potest ita legi, ut a superiore periodo separetur: sed si legas δεῖν, pendebit a verbo ἡγοῦμαι, et erit, opinor, aptius. Idem.

Σῶσαι· περὶ τούτων δ'] Τὸ σῶσαι absolvit antecedens periodi. Particula δὲ non est adversativa, sed ἐμφατικὴ hoc loco, ut, *vero*, apud Latinos. Idem. F. δή. Taylor.

Τοῖς περὶ τῶν ἄλλων θορύβοις] S. πραγμάτων, *de aliis rebus minus necessariis* διὰ τοὺς θορύβους, vel περὶ τῶν ἄλλων πολιτῶν, qui minus nocere possunt. Wolf.

Ἀπὸ τούτων ἀποδρᾶναι] *Ab his aufugere, hæc subterfugere*, ἀντὶ τοῦ, ταῦτα παραδραμεῖν καὶ παραλιπεῖν, καταμελεῖν τούτων. Idem.

β'. Οὐδενὸς ἧττον τεθαύμακα] Ἀντὶ τοῦ, ἐν τοῖς μάλιστα, οὐκ ἥκιστα. Non est οὐδενὸς ἀνθρώπου, sed οὐδενὸς πράγματος ἧττον. Idem.

Ἔστι δὲ, εἰ μὲν] S. τὴν εἰρήνην ἁπλῶς ἄγειν, *licet autem pacem simpliciter servare*, &c. ἐφ' ὑμᾶς, οὐδὲ δεῖ λέγειν, est ἀσύνδετον, cum asseveratione accipiendum, sic: *nihil dicendum est.* Alioqui ἔστι δὲ, et, οὐδὲν δεῖ λέγειν, ἀνακολούθως conjungi videbuntur, nisi legas, εἰ μὲν γὰρ ἡσυχίαν Φίλιππος. Possit etiam ἔστι δέ; negativa interrogatione legi, *id vero licet?* sed prior distinctio mihi magis probatur. Idem.

Καὶ τάγε ἀφ' ὑμῶν] Ἀντὶ τοῦ, καὶ ὑμᾶς γε ἑτοίμους ὑπάρχοντας ὁρῶ τὴν εἰρήνην ἄγειν. Idem.

εἰρήνην ἐποιησάμεθα, ἔστιν ἰδεῖν καὶ γεγραμμένα κεῖται, φαίνεται δ᾽ ἀπ᾽ ἀρχῆς ὁ Φίλιππος, πρὶν Διοπείθην ἐκπλεῦσαι καὶ τοὺς κληρούχους οὓς νῦν αἰτιῶνται πεποιηκέναι τὸν πόλεμον, πολλὰ μὲν τῶν ἡμετέρων ἀδίκως εἰληφώς, ὑπὲρ ὧν ψηφίσμαθ᾽ ὑμέτερα ἐγκαλοῦντα κύρια ταυτί, πάντα δὲ τὸν [1] χρόνον συνεχῶς τὰ τῶν ἄλλων Ἑλλήνων καὶ βαρβάρων λαμβάνων καὶ ἐφ᾽ ἡμᾶς συσκευαζόμενος, τί τοῦτο λέγουσιν, ὡς [2] πολεμεῖν ἢ ἄγειν εἰρήνην δεῖ; οὐ γὰρ αἵρεσίς ἐστιν ἡμῖν τοῦ πράγματος, ἀλλ᾽ ὑπολείπεται τὸ δικαιότατον καὶ ἀναγκαιότατον τῶν ἔργων, ὃ ὑπερβαίνουσιν ἑκόντες οὗτοι. τί οὖν ἐστὶ τοῦτο; ἀμύνεσθαι τὸν πρότερον πολεμοῦνθ᾽ ἡμῖν. πλὴν εἰ μὴ τοῦτο λέγουσι νὴ Δία, [3] ὡς, ἂν ἀπέχηται τῆς Ἀττικῆς καὶ τοῦ Πειραιῶς ὁ Φίλιππος, οὔτ᾽ ἀδικεῖ τὴν πόλιν οὔτε [4] ποιεῖ πόλεμον. εἰ δ᾽ ἐκ τούτων τὰ δίκαια τίθενται καὶ τὴν εἰρήνην ταύτῃ ὁρί- 92
ζονται, ὅτι μὲν δήπουθεν οὔτ᾽ ἀνεκτὰ λέγουσιν οὔθ᾽ ὑμῖν ἀσφαλῆ, δῆλόν ἐστιν ἅπασιν, οὐ μὴν ἀλλ᾽ ἐναντία συμβαίνει ταῖς κατηγορίαις [5] αἷς Διοπείθους κατηγοροῦσι καὶ αὐτὰ ταῦτα λέγειν αὐτούς.

γ΄. Τί γὰρ δήποτε τῷ μὲν Φιλίππῳ πάντα τἄλλα ποιεῖν ἐξουσίαν δώσομεν, ἂν τῆς Ἀττικῆς ἀπέχηται· τῷ Διοπείθει δ᾽ οὐδὲ βοηθεῖν τοῖς Θρᾳξὶν ἐξέσται, ἢ πόλεμον ποιεῖν αὐτὸν φήσομεν; ἀλλὰ νὴ Δία ταῦτα μὲν ἐξελέγ-

[1] τὸν ἄλλον χρόνον [2] πολεμεῖν ἁπλῶς ἢ [3] ἕως ἂν [4] ποιεῖ [τὸν] πόλεμον [5] ἃς

Κληρούχους]. Non eos *milites* appellat, sed *colonos* (pacato nomine usus), quos Athenienses mittebant in urbes suæ ditionis, ut agros singulis assignarent. *Ex edit.* Stock.

Ὑπὲρ ὧν (scilicet ἀδικημάτων τοῦ Φιλίππου) ψηφίσμαθ᾽ ὑμέτερα ἐγκαλοῦντα, κύρια ταυτὶ] Κύρια non sine causa additur. Multa enim fiebant irrita decreta. Vult Athenienses suo ipsorum gladio jugulare: quasi dicat: Vos ipsi decrevistis, pacem esse a Philippo violatam: et tamen dubitatis adhuc, an pro hoste sit habendus? Wolf.

Ψηφίσματα—κύρια] *Rata nondum, abrogata:* quæ adhuc γεγραμμένα κεῖται, ut supra. Stock.

Τὰ τῶν ἄλλων Ἑλλήνων] Intelligi potest vel de inita cum illis societate, vel, Philippum, illis victis, factum potentiorem, bellum inferre cogitare Atheniensibus: id quod passim in Philippicis inculcatur. Wolf.

Νὴ Δία, ἕως ἂν] F. νὴ Δία, ὅτι, ἕως ἄν. Idem.

Καὶ τὴν εἰρήνην ταύτην] Rectius legitur ταύτῃ, hoc est, τουτονὶ τὸν τρόπον. Idem.

Οὐ μὴν ἀλλ᾽ ἐναντία συμβαίνει] Verbum verbo: *Quin etiam ita fit, ut contraria accusationibus, quibus Diopithen invadunt, etiam hæc ipsa dicant;* hoc est, dum accusant, excusant hoc ipso, quod Philippum atrociora designantem non accusant. Idem.

Ταῖς κατηγορίαις, ἃς Διοπείθους κατηγοροῦσι] Alibi lectum esse dandi casu, αἷς, Obsopœus: ut respondeat casui antecedenti. κατηγορεῖν κατηγορίας τινὸς, Atticismus satis notus. Idem.

γ΄. Ἀλλὰ νὴ Δία] Μίμησις εἰρωνική. Idem.

Ταῦτα μὲν ἐξελέγχονται] *Hæc* (scilicet,

χονται, δεινὰ δὲ ποιοῦσιν οἱ ξένοι περικόπτοντες τὰ ἐν Ἑλ-
λησπόντῳ, καὶ Διοπείθης ἀδικεῖ κατάγων τὰ πλοῖα, καὶ
δεῖ μὴ ἐπιτρέπειν αὐτῷ; ἔστω, γιγνέσθω ταῦτα, οὐδὲν
ἀντιλέγω. οἴομαι μέντοι δεῖν, εἴπερ ὡς ἀληθῶς ἐπὶ πᾶσι 111
δικαίοις ταῦτα συμβουλεύουσιν, ὥσπερ τὴν ὑπάρχουσαν
τῇ πόλει δύναμιν καταλῦσαι ζητοῦσι τὸν ἐφεστηκότα καὶ
πορίζοντα χρήματα ταύτῃ διαβάλλοντες ἐν ὑμῖν, οὕτω τὴν
Φιλίππου δύναμιν δεῖξαι διαλυθησομένην, ἂν ὑμεῖς ταῦτα
πεισθῆτε. εἰ δὲ μή, σκοπεῖτε ὅτι οὐδὲν ἄλλο ποιοῦσιν ἢ
καθιστᾶσι τὴν πόλιν εἰς τὸν αὐτὸν τρόπον δι' οὗ τὰ [1] παρ-
όντα πράγματα ἅπαντ' [2] ἀπολώλεκεν. ἴστε γὰρ δή που
τοῦθ', ὅτι οὐδενὶ τῶν [3] πάντων πλέον κεκράτηκε τῆς πόλεως
Φίλιππος ἢ τῷ πρότερος πρὸς τοῖς πράγμασι γίγνεσθαι.
ὁ μὲν γὰρ ἔχων δύναμιν συνεστηκυῖαν ἀεὶ περὶ αὑτόν, καὶ
προειδὼς ἃ βούλεται πρᾶξαι, ἐξαίφνης ἐφ' οὓς ἂν αὐτῷ
δόξῃ πάρεστιν· ἡμεῖς δ' ἐπειδὰν πυθώμεθά τι γιγνόμενον,
τηνικαῦτα θορυβούμεθα καὶ παρασκευαζόμεθα. εἶτ',
οἶμαι, συμβαίνει τῷ μέν, ἐφ' ἃ ἂν ἔλθῃ, ταῦτ' ἔχειν κατὰ
πολλὴν ἡσυχίαν, ἡμῖν δ' ὑστερίζειν, καὶ ὅσα ἂν δαπανήσω-
93 μεν, ἅπαντα μάτην [4] ἀναλωκέναι, καὶ τὴν μὲν ἔχθραν
καὶ τὸ βούλεσθαι κωλύειν ἐνδεδεῖχθαι, ὑστερίζοντας δὲ
τῶν ἔργων αἰσχύνην προσοφλισκάνειν.

δ'. Μὴ τοίνυν ἀγνοεῖτε, ὦ ἄνδρες Ἀθηναῖοι, ὅτι καὶ νῦν

[1] † παρελθόντα [2] ἀπόλωλεν [3] ἁπάντων [4] † ἀνηλωκέναι

ea quæ agit Philippus) *convincuntur, redarguuntur*, i. e. iniqua esse deprehenduntur. AUGER.

Περικόπτοντες τὰ ἐν Ἑλλησπόντῳ] Συλῶντες τοὺς Ἑλλησποντίους, καὶ πορθοῦντες τὴν χώραν. WOLF.

Κατάγων τὰ πλοῖα] Ἐκ τῆς θαλάττης ἐπὶ τοὺς λιμένας ἄγων, καὶ διαρπάζων. Suidas citans octavam Philippicam, hoc est, Chersonesitanam hanc, exponit, λῃΐζεσθαι καὶ κακοῦν, καὶ μὴ ἐᾶν τοὺς πλέοντας, ὅποι βούλοιντο, πλεῖν· ἀλλ' εἰς τὰ οἰκεῖα χωρία τοῖς λῃστεύουσι κατάγειν. IDEM.

Ἐπὶ πᾶσι δικαίοις συμβουλεύουσι] Δικαίως καὶ εἰλικρινῶς, ἀκιβδήλως, ἀδέκαστοι, ἀδωροδόκητοι ὑπάρχοντες. IDEM.

Δύναμιν συνεστηκυῖαν] *Perpetuum exercitum*, quem alibi nominat σύνεχῆ παρασκευήν. IDEM.

Ἀναλωκέναι] In omnibus, quos novi, codicibus est ἀνηλωκέναι. Auctoritate Atticistarum, qui affirmant, apud Atticos hoc verbum α non mutare in η, quod α longum sit, post Valckenaerium, qui ad Phœn. v. 591. Atticistarum præceptum argumentis probare studebat, mos invasit, hoc η in α mutandi. Tamen nuper Elmsley ex Inscriptionibus probavit, Atticos huic verbo augmentum dedisse, atque Hermannus ei assentitur ad Aj. 1028., addens, augmenti omissionem esse orationis vulgaris: quæ phrasis late patet. Si res in se spectatur, mihi quidem videtur a MSS. lectione non recedendum esse. In Demosthene, ubi η est in contextu editionis Reiskianæ, vel omnes MSS. sic habent, vel plerique. Duobus locis orationis de Cor., p. 228. l. 8., ubi est ἀνάλωκε, et p. 247. l. 6., ubi ἀναλωκυῖαν, ex plurimis et optimis codd. restituendum est η. BREM.

δ'. Ὅτι καὶ νῦν τἄλλα μέν ἐστι λόγοι ταῦτα

τἆλλα μέν ἐστι λόγοι ταῦτα καὶ προφάσεις, πράττεται δὲ τοῦτο καὶ κατασκευάζεται, ὅπως ὑμῶν μὲν οἴκοι μενόντων, ἔξω δὲ μηδεμιᾶς οὔσης τῇ πόλει δυνάμεως μετὰ πλείστης ἡσυχίας [1]ἅπανθ' ὅσα βούλεται Φίλιππος διοικήσεται. θεωρεῖτε γὰρ τὸ παρὸν πρῶτον, ὃ γίγνεται. νυνὶ δύναμιν μεγάλην ἐκεῖνος ἔχων ἐν Θρᾴκῃ διατρίβει, καὶ μεταπέμπεται πολλήν, ὥς φασιν οἱ παρόντες, ἀπὸ Μακεδονίας καὶ Θετταλίας. ἐὰν οὖν περιμείνας τοὺς ἐτησίας ἐπὶ Βυζάντιον ἐλθὼν πολιορκῇ, πρῶτον μὲν οἴεσθε τοὺς Βυζαν-
112 τίους μενεῖν ἐπὶ τῆς αὐτῆς ἀνοίας [2]ὥσπερ νῦν, καὶ οὔτε παρακαλέσειν ὑμᾶς οὔτε βοηθεῖν αὐτοῖς ἀξιώσειν; ἐγὼ μὲν οὐκ οἴομαι, ἀλλὰ καὶ εἴ τισι μᾶλλον ἀπιστοῦσιν ἢ ἡμῖν, καὶ τούτους εἰσφρήσεσθαι μᾶλλον ἢ ἐκείνῳ παραδώ-

[1] πάνθ'

[2] ἥσπερ

Καὶ προφάσεις] Ὅτι τἆλλα ταῦτα, scilicet τὰ λεγόμενα, ἐστὶ λόγοι, ἤγουν ψεύδη ἀνύπαρκτα καὶ προφάσεις, τῆς προδοσίας προκαλύμματα. Wolf.

Πολλὴν] Scil. δύναμιν. Auger.

Ὡς φασιν οἱ παρόντες, ἀπὸ] *Ut ii dicunt, qui adsunt.* μεταπέμπεται ἀπὸ Μακεδονίας, *accersit e Macedonia.* sic malo, quam οἱ παρόντες ἀπὸ Μακεδονίας, *qui e Macedonia huc venerunt,* vel, qui apud Philippum fuerunt, ἀντὶ τῶν παραγενομένων, accipere. Wolf.

Τοὺς ἐτησίας] S. ἀνέμους, quasi dicas, *annuos ventos*, de quibus supra. Idem.

Ἐπὶ Βυζάντιον] Huc pertinere opinor senatusconsultum illud Byzantiorum, quod in oratione π. Στεφ. [§. κζ'.] habetur. Idem.

Ἐπὶ τῆς αὐτῆς ἀνοίας] Defectionem in bello sociali intelligo. Idem. Anno tertio Olympiadis centesimæ quintæ, Byzantini ab Atheniensibus defecerant, et adversus eos fœdus cum Chiis, Cois, et Rhodiis inierant. (Huc spectat illud μενεῖν ἐπὶ τῆς αὐτῆς ἀνοίας, et paulo inferius κακοδαιμονοῦσι γὰρ ἄνθρωποι, &c.) Hac de causa haud immerito credebant infensos esse admodum pristinos suos dominos. Nihilominus dicit Orator eos vel ad Atheniensium præsidium confugere malle, quam in Philippi potestatem se dedere: quod et revera factum est. Byzantini quippe, urbe eorum a Philippo obsessa, auxilium ab Atheniensibus petierunt, qui Phocionis ductu eos obsidione liberarunt. Huc pertinet decretum Byzantinorum, de quo, in oratione περὶ Στεφάνου. *Ex edit.* Stock. Vid. Or. pro Rhod. lib. p. 177. ed. R. et de Cor. 252. seqq., Diodor. Sic. xvi. 77., et Plutarch. Vit. Phocion. c. 14.

Ὥσπερ νῦν] Quid si ἥσπερ νῦν. Wolf.

Μενεῖν ἐπὶ τῆς αὐτῆς ἀνοίας, ὥσπερ νῦν] Reiskius sine causa pro ὥσπερ scripsit ἥσπερ. Nam post ὁ αὐτὸς haud raro ponitur adverbium ὥσπερ pro pronomine, quamquam sæpe a viris doctis mutatum. p. 51. l. 15. ed. R. τὸν αὐτὸν τρόπον, ὥσπερ, ubi H. Wolfius mavult ὅνπερ. Idem legitur p. 13. l. 19. κατὰ Ἀριστοκρ. p. 632. l. 1. ὥσπερ τὸν Ἀθηναῖον κτείναντα, ἐν τοῖς αὐτοῖς ἐνδέχεσθαι, ubi Reiske Marklandum vituperat, οἷσπερ conjicientem. Plato Phædon. p. 86. A. εἴ τις διϊσχυρίζοιτο τῷ αὐτῷ λόγῳ ὥσπερ σὺ, ubi, quum Fischerus e Forsteri conjectura dedisset ᾧπερ, merito vulgatam lectionem Heindorfius revocavit, similia nonnulla afferens. Xenophon. Anab. I. 10, 10. εἰς τὸ αὐτὸ σχῆμα κατέστησεν ἐναντίαν τὴν φάλαγγα, ὥσπερ τὸ πρῶτον μαχούμενος συνῄει. Etiam καθάπερ sequitur post ὁ αὐτὸς, quod omnem mutandi libidinem coercet. Κατὰ Ἀριστοκρ. p. 633. l. 17. τοῖς αὐτοῖς ἐνεχέσθω, καθάπερ ἂν τὸν Ἀθηναῖον ἀποκτείνῃ. p. 650. l. 13. s. ἔστω, φησὶν, ὑπὲρ αὐτοῦ ἡ αὐτὴ τιμωρία, καθάπερ ἂν τὸν Ἀθηναῖον ἀποκτείνῃ. Brem.

Ἀλλὰ καὶ εἴ τισι — πόλιν] Subauditur οἴεσθε, *an eos potius admissuros in urbem Byzantios existimatis, aut illi urbem tradituros?* Passiva voce usus est verbo φρῶ ἢ φρημὶ, cujus verbi formationem vide in Bud. Commentariis. *Ex edit.* Hervag.

Καὶ τούτους εἰσφρήσεσθαι] Τῇ πόλει ὑποδέξεσθαι ἐπὶ φρουρᾷ, ab εἰσφρέω, εἰσδέχομαι, εἰσάγω, καυχῶμαι, μετὰ σπουδῆς εἰσφέρω. Wolf. Harpocratio videtur legisse εἰσφρήσειν. Εἰσφρήσειν, inquit, εἰσάξειν, εἰσδέξεσθαι, Δημοσθένης ἐν ὀγδόῳ Φιλιππικῶν. Auger.

σειν τὴν πόλιν, ἄνπερ μὴ φθάσῃ λαβὼν αὐτούς. οὐκοῦν
ἡμῶν μὲν μὴ δυναμένων ἐνθένδ' ἀναπλεῦσαι, ἐκεῖ δὲ μηδε-
μιᾶς ὑπαρχούσης ἑτοίμου βοηθείας οὐδὲν αὐτοὺς ἀπολω-
λέναι κωλύσει. νὴ Δία, κακοδαιμονοῦσι γὰρ [1] ἄνθρωποι καὶ
ὑπερβάλλουσιν ἀνοίᾳ. πάνυ γε, ἀλλ' ὅμως αὐτοὺς δεῖ σῶς
εἶναι· συμφέρει γὰρ τῇ πόλει. καὶ μὴν οὐδ' ἐκεῖνό γε δῆλόν
ἐστιν ἡμῖν, ὡς ἐπὶ Χεῤῥόνησον οὐχ ἥξει· ἀλλ' εἴ γε ἐκ τῆς
ἐπιστολῆς δεῖ σκοπεῖν ἧς ἔπεμψε πρὸς ὑμᾶς, ἀμυνεῖσθαί
φησι τοὺς ἐν Χεῤῥονήσῳ. ἂν μὲν τοίνυν ᾖ τὸ συνεστηκὸς
94 τοῦτο στράτευμα, καὶ τῇ χώρᾳ βοηθῆσαι δυνήσεται καὶ
τῶν ἐκείνου τι κακῶς ποιῆσαι· εἰ δ' [2] ἅπαξ διαλυθήσεται,
τί ποιήσομεν, ἂν ἐπὶ Χεῤῥόνησον ἴῃ; κρινοῦμεν Διοπείθην
νὴ Δία. καὶ τί τὰ πράγματα ἔσται βελτίω; ἀλλ' ἐν-
θένδε βοηθήσομεν αὐτοῖς. ἂν δ' ὑπὸ τῶν πνευμάτων μὴ
δυνώμεθα; ἀλλὰ μὰ Δί' οὐχ ἥξει. καὶ τίς ἐγγυητής ἐστι
τούτου; ἆρ' ὁρᾶτε καὶ λογίζεσθε, ὦ ἄνδρες Ἀθηναῖοι, τὴν
ἐπιοῦσαν ὥραν τοῦ ἔτους, εἰς ἣν ἔρημόν τινες οἴονται δεῖν
τὸν Ἑλλήσποντον ὑμῶν ποιῆσαι καὶ παραδοῦναι Φιλίπ-
πῳ; τί δ', ἂν ἀπελθὼν ἐκ Θρᾴκης καὶ μηδὲ προσελθὼν 113
Χεῤῥονήσῳ μηδὲ Βυζαντίῳ — καὶ γὰρ ταῦτα λογίζεσθε
— ἐπὶ Χαλκίδα ἢ Μέγαρα ἥκῃ τὸν αὐτὸν τρόπον ὅνπερ
ἐπ' Ὠρεὸν [3] πρῴην, πότερον κρεῖττον ἐνθάδε αὐτὸν [4] ἀμύνε-
σθαι καὶ προσελθεῖν τὸν πόλεμον πρὸς τὴν Ἀττικὴν ἐᾶ-

[1] ἄνθρωποι [2] ἅπαξ διαφθαρήσεται καὶ διαλυθήσεται [3] πρῴην ἐπ' Ὠρεὸν [4] ἀμύνασθαι

Οὐδὲν αὐτοὺς ἀπολωλέναι—] *Ita nihil causæ est quin ipsi perituri sunt. Sane quidem nihil; quippe homines insaniunt summaque sunt dementia præditi. Prorsus quidem illi; sed tamen reipub. interest, incolumes eos servari.* Vel sic, *quid ni perituri sint homines summa insania præditi*, h. e. πῶς γὰρ οὔ; Servit enim confessioni νὴ Δία, quæ tamen secum affert causam facti; et vim quandam interrogationis obtinet hic sermo: quanquam alibi etiam anthypophoris accommodetur, ita ut responsioni congruat, præsertim ubi cum ἀλλὰ jungitur. Idem alibi, νὴ Δί' ἀλλ' ὅπως ἔτυχε ταῦτα τὰ γράμματα ἕστηκε, i. e. *at enim ipsæ literæ obscuro quodam loco temereque positæ sunt.* Atque ita omnino referre licebit, *at* et *at enim* Latine, quod Livius pæne ad verbum *at hercule* dicit. Bud. *Ex edit.* Hervag.

Νὴ Δία, κακοδαιμονοῦσι γὰρ ἄνθρωποι] Τῷ εὐδαιμονεῖν opponitur τὸ κακοδαιμονεῖν. Sed malim κακοδαιμονῶσι per ω, παρὰ τὸ κακοδαιμονᾷν: quod et Phrynichus probat. Significat autem τῷ θεῷ ἀπεχθῆ εἶναι, *Deo invisum esse, malis intemperiis agi.* Adversarius ait, recte eos perituros propter amentiam suam. Νὴ Δία, scilicet οὐδὲν κωλύσει αὐτοὺς ἀπολωλέναι. Wolf.

Βοηθήσαμεν αὐτοῖς] Np. Diopithi et ejus sociis. Auger.

Ἔρημον ὑμῶν ποιῆσαι] Jubent vos Hellesponto cedere: Hellespontum a vobis deseri. Wolf.

Ἐπ' Ὠρεὸν] Qua ratione Philippus hanc Eubœæ urbem adeptus sit, oratio proxima declarabit [§. ιγ'.] Stock.

σαι, ἢ κατασκευάζειν ἐκεῖ τιν᾽ ἀσχολίαν αὐτῷ; ἐγὼ μὲν οἴομαι τοῦτο.

έ. Ταῦτα τοίνυν ἅπαντας εἰδότας καὶ λογιζομένους χρὴ μὰ Δί᾽ οὐχ ἣν Διοπείθης πειρᾶται τῇ πόλει δύναμιν [1] παρασκευάζειν, ταύτην βασκαίνειν καὶ [2] διαλῦσαι πειρᾶσθαι, ἀλλ᾽ ἑτέραν αὐτοὺς προσπαρασκευάζειν καὶ συνευποροῦντας ἐκείνῳ χρημάτων καὶ τἄλλα οἰκείως συναγωνιζομένους. εἰ γάρ τις ἔροιτο Φίλιππον, Εἰπέ μοι, πότερ᾽ ἂν βούλοιο τούτους τοὺς στρατιώτας οὓς Διοπείθης νῦν ἔχει, τοὺς ὁποιουστινασοῦν — οὐδὲν γὰρ ἀντιλέγω — [3] εὐθενεῖν καὶ παρ᾽ Ἀθηναίοις εὐδοξεῖν καὶ πλείους γίγνεσθαι τῆς πόλεως συναγωνιζομένης, ἢ διαβαλλόντων τινῶν καὶ κατηγορούντων διασπασθῆναι καὶ διαφθαρῆναι; ταῦτ᾽ ἄν, οἶμαι, φήσειεν. εἶθ᾽ ἃ Φίλιππος ἂν εὔξαιτο τοῖς θεοῖς, [4] ταῦθ᾽ 95 ἡμῶν τινὲς ἐνθάδε πράττουσιν; εἶτα ἔτι ζητεῖτε πόθεν τὰ τῆς πόλεως ἀπόλωλεν ἅπαντα;

ς΄. Βούλομαι τοίνυν [5] [πρὸς] ὑμᾶς μετὰ παῤῥησίας ἐξετάσαι τὰ παρόντα πράγματα τῇ πόλει, καὶ σκέψασθαι τί ποιοῦμεν αὐτοὶ νῦν καὶ ὅπως χρώμεθ᾽ αὐτοῖς. ἡμεῖς οὔτε χρήματα εἰσφέρειν βουλόμεθα, οὔτε αὐτοὶ στρατεύεσθαι τολμῶμεν, οὔτε τῶν κοινῶν ἀπέχεσθαι δυνάμεθα, οὔτε τὰς συντάξεις Διοπείθει δίδομεν, οὔθ᾽ ὅσ᾽ ἂν αὐτὸς
114 αὐτῷ πορίσηται ἐπαινοῦμεν, ἀλλὰ βασκαίνομεν καὶ σκοποῦμεν πόθεν καὶ τί μέλλει ποιεῖν καὶ πάντα τὰ τοιαῦτα, οὔτ᾽ ἐπειδήπερ οὕτως ἔχομεν, τὰ ἡμέτερ᾽ αὐτῶν πράττειν ἐθέλομεν, ἀλλ᾽ ἐν μὲν τοῖς λόγοις τοὺς τῆς πόλεως λέγοντας ἄξια ἐπαινοῦμεν, ἐν δὲ τοῖς ἔργοις τοῖς ἐναν-

[1] κατασκευάζειν [2] διαλύειν [3] * εὐθηνεῖν [4] τοῦτ᾽ ἡμῶν ἐνθάδε τινὲς
[5] Absunt unci.

έ. Συνευποροῦντας] Συνευπορεῖν, *suppeditare de nostro, opes et vires ejus augere.* Wolf.

Τἄλλα οἰκείως] Ἐν τοῖς ἄλλοις, ὡς δεῖ, *in cæteris, ut usus postulat.* Idem.

Τοὺς ὁποιουστινασοῦν (οὐδὲν γὰρ ἀντιλέγω)] Hinc apparet, milites illos fuisse rapacissimos et insolentissimos. Idem.

ς΄. Τὰ παρόντα] Sic ordina: τὰ πράγματα τὰ παρόντα τῇ πόλει. Idem.

Καὶ ὅπως χρώμεθα αὐτοῖς] Τοῖς παροῦσι πράγμασι τῇ πόλει. Idem.

Τῶν κοινῶν ἀπέχεσθαι] S. χρημάτων, quæ in Olynthiacis θεωρικὰ nominantur, vel *abstinere a gerenda republica.* Quam παῤῥησίαν erga totum populum, etsi fortasse nec Demosthenes usurparet, nec populus pateretur: tamen, quod sequitur οὔτε τὰ ἡμέτερα αὐτῶν πράττειν ἐθέλομεν, sic fateor posse intelligi, ut certos quosdam homines importunos perstringat: nisi τὰ ἡμέτερα αὐτῶν πράττειν intelligendum sit, ut etiam in republica suo quisque munere fungatur, et alios non impediat. Idem.

Τὰς συντάξεις] *Tributa* intelligo, ut etiam alibi οἱ φόροι hoc nomine appellantur. Idem.

τιουμένοις τούτοις συναγωνιζόμεθα. ὑμεῖς μὲν τοίνυν εἰώθατε ἑκάστοτε τὸν παριόντα ἐρωτᾷν, τί οὖν χρὴ ποιεῖν; ἐγὼ δ' ὑμᾶς ἐρωτῆσαι βούλομαι, τί οὖν χρὴ λέγειν; εἰ γὰρ μήτε εἰσοίσετε, μήτε αὐτοὶ στρατεύσεσθε, μήτε τῶν κοινῶν ἀφέξεσθε, μήτε τὰς συντάξεις Διοπείθει δώσετε, μήτε ὅσ' ἂν αὐτὸς αὑτῷ πορίσηται ἐάσετε, μήτε τὰ ὑμέτερ' αὐτῶν πράττειν ἐθελήσετε, οὐκ ἔχω τί λέγω. εἰ γὰρ ἤδη τοσαύτην ἐξουσίαν τοῖς αἰτιᾶσθαι καὶ διαβάλλειν βουλομένοις δίδοτε, ὥστε καὶ περὶ [1] ὧν φασὶ μέλλειν αὐτὸν ποιεῖν, καὶ περὶ τούτων προκατηγορούντων ἀκροᾶσθαι, τί ἄν τις λέγοι;

ζ'. Ὅ τι τοίνυν δύναται ταῦτα ποιεῖν, ἐνίους μαθεῖν [2] ὑμῶν δεῖ. λέξω δὲ μετὰ παῤῥησίας· καὶ γὰρ οὐδ' ἂν ἄλλως δυναίμην. [3] πάντες ὅσοι πώποτ' ἐκπεπλεύκασι παρ' ὑμῶν
96 στρατηγοί, ἢ ἐγὼ πάσχειν ὁτιοῦν τιμῶμαι, καὶ παρὰ Χίων καὶ παρὰ Ἐρυθραίων καὶ παρ' ὧν ἂν ἕκαστοι δύνωνται, τούτων τῶν τὴν Ἀσίαν οἰκούντων λέγω, χρήματα λαμβάνουσι. λαμβάνουσι δὲ οἱ μὲν ἔχοντες μίαν ἢ δύο ναῦς ἐλάττονα, οἱ δὲ μείζω δύναμιν πλείονα. καὶ διδόασιν οἱ διδόντες οὔτε τὰ μικρὰ οὔτε τὰ πολλὰ ἀντ' οὐδενός—οὐ γὰρ οὕτω μαίνονται—ἀλλ' [4] ὠνούμενοι μὴ ἀδικεῖσθαι τοὺς παρ' αὐτῶν ἐκπλέοντας ἐμπόρους, [5] μὴ συλᾶσθαι, παραπέμπεσθαι τὰ πλοῖα τὰ αὐτῶν, τὰ τοιαῦτα· φασὶ δ' [6] εὐνοίας διδόναι καὶ
τοῦτο τοὔνομα ἔχει τὰ λήμματα ταῦτα. καὶ δὴ καὶ νῦν 115
τῷ Διοπείθει στράτευμ' ἔχοντι σαφῶς ἐστὶ τοῦτο δῆλον ὅτι δώσουσι χρήματα πάντες οὗτοι· πόθεν γὰρ οἴεσθε ἄλλοθεν τὸν μήτε λαμβάνοντα παρ' ὑμῶν μηδὲν μήτε αὐτὸν ἔχοντα ὁπόθεν μισθοδοτήσει, στρατιώτας τρέφειν; ἐκ τοῦ

[1] ὧν ἂν φασι [2] ὑμῶν μαθεῖν [3] ἅπαντες [4] ὠνούμενοι τὸ μὴ [5] μηδὲ συλᾶσθαι, παραπέμπεσθαι δὲ τὰ [6] εὐνοίᾳ

Ὡς καὶ περὶ ὧν, etc. καὶ περὶ τούτων] *Ut et quas res*, etc. *iis etiam de rebus.* Observa hunc usum particulæ καί. Idem.

ζ'. Ὅ, τι τοίνυν δύναται] *Quidnam ista valeant*: articulus compositus est, non conjunctio. Idem.

Ἐρυθραίων] Non sinus Persici accolæ, sed cives Erythræ urbis Ionicæ. Stephanus varias Erythras recenset, ut hanc Ionicam, aliam Libyæ, aliam Locridis, aliam Bœotiæ, aliam Cypri, quæ nunc Paphus dicatur. Idem.

Ἀντ' οὐδενὸς] *Pro nullo, re nulla, nihilo*, id est, nihil gratis aut temere largiuntur. Idem.

Τὰ τοιαῦτα] Scilicet χρήματα διδόασιν, *eam pecuniam dant.* Vel, quod malo, τὰ τοιαῦτα, scilicet ἐστὶ τὰ πράγματα, *ita se res habent*, vel διὰ τὰ τοιαῦτα, *propter ejus generis alia, si qua sunt ejus generis alia.* Idem. *Cetera hujusmodi*, scilicet, emunt commoda. Auger.

οὐρανοῦ; οὐκ ἔστι ταῦτα· ἀλλ' ἀφ' ὧν ἀγείρει καὶ προσαιτεῖ καὶ δανείζεται, ἀπὸ τούτων διάγει. οὐδὲν οὖν ἄλλο ποιοῦσιν οἱ κατηγοροῦντες ἐν ὑμῖν ἢ προλέγουσιν ἅπασι μηδ' ὁτιοῦν ἐκείνῳ διδόναι, ὡς καὶ τοῦ μελλῆσαι δώσοντι δίκην, μή τι ποιήσαντί γε ἢ συγκαταπραξαμένῳ. τοῦτ' εἰσὶν οἱ λόγοι· μέλλει πολιορκεῖν, τοὺς Ἕλληνας ἐκδίδωσι· μέλει γάρ τινι τούτων τῶν τὴν Ἀσίαν οἰκούντων Ἑλλήνων, ἀμείνους μέντ' ἂν εἶεν τῶν ἄλλων ἢ τῆς πατρίδος κήδεσθαι. καὶ τό γε εἰς τὸν Ἑλλήσποντον ἐκπέμπειν ἕτερον στρατηγὸν τοῦτ' ἐστίν. εἰ γὰρ δεινὰ ποιεῖ Διοπείθης καὶ κατάγει τὰ πλοῖα, μικρόν, ὦ ἄνδρες Ἀθηναῖοι, μικρὸν πινάκιον

Ἀπὸ τούτων διάγει] S. τοὺς στρατιώτας, *de ea sustentat milites*, vel *ipse victitat cum suis*. Usurpatur enim hoc verbum et active et absolute, ut in Nicocle Isocrates: χρὴ τοὺς ὀρθῶς βασιλεύοντας, τὰς πόλεις ἐν ὁμονοίᾳ πειρᾶσθαι διάγειν. WOLF.

Οὐδὲν οὖν ἄλλο — μηδ' ὁτιοῦν ἐκείνῳ (Διοπείθει) διδόναι — συγκαταπραξαμένῳ] Perperam Reiskius in animo habebat, pluralem participiorum substituere δώσουσι — ποιήσασι — συγκαταπραξαμένοις, hoc sensu: *quasi futurum sit, ut, qui contribuere quicquam Diopithi velit, hujus suæ voluntatis sit pœnas daturus, nedum, si fecerit*. Qua de re nusquam sermo est. Contra Demosthenes jam p. 90. l. 14. ed. R. p. 95. l. 10. affirmabat, Athenienses etiam iis insidiari, quæ Diopithes aliquando facturus sit, eaque pœna notare. Huc spectant nostra verba. Quod si Athenienses tam stulte agunt, ut Diopithem etiam eorum pœna afficiant, quæ futuro tempore facturus esse censetur, non solum eorum, quæ vel solus fecit vel alios adjuvit: quis illi quidquam præstabit? Hæc est Demosthenis mens. BREM.

Ὡς καὶ τοῦ μελλῆσαι] Hoc est, περὶ ὧν φασὶ μέλλειν αὐτὸν ποιεῖν, ut supra dixit. WOLF.

Μή τί γε] Pro quo alias μὴ ὅτι, *nedum*. Pro συγκαταπραξαμένῳ, quod ad dativum ἐκείνῳ refertur, malim, ut Fel. habet, καταπραξαμένῳ. IDEM. Supple μή τί γε προλέγουσι διδόναι ἐκείνῳ ποιήσαντι. AUGER.

Τοῦτ' εἰσὶν οἱ λόγοι] Hoc est, τοῦτο δύνανται, quo verbo supra usus est. WOLF.

Τοὺς Ἕλληνας ἐκδίδωσι] Id est, licentiæ rapinæque militum, uti Augerus bene interpretatur. Quid enim est verisimilius, quam quod Diopithes, ad instar Charetis aliorumque, a re numaria laborans, a populis Asiæ maritimis pecuniam coegisset? cfr. quoque Dem. c. Aristocrat. 665. 25. ed. R. et Isocrat. Ep. ad Phil. t. i. p. 443. ed. Aug. *F. Jacobs*.

Μέλει γάρ τινι τούτων] Τῶν διαβαλλόντων Διοπείθην. WOLF.

Ἀμείνους κήδεσθαι] Ut Virgilius [Ecl. vii. 5.]

'Et cantare pares et respondere parati.'
IDEM.

Τῶν ἄλλων] Junge cum κήδεσθαι. AUGER.

Καὶ τό γε εἰς Ἑλλήσποντον] Εἰρωνείαν esse puto, quasi dicat: Egregiam vero sollicitudinem de Græcis. Diopithen, strenuum et fortunatum ducem, revocare volunt: alium ignavum et futilem illi successorem dare, qui evertat omnia. WOLF.

Ἕτερον στρατηγὸν] Interpretes mihi hunc locum parum recte intellexisse videntur. Non de muneris abrogatione hic sermo est (hanc ipsam Demosthenes vult, si Diopithes male fecisse convincatur); sed Diopithis adversarii alium ipsi addere volebant στρατηγὸν, ne, ut dicebant, Diopithes in damnum Atheniensium et Græcorum facere possit, quæ velit. Huc spectat nostra enuntiatio et p. 187. v. 2. δαπάναις καὶ τριήρεσι τοσαύταις ἡμᾶς αὐτοὺς φυλάττειν. Verba igitur sic intelligenda sunt: "Atque etiam quod insuper στρατηγὸν mitti volunt in Hellespontum, eodem spectat," scilicet, ut Diopithis potestati adversentur ejusque conamina irrita reddant. BREM.

Πινάκιον] Libellus est accusatorius, rei nomen et crimina continens, quem actor magistratui, apud quem scripta erat dica, tradere tenebatur. Cave autem putes tabellam intelligi, cui sententiæ judicum inscriptæ erant: *calculis* enim, non *tabellis*, utebantur Athenienses in sententiis ferendis. STOCK.

ταῦτα πάντα κωλῦσαι δύναιτ' ἄν, καὶ λέγουσιν οἱ νόμοι
97 ταῦτα, τοὺς ἀδικοῦντας εἰσαγγέλλειν, [1] οὐ μὰ Δία δαπάναις καὶ τριήρεσι τοσαύταις ἡμᾶς αὐτοὺς φυλάττειν, ἐπεὶ τοῦτό γ' ἐστὶν ὑπερβολὴ μανίας· ἀλλ' ἐπὶ μὲν τοὺς ἐχθρούς, οὓς οὐκ ἔστι λαβεῖν ὑπὸ τοῖς νόμοις, καὶ στρατιώτας τρέφειν καὶ τριήρεις ἐκπέμπειν καὶ χρήματα εἰσφέρειν
δεῖ καὶ ἀναγκαῖόν ἐστιν, ἐπὶ δ' ἡμᾶς αὐτοὺς ψήφισμα, 116
εἰσαγγελία, πάραλος, ταῦτ' ἐστὶν ἱκανά. ταῦτ' ἦν εὖ φρονούντων ἀνθρώπων, ἐπηρεαζόντων δὲ καὶ διαφθειρόντων τὰ πράγματα, ἃ νῦν οὗτοι ποιοῦσι.

η'. Καὶ τὸ μὲν τούτων τινὰς εἶναι τοιούτους δεινὸν ὂν οὐ δεινόν ἐστιν· ἀλλ' ὑμεῖς οἱ καθήμενοι οὕτως ἤδη διάκεισθε, ὥστε ἂν μέν τις εἴπῃ παρελθὼν ὅτι Διοπείθης ἐστὶ τῶν κακῶν [2] πάντων αἴτιος ἢ Χάρης ἢ Ἀριστοφῶν ἢ ὃν ἂν εἴπῃ τις τῶν πολιτῶν, εὐθέως φατὲ καὶ θορυβεῖτε ὡς ὀρθῶς λέγει· ἂν δὲ παρελθὼν λέγῃ τις τἀληθῆ, ὅτι Ληρεῖτε, ὦ ἄνδρες Ἀθηναῖοι· πάντων τῶν κακῶν καὶ τῶν πραγμάτων τούτων Φίλιππός ἐστιν αἴτιος· εἰ γὰρ ἐκεῖνος ἦγεν ἡσυχίαν, οὐδὲν ἂν ἦν πρᾶγμα τῇ πόλει· ὡς μὲν οὐκ ἀληθῆ ταῦτ' ἐστὶν οὐκ ἔχετε ἀντιλέγειν, ἄχθεσθαι δέ μοι δοκεῖτε καὶ ὥσπερ ἀπολλύναι τι νομίζειν. αἴτιον δὲ τούτων — καί μοι πρὸς θεῶν, ὅταν ἕνεκα τοῦ βελτίστου λέγω, ἔστω παῤῥη-

[1] οὐ μὰ δί' οὐ

[2] πάντων τῶν κακῶν

Ταῦτα — τοὺς] Τοὺς ἀδικοῦντας ταῦτα, &c. ne quem inversus ordo verborum turbet. Wolf.

Λέγουσιν] Id est, κελεύουσιν ἡμᾶς φυλάττειν αὐτούς, scilicet τοὺς ἀδικοῦντας. Idem.

Εἰσαγγέλλειν] Εἰσαγγελία fuit judicium, in magnis et publicis criminibus, in quo tum accusatio tum defensio viva voce peragebatur coram senatu, vel populo, vel interdum Archonte. *Ex edit.* Stock.

Πάραλος] Πάραλον sacram triremem fuisse scribit Suidas, tum ad alios publicos usus accommodatam: tum vero etiam ad duces peregre accersendos. Phavorinus a Paralo, quodam heroe, nominatam esse ait, et remiges ejus navis παράλους vocari. Vulgata Lexica (nescio quo auctore) addunt, fuisse judicia per tribus facta: quod is cui *tributa judicia* (sic enim Latine *tributa comitia* dicimus) displicent, is πάραλον *revocationem* interpretetur licet. Wolf. V. Petit. Comm. in Leg. Att. l. iii. t. ii. §. 30.

Πάραλος] Duæ fuerunt Atheniensibus naves sacræ, Salaminia et Paralus, quæ jussa populi deferebant; atque adeo imperatoribus, male rem gerentibus, inserviebant revocandis. Stock.

η'. Ἀριστοφῶν] Aristophon quidam una cum Diopithe iterum memoratur pro Cor. p. 248, 8. ed. R. Nomen multis Atheniensibus commune fuit. Lucchesinius eundem Azeniensem intelligi vult, qui Ol. xcii. 1. legationem obibat, quique Ol. cvi. 1. adhuc supererat. Vid. Æschin. c. Ctesiph. §. μδ'. et §. ξέ. et Ruhnk. Hist. Crit. Orat. Gr. 45. *F. Jacobs.*

Ὥσπερ ἀπολλύναι τι] Eum, qui verum dicat, rempublicam lædere. Et coargui se, et opinionem sibi præconceptam extorqueri, jacturam quandam esse putant. Teneri amant opiniones suas quam pecunias. Wolf. Ita construe: καὶ νομίζειν (αὐτὸν) ὥσπερ ἀπολλύναι τι. Auger.

σία·—· παρεσκευάκασιν ὑμᾶς ἐκ πολλοῦ τῶν πολιτευομέ-
νων ἔνιοι ἐν μὲν ταῖς ἐκκλησίαις φοβεροὺς καὶ χαλεπούς, ἐν
δὲ ταῖς παρασκευαῖς ταῖς τοῦ πολέμου ῥαθύμους καὶ εὐ-
καταφρονήτους. ἂν μὲν οὖν τὸν αἴτιον εἴπῃ τις ὃν ἴστε ὅτι
λήψεσθε παρ᾽ ὑμῖν αὐτοῖς, φατὲ καὶ βούλεσθε· ἂν δὲ
τοιοῦτον λέγῃ τις ὃν κρατήσαντας τοῖς ὅπλοις, ἄλλως δ᾽ 98
οὐκ ἔστι κολάσαι, οὐκ ἔχετ᾽, οἶμαι, τί ποιήσετε, ἐξελεγ-
χόμενοι δὲ ἄχθεσθε. ἐχρῆν [1] γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, τοὐ-
ναντίον ἢ νῦν, ἅπαντας τοὺς πολιτευομένους ἐν μὲν ταῖς
117 ἐκκλησίαις πράους καὶ φιλανθρώπους ὑμᾶς ἐθίζειν εἶναι·
πρὸς γὰρ ὑμᾶς αὐτοὺς καὶ τοὺς συμμάχους ἐν ταύταις
ἐστὶ τὰ δίκαια· ἐν δὲ ταῖς παρασκευαῖς ταῖς τοῦ πολέμου
φοβεροὺς καὶ χαλεποὺς ἐπιδεικνύναι· πρὸς γὰρ τοὺς ἐ-
χθροὺς καὶ τοὺς ἀντιπάλους ἐν ἐκείναις ἔσθ᾽ ὁ ἀγών. νῦν δὲ
δημαγωγοῦντες ὑμᾶς καὶ χαριζόμενοι καθ᾽ ὑπερβολὴν οὕ-
τω διατεθείκασιν, ὥστ᾽ ἐν μὲν ταῖς ἐκκλησίαις τρυφᾶν καὶ
κολακεύεσθαι πάντα πρὸς ἡδονὴν ἀκούοντας, ἐν δὲ τοῖς
πράγμασι καὶ τοῖς γιγνομένοις περὶ τῶν ἐσχάτων ἤδη
κινδυνεύειν.

θ΄. Φέρε γὰρ πρὸς Διός, εἰ λόγον ὑμᾶς ἀπαιτήσειαν οἱ Ἕλληνες ὧν νυνὶ [2] παρείκατε καιρῶν διὰ ῥαθυμίαν, καὶ [3] ἔροινθ᾽ ὑμᾶς, Ἄνδρες Ἀθηναῖοι, πέμπετε ὡς ἡμᾶς ἑκάστοτε πρέσβεις, καὶ λέγετε ὡς ἐπιβουλεύει Φίλιππος ἡμῖν καὶ ἅπασι τοῖς Ἕλλησι, καὶ ὡς φυλάττεσθαι δεῖ τὸν ἄνθρωπον — καὶ [4] πάντα τὰ τοιαῦτα ἀνάγκη φάσκειν καὶ ὁμολογεῖν· ποιοῦμεν γὰρ ταῦτα —. εἶτ᾽, ὦ πάντων ἀν-

[1] γὰρ] † δὲ [2] παρήκατε [3] * ἔροινθ᾽· ὑμεῖς
[4] ἅπαντα τὰ τοιαῦτα, * ἃ ἀνάγκη

Ἐκ πολλοῦ] S. χρόνου. Wolf.

Ὃν ἴστε ὅτι λήψεσθε] *Quem vos capturos scitis*, id est, si civis aliquis accusetur, qui vobis elabi non potest. Idem.

Ὃν κρατήσαντας τοῖς ὅπλοις] Sententia est: Philippum malorum omnium auctorem, non minis aut decretis, sed armis vincendum esse et puniendum. Idem.

Ἐχρῆν τοὺς πολιτευομένους ἐθίζειν ὑμᾶς εἶναι πράους, etc. et ἐπιδεικνύναι ὑμᾶς, etc.] Sic verba ordinanda sunt. M. ἀποδεικνύναι. Idem.

θ΄. Εἰ λόγον ὑμᾶς ἀπαιτήσειαν οἱ Ἕλληνες] Expugnata Olyntho, Athenienses tandem bellum Philippo indixere, et legationes miserunt, quæ singulas Græciæ civitates hortarentur ad arma cum iis consocianda. Hinc occasione sumpta, prosopopœiam hanc pulcherrimam instituit, in qua, citra offensionem increpat acerrime civium socordian et imprudentiam. *Ex edit.* Stock.

Ἀνάγκη φάσκειν] S. ἡμᾶς, *necesse erit, nos assentiri, et fateri*, legatos mitti a nobis. Wolf.

Ποιοῦμεν γὰρ ταῦτα] Est ambiguum, dicaturne μιμητικῶς, *facere nos*, an vero αἰτιολογικῶς, *facimus enim ita*. Quæ sequuntur, εἶτ᾽ ὦ πάντων, iterum sub persona sociorum dicuntur. Idem.

θρώπων φαυλότατοι, δέκα μῆνας ἀπογενομένου τἀνθρώπου
καὶ νόσῳ καὶ χειμῶνι καὶ πολέμοις ἀποληφθέντος, ὥστε
μὴ ἂν δύνασθαι ἐπανελθεῖν οἴκαδε, οὔτε τὴν Εὔβοιαν ἠλευ-
θερώσατε οὔτε τῶν ὑμετέρων αὐτῶν οὐδὲν ἐκομίσασθε, ἀλλ'
ἐκεῖνος μὲν ὑμῶν οἴκοι μενόντων, σχολὴν ἀγόντων, ὑγιαι-
99 νόντων (εἰ [1]δὴ τοὺς τὰ τοιαῦτα ποιοῦντας ὑγιαίνειν
[2]φήσαιεν) δύο ἐν Εὐβοίᾳ κατέστησε τυράννους, τὸν μὲν
ἀπαντικρὺ τῆς Ἀττικῆς ἐπιτειχίσας, τὸν δ' ἐπὶ Σκιάθῳ·
ὑμεῖς δ' οὐδὲ ταῦτ' ἀπελύσασθε, εἰ μηδὲν ἄλλο ἐβούλεσθε, 118
ἀλλ' εἰάκατε καὶ ἀφέστατε δῆλον ὅτι αὐτῷ, καὶ φανερὸν
πεποιήκατε ὅτι οὐδ' ἂν δεκάκις ἀποθάνῃ, οὐδὲν μᾶλλον
ὑμεῖς γε κινήσεσθε. τί οὖν πρεσβεύεσθε καὶ κατηγορεῖτε
καὶ πράγμαθ' ἡμῖν παρέχετε; ἂν ταῦτα λέγωσι, τί ἐροῦμεν
ἢ τί φήσομεν, ὦ ἄνδρες Ἀθηναῖοι; ἐγὼ μὲν γὰρ οὐχ ὁρῶ.

ί. Εἰσὶ τοίνυν τινὲς οἳ τότ' ἐξελέγχειν τὸν παριόντα οἴονται, ἐπειδὰν ἐρωτήσωσι τί οὖν χρὴ ποιεῖν; οἷς ἐγὼ μὲν τὸ δικαιότατον καὶ ἀληθέστατον τοῦτο ἀποκρινοῦμαι, ταῦτα μὴ ποιεῖν ἃ νυνὶ ποιεῖτε· οὐ μὴν ἀλλὰ καὶ καθ'

[1] δεῖ [2] φῆσαι) δύο μὲν ἐν

Ὑγιαίνειν] Correctio nascens e polysemia verbi, quod tam ad mentis integritatem, quam ad valetudinem corporis refertur, ὑγίεια καὶ νοῦς ἐσθλὰ τῷ βίῳ δύο. Idem.

Δύο ἐν Εὐβοίᾳ] Philistidem nempe Orei, et Clitarchum Eretriæ. Eretria spectabat Atticam: Oreum vero fuit e regione Sciathi, insulæ finitimæ in ditione Atheniensium. *Ex edit.* Stock. Vid. Phil. Γ. §. ζ'. et ιβ'.

Ἐπὶ Σκιάθῳ] Sciathus insula e regione Magnesiæ. Stephanus: Σκίαθος νῆσος Εὐβοίας, F. ἄντικρυς Εὐβοίας. Wolf. *Ad Sciathum*, ut Wolfius reddit. Hoc est, non *apud*, sed *adversus Sciathum*. Nam ἐπὶ Σκιάθῳ idem est ac ἐπιτειχίσας in eadem sententia. *Ex edit.* Stock.

Ὑμεῖς δ' — ἐβούλεσθε] *Vos autem ne hinc quidem vos expedivistis, si aliunde nolebatis.* π. Ῥοδ. ἐλευθ. p. 191. l. 9. ed. R. τὰς παρὰ τῶν διαβαλλόντων τὴν πόλιν ἡμῶν βλασφημίας ἔργῳ μετὰ δόξης καλῆς ἀπολυσάμενος. Sic intelligenda quæ Astius habet ad Plat. de Legg. I. 9. p. 56. Reiske conjectura infirmat orationem. Brem.

Ἀπήλασθαι] Ἀπελύσασθε ab ἀπολύω, vel ἀπηλάσασθε ab ἀπελαύνω, *repulistis, propulsastis.* Wolf.

Οὐδ' ἂν δεκάκις ἀποθάνῃ, οὐδὲν μᾶλλον ὑμεῖς γε κινήσεσθε] Enuntiatio plena gravitatis et ponderis in verbis eorumque collocatione. Negatio οὐδ', ut par est, collocatur ante conditionem; post conditionem illico sequitur negatio fortior, οὐδὲν μᾶλλον, ut augeatur negatio. Acerbum γε post ὑμεῖς vix quisquam non agnoscat: *homines quales vos estis.* Ignominiosum in κινεῖσθαι de hominibus, qui se movere non valent, nemo non animadvertit. — Negationis repetitio, quamquam interdum viris doctis invisa, non rara est. p. 99. l. pen. ed. R. οἶδε γὰρ ἀκριβῶς, ὅτι οὐδ' ἂν πάντων τῶν ἄλλων γένηται κύριος, οὐδὲν ἔστ' αὐτῷ βεβαίως ἔχειν. p. 119. l. 4. ἀλλ' οὐχ ὑπὲρ Φιλίππου καὶ ὧν ἐκεῖνος πράττει νῦν, οὐχ οὕτως ἔχουσιν. Cf. Erfurdt. ad Soph. Antig. edit. min. Addend. v. 5, 6. Brem.

Τί ἐροῦμεν ἢ τί φήσομεν;] Prius de justa excusatione, posterius de probabili causa dictum videtur. Φήσομεν futurum h. l. est verbi φάσκειν, quod propria significatione de eo adhibetur, qui dicit quæ præstare non potest. Idem.

ί. Τὸν παριόντα] *Progressum*, eum, qui concionaturus est; qui σύμβουλος, et συμβουλεύων, et λέγων, etsi pluraliter fere οἱ λέγοντες, ut et cætera participia, et δημή-

ἕκαστον ἀκριβῶς ἐρῶ. καὶ ὅπως, ὥσπερ ἐρωτῶσι προθύμως,
οὕτω καὶ ποιεῖν [1] ἐθελήσουσι! πρῶτον μέν, ὦ ἄνδρες Ἀθη-
ναῖοι, [2] τοῦτο παρ᾽ ὑμῖν αὐτοῖς βεβαίως γνῶναι, ὅτι τῇ
πόλει Φίλιππος πολεμεῖ καὶ τὴν εἰρήνην λέλυκε — καὶ
παύσασθε περὶ [3] τούτου κατηγοροῦντες ἀλλήλων — καὶ
κακόνους μέν ἐστι καὶ ἐχθρὸς ὅλῃ τῇ πόλει καὶ τῷ τῆς πό-
λεως ἐδάφει, προσθήσω δὲ καὶ τοῖς ἐν τῇ πόλει πᾶσιν ἀνθρώ-
ποις, καὶ τοῖς μάλιστ᾽ οἰομένοις αὐτῷ χαρίζεσθαι (εἰ δὲ μή,
σκεψάσθωσαν [4] Εὐθυκράτη καὶ Λασθένη τοὺς Ὀλυνθίους,
οἳ δοκοῦντες οἰκειότατ᾽ αὐτῷ διακεῖσθαι, ἐπειδὴ τὴν πόλιν
προὔδοσαν, πάντων κάκιστ᾽ ἀπολώλασιν), οὐδενὶ μέντοι
μᾶλλον ἢ τῇ πολιτείᾳ πολεμεῖ οὐδ᾽ ἐπιβουλεύει, καὶ σκο-
πεῖ μᾶλλον οὐδὲ ἓν τῶν πάντων ἢ ὅπως ταύτην [5] καταλύσει.
καὶ τοῦτ᾽ εἰκότως τρόπον [6] τινὰ πράττει· οἶδε γὰρ ἀκριβῶς
ὅτι οὐδ᾽ ἂν πάντων τῶν ἄλλων γένηται κύριος, οὐδὲν [7] ἔστ᾽ 100
119 αὐτῷ βεβαίως ἔχειν, ἕως ἂν ὑμεῖς δημοκρατῆσθε, ἀλλ᾽
ἐάν ποτε συμβῇ τι πταῖσμα, ἃ πολλὰ γένοιτ᾽ ἂν ἀν-
θρώπῳ, ἥξει πάντα τὰ νῦν συμβεβιασμένα καὶ καταφεύ-
ξεται πρὸς ὑμᾶς. ἐστὲ γὰρ ὑμεῖς οὐκ αὐτοὶ πλεονεκτῆσαι
καὶ κατασχεῖν ἀρχὴν εὖ πεφυκότες, ἀλλ᾽ ἕτερον λαβεῖν
κωλῦσαι καὶ ἔχοντ᾽ ἀφελέσθαι δεινοί, καὶ ὅλως ἐνοχλῆ-
σαι τοῖς ἄρχειν βουλομένοις καὶ πάντας ἀνθρώπους εἰς

[1] ἐθελήσωσι [2] τοῦτο * δεῖ παρ᾽ [3] τούτων [4] Εὐθυκράτην καὶ Λασθένην [5] καταλύσῃ [6] τινὰ νῦν γε δὴ πράττει [7] ἔσται

γορος et δημηγορῶν nominatur. Wolf.

Καὶ ὅπως ὥσπερ] *Et ut velint, modo velint.* ἐλλειπτικὸν est, ut subintelligatur ὁρᾶν χρὴ, vel πειρατέον: vel ὅπως ἐθελήσωσιν accipiendum pro ἐθελέτωσαν. Idem.

Καὶ ὅπως, ὥσπερ ἐρωτῶσι προθύμως, οὕτω καὶ ποιεῖν ἐθελήσουσι] Votum hoc est. Omittitur ante ὅπως, verbum, ut suppleat quisque quod possit aut velit. Oratorem animo votum concepisse, etiam infinitivus γνῶναι l. 3. ostendit. Hic enim in votis sæpe pro imperativo, ut aiunt, ponitur. Non igitur opus est verbo δεῖ, quod Reiskius post τοῦτο inseruit, et quod, nisi votum præcessisset, vix abesse posset in nostro scriptore. Brem.

Γνῶναι] Pendet a verbo χρή. etsi fortasse id non incommode repeteretur: χρὴ τοῦτο παρ᾽ ὑμῖν αὐτοῖς βεβαίως γνῶναι. Wolf.

Ἀπολώλασιν] Notum est dictum Philippi in Olynthi proditores, qui Macedones homines rusticos esse dicebat, quod scapham scapham nominarent, et ficum ficum. Idem.

Ἀπολώλασι] Propter ignominiam, ut opinor, de qua vide orationem falsæ legationis. Etsi nihil vetat, ac potius consentaneum est, eos exitio factis suis digno periise. Idem.

Ἂν γένηται] Non est δυνητικὸν ἄν, sed pro ἐὰν capitur, ut sæpe alias. Cave igitur, ne fallaris. Idem.

Γένοιτ᾽ ἀνθρώπῳ] L. γένοιτ᾽ ἂν ἀνθρώπῳ. Obsopœus.

Ἐνοχλῆσαι τοῖς ἄρχειν βουλομένοις] Quid sentiendum sit de Phavorini animadversione: Ἐνοχλῶ Ἀττικῶς συντάσσεται αἰτιατικῇ, κοινῶς δὲ δοτικῇ, apparet ex hoc aliisque Demosthenis locis. In universum dici potest, Atticos hoc verbum sæpius construere cum dativo, quam cum accusativo, sine significationis discrimine, opinor. Brem.

ἐλευθερίαν ἐξαφελέσθαι ἕτοιμοι. οὔκουν βούλεται τοῖς ἑαυτοῦ καιροῖς τὴν παρ' ὑμῶν ἐλευθερίαν ἐφεδρεύειν, οὐδὲ πολλοῦ δεῖ, οὐ κακῶς οὐδ' ἀργῶς ταῦτα λογιζόμενος.

ιά. Πρῶτον μὲν δὴ διὰ τοῦτο δεῖ ἐχθρὸν ὑπειληφέναι τῆς πολιτείας καὶ τῆς δημοκρατίας ἀδιάλλακτον ἐκεῖνον· εἰ γὰρ μὴ τοῦτο πεισθήσεσθε ταῖς ψυχαῖς, οὐκ ἐθελήσετε ὑπὲρ τῶν πραγμάτων σπουδάζειν· δεύτερον δ' εἰδέναι σαφῶς ὅτι πάνθ' ὅσα πραγματεύεται καὶ κατασκευάζεται νῦν, ἐπὶ τὴν ἡμετέραν πόλιν [1] παρασκευάζεται, καὶ ὅπου τις ἐκεῖνον ἀμύνεται, ἐνταῦθ' ὑπὲρ ἡμῶν ἀμυνεῖται. οὐ γὰρ οὕτω γ' εὐήθης ἐστὶν ὑμῶν οὐδείς, [2] ὃς ὑπολαμβάνει τὸν Φίλιππον τῶν μὲν ἐν Θρᾴκῃ κακῶν — τί γὰρ ἄλλο τις ἂν εἴποι Δρογγίλον καὶ Καβύλην καὶ Μάστειραν καὶ ἃ νῦν ἐξαιρεῖ καὶ κατασκευάζεται; — τούτων μὲν ἐπιθυμεῖν, καὶ ὑπὲρ τοῦ ταῦτα λαβεῖν καὶ πόνους καὶ χειμῶνας καὶ τοὺς ἐσχάτους κινδύνους ὑπομένειν, τῶν δὲ Ἀθήνῃσι λιμένων καὶ νεωρίων καὶ [3] τριήρων καὶ τῶν ἔργων τῶν ἀργυρείων καὶ τοσούτων προσόδων οὐκ ἐπιθυμεῖν, ἀλλὰ ταῦτα μὲν ἐάσειν [4] ὑμᾶς ἔχειν, ὑπὲρ δὲ τῶν
101 μελινῶν καὶ τῶν ὀλυρῶν τῶν ἐν τοῖς Θρᾳκίοις σιροῖς ἐν τῷ

[1] κατασκευάζεται [2] ὥστε ὑπολαμβάνειν [3] τριηρῶν [4] ὑμᾶς ἐάσειν

Οὐδὲ πολλοῦ δεῖ] S. λόγου. *neque multis est opus.* Alii interpretantur, quasi esset, πολλοῦ γε καὶ δεῖ, *multum certe abest.* Huic similem locutionem, οὐδ' ὀλίγου δεῖ, eodem modo intelligo, scilicet λόγου. *Ne paucis quidem verbis opus est*, hoc est, supervacaneum prorsus est, hac de re dicere. *Es bedarff nicht viel wort. Es bedarff nicht red.* [*There is no need of many words.*] Wolf. Ad οὐδὲ, sub. βούλεται, et intellige, οὐδὲ, πολλοῦ δεῖ, *non sane vult, multum abest.* Auger.

ιά. Δρογγίλον, καὶ Καβύλην, καὶ Μάστειραν] Fuere ignobiles in Thracia urbes, quarum Cabylem solum ab historicorum aliquo et a geographis memoratam vidi, distabatque triginta millia passuum ab ostio Ponti Euxini, ut est apud Stephanum. *Lucches.* Stock. Plerique Grammatici, h. l. l., in Thracia Drongilum ponunt; contra Stephanus Byz. in Thessalia, teste Theopompo. Cabyle forsan eadem est Thraciæ urbs, quæ apud Strabonem l. vii. p. 494. Calybe vocatur. Cum de Mastira denique sileat historia, leg. esse Βάστειραν, vel Πίστειραν, vel Ἐπίμαστον, quæ omnes memorantur urbes in lib. vii. Philippicæ historiæ Anaximenis, contendit Harpocratio. *F. Jacobs.*

Ἀργυρίων] F. ἀργυρείων. Taylor.

Τῶν ἔργων τῶν ἀργυρείων] Atheniensibus erant argentifodinæ apud montem Laurium in Attica. *Ex edit.* Stock.

Μελινῶν] Μελίνη, *semen leguminis.* Vide Harpocrationem in hoc verbum. Auger.

Ἐν τοῖς Θρᾳκίοις σιροῖς] De his Varro de re rustica, I. 57. ‘Quidam granaria habent sub terris, uti speluncas, quas vocant σειροὺς, ut in Cappadocia ac Thracia.’ Adde Q. Curtium, VII. 4. ‘Siros vocabant barbari: quos ita solerter abscondunt, ut nisi qui defoderunt, invenire non possint. In iis conditæ fruges erant.’ Stock. Cfr. Plin. l. xviii. c. 30. et Schneider. ad Varron. p. 372. *F. Jacobs.*

Ἐν τῷ βαράθρῳ] Locus Athenis, in quem præcipitabantur malefici, ut Sparte κεάδας, Romæ Scalæ Gemoniæ. Sic appellat Thracici cœli inclementiam per translationem, οἷον ἐν τῷ ὀλέθρῳ, perinde ac si *in peste* vel *interitu* dixisset, ut Suidas annotat. Wolf. Fuit proverbiale dicendi genus, ut arbitror, de iis dici solitum, qui in loco incommodo immorantur, et ad id etiam nos ducit Scholiastes, qui ἐν βαράθρῳ interpretatur metaphorice ἐν ὀλέθρῳ, *in pernicie.* Palmer. Caverna quædam fuit

120 βαράθρῳ χειμάζειν. οὐκ ἔστι ταῦτα, ἀλλὰ κἀκεῖνα ὑπὲρ τοῦ τούτων γενέσθαι κύριος καὶ τἆλλα πάντα πραγματεύεται. τί οὖν εὖ φρονούντων ἀνθρώπων ἐστίν; εἰδότας ταῦτα καὶ ἐγνωκότας τὴν μὲν ὑπερβάλλουσαν καὶ ἀνήκεστον ταύτην ῥᾳθυμίαν ἀποθέσθαι, χρήματα δ' εἰσφέρειν καὶ τοὺς συμμάχους ἀξιοῦν, καὶ ὅπως τὸ συνεστηκὸς τοῦτο συμμενεῖ στράτευμα ὁρᾶν καὶ πράττειν, ἵν' ὥσπερ ἐκεῖνος ἑτοίμην ἔχει δύναμιν τὴν ἀδικήσουσαν καὶ καταδουλωσομένην ἅπαντας τοὺς Ἕλληνας, [1] οὕτω τὴν σώσουσαν ὑμεῖς καὶ βοηθήσουσαν ἅπασιν ἑτοίμην ἔχητε. οὐ γάρ ἐστι βοηθείαις χρωμένους οὐδέποτ' οὐδὲν τῶν δεόντων πρᾶξαι, ἀλλὰ κατασκευάσαντας δεῖ δύναμιν, καὶ τροφὴν ταύτῃ πορίσαντας καὶ ταμίας καὶ δημοσίους, καὶ ὅπως ἔνι τὴν τῶν χρημάτων φυλακὴν ἀκριβεστάτην γενέσθαι, οὕτω ποιήσαντας, τὸν μὲν τῶν χρημάτων λόγον παρὰ τούτων λαμβάνειν, τὸν δὲ τῶν ἔργων παρὰ τοῦ στρατηγοῦ. κἂν οὕτω ποιήσητε καὶ ταῦτ' ἐθελήσητε ὡς ἀληθῶς, ἄγειν εἰρήνην δικαίαν καὶ μένειν ἐπὶ τῆς αὑτοῦ Φίλιππον ἀναγκάσετε, οὗ μεῖζον οὐδὲν ἂν γένοιτ' ἀγαθόν, ἢ πολεμήσετ' ἐξ ἴσου.

ιβ'. Εἰ δέ τῳ δοκεῖ ταῦτα καὶ δαπάνης μεγάλης καὶ πόνων πολλῶν καὶ πραγματείας εἶναι, καὶ μάλα ὀρθῶς δοκεῖ· ἀλλ' ἐὰν [2] λογίζηται τὰ τῇ πόλει μετὰ ταῦτα γενησόμενα, ἂν ταῦτα μὴ ἐθέλῃ ποιεῖν, εὑρήσει λυσιτελοῦν τὸ [3] ἑκόντας ποιεῖν τὰ δέοντα. εἰ μὲν γάρ ἐστί τις ἐγγυητὴς ὑμῖν θεῶν (οὐ γὰρ ἀνθρώπων γ' οὐδεὶς ἂν γένοιτο ἀξιόχρεως τηλικούτου πράγματος), ὡς ἂν ἄγηθ' ἡσυχίαν καὶ ἅπαντα πρόησθε, οὐκ ἐπ' αὐτοὺς ὑμᾶς τελευτῶν ἐκεῖνος

[1] οὕτω καὶ τὴν   [2] λογίσηται   [3] ἑκόντα

Athenis, in quam capitis damnatos præcipitabant. Animadvertit Interpres Gallicus, (nescio an non subtiliter magis, quam vere) metaphoram hancce non tantum Thracici inclementiam cœli depingere, verum etiam animos nostros ad Philippi, tanquam scelesti fœdissimo supplicio digni, considerationem traducere. Stock.

Βοηθείαις] Tumultuarium et subitarium exercitum ita vocat. Wolf.

ιβ'. Ἀλλ' ἐὰν λογίζηται (τὶς) τὰ τῇ πόλει — τὰ δέοντα] Sc. ἡμᾶς. Reiskius scripsit ἑκόντα, quod pejus est vulgato. Τὶς est τὶς ἡμῶν. Hunc oportet rem spectare ratione πάντων ἡμῶν et ea dicere, quæ cunctis sunt utilia. Hinc pluralis ἑκόντας aptus, immo necessarius est. Omnino post τὶς, quatenus generis vicem habet, sæpissime sequitur pluralis. Cf. Matthiæ Gr. Gr. p. 673. et Ern. Fr. Poppo Thucyd. P. I. p. 93. sqq. Brem.

Εἰ μὲν γάρ ἐστί τις] Malim εἴη. Wolf.

Τελευτῶν ἐκεῖνος ἥξει] *Tandem, denique,* participium per genera et numeros adver-

102 ἥξει, αἰσχρὸν μὲν νὴ τὸν Δία καὶ πάντας τοὺς θεούς!
καὶ ἀνάξιον ὑμῶν καὶ τῶν ὑπαρχόντων τῇ πόλει καὶ πε-
πραγμένων τοῖς προγόνοις, τῆς ἰδίας [1] ἕνεκεν ῥᾳθυμίας τοὺς 121
ἄλλους πάντας [2] Ἕλληνας εἰς δουλείαν προέσθαι, καὶ
ἔγωγε [3] αὐτὸς μὲν τεθνάναι μᾶλλον ἂν ἢ ταῦτ' εἰρηκέναι
βουλοίμην· οὐ μὴν ἀλλ' εἴ τις ἄλλος λέγει καὶ ὑμᾶς
πείθει, ἔστω, μὴ ἀμύνεσθε, ἅπαντα πρόεσθε. εἰ δὲ [4] μη-
δενὶ τοῦτο δοκεῖ, τοὐναντίον δὲ προΐσμεν ἅπαντες ὅτι ὅσῳ
ἂν πλειόνων ἐκεῖνον ἐάσωμεν γενέσθαι κύριον, τοσούτῳ
χαλεπωτέρῳ καὶ ἰσχυροτέρῳ χρησόμεθα ἐχθρῷ, ποῖ ἀνα-
δυόμεθα ἢ τί μέλλομεν; ἢ πότε, ὦ ἄνδρες Ἀθηναῖοι, τὰ
δέοντα ποιεῖν ἐθελήσομεν; ὅταν νὴ Δί' ἀνάγκη τις ᾖ;
ἀλλ' ἣν μὲν ἄν τις ἐλευθέρων ἀνθρώπων ἀνάγκην εἴποι, οὐ
μόνον ἤδη πάρεστιν, ἀλλὰ καὶ πάλαι παρελήλυθε· τὴν δὲ
τῶν δούλων ἀπεύχεσθαι δήπου μὴ γενέσθαι δεῖ. διαφέρει δὲ
τί; ὅτι ἔστιν ἐλευθέρῳ μὲν ἀνθρώπῳ μεγίστη ἀνάγκη ἡ
ὑπὲρ τῶν [5] γιγνομένων αἰσχύνη, καὶ μείζω ταύτης οὐκ οἶδ'
ἥν τιν' ἂν εἴποι τις· δούλῳ δὲ πληγαὶ καὶ ὁ τοῦ σώματος
αἰκισμός, ἃ μήτε γένοιτ' οὔτε λέγειν ἄξιον.

ιγ'. Πάντα τοίνυν τἄλλ' εἰπὼν ἂν ἡδέως, καὶ δείξας ὃν τρόπον ὑμᾶς ἔνιοι καταπολιτεύονται, τὰ μὲν ἄλλα ἐάσω· ἀλλ' ἐπειδάν τι τῶν πρὸς Φίλιππον ἐμπέσῃ, εὐθὺς ἀνα-

[1] † ἕνεκα [2] ἕλληνας ἅπαντας [3] αὐτὸς ἂν τεθνάναι μᾶλλον ἢ [4] μηδενὶ μὲν τοῦτο [5] πραγμάτων

bialiter sumptum. IDEM.

Καὶ τῶν ὑπαρχόντων τῇ πόλει] Τοῦ ἀξιώματος καὶ τῆς δυνάμεως τῆς πόλεως. Sunt enim τὰ ὑπάρχοντά τινι, ea omnia ornamenta et præsidia et facultates, quibus aliquis nititur: itidemque in malam partem incommoda et impedimenta omnia: etsi de his τὰ ἐνόντα, τουτέστι, τὰ δυνατὰ sæpius dicuntur. IDEM.

Ποῖ ἀναδυόμεθα] *Quo subterfugimus?* id est, quem receptum habituri sumus? Suidas ἀναδύομαι, φεύγω, ἀναβάλλομαι, μεταβουλεύω. Varinus: ῥᾳθυμῶν ὑπερτίθεμαι, προΐεμαι τὸν ἐπιτήδειον καιρὸν τῶν πράξεων, ἐνδύομαι, προανακρούομαι, μέλλω. IDEM.

Ποῖ ἀναδυόμεθα] Brachylogice dictum hoc sensu: *Quo nos vertamus, ut perniciem evitemus?* In ποῖ inest notio motus ad locum, in ἀναδύεσθαι id, ut in loco tuti simus. Ejusmodi constructiones in unum interdum confluunt: quod aliquando etiam viros offendebat, qui primi hoc subtilius tractarunt, ut Hermannum ad Eurip. Herc. F. v. 1148. ποῖ κακῶν ἐρημίαν εὕρω; Hermannus ποῦ. Vulgatam sic interpretor: *Quo me vertam, ut requiem inveniam?* BREM.

Ἀπεύχεσθαι] Respondet voci Latinæ *deprecari*, i. e. precari ne aliquid eveniat. Itaque abundant eæ quæ sequuntur voces μὴ γενέσθαι. AUGER.

Ἃ μήτε γένοιτ' οὔτε λέγειν ἄξιον] Notandum est μήτε cum optativo priore membro cum vi optandi, ne quid fiat, in altero οὔτε cum indicativo ἄξιον sc. ἐστί, cum vi affirmandi, aliquid non esse. Sensus hic est: Quemadmodum vehementer optandum, ne hoc fiat; sic indecorum vel de eo loqui. Simplex ὃ μὴ γένοιτο sæpe legitur. Cf. Astium ad Platonem de Legg. XI. 4. Addito etiam altero membro, in quo est οὐδὲ, legitur in Mid. p. 581. l. 22. ὃ μὴ γένοιτο, οὐδ' ἔσται. Vice versa habemus οὔτε — μήτε p. 106. l. 23. ἐγὼ δὲ θρασὺς

στάς τις λέγει τὸ τὴν εἰρήνην ἄγειν ὡς ἀγαθόν, καὶ τὸ τρέ-
φειν δύναμιν μεγάλην ὡς χαλεπόν, καὶ διαρπάζειν
τινὲς τὰ χρήματα βούλονται, καὶ τοιούτους λόγους,
ἐξ ὧν ἀναβάλλουσι μὲν ὑμᾶς, ἡσυχίαν δὲ ποιοῦσιν ἐκείνῳ
πράττειν [1] ὅ τι βούλεται. ἐκ δὲ τούτων περιγίγνεται ὑμῖν μὲν
ἡ σχολὴ καὶ τὸ μηδὲν ἤδη ποιεῖν, ἃ δέδοιχ᾽ ὅπως μή ποθ᾽ 103
[2] ἡγήσεσθε ἐπὶ πολλῷ γεγενῆσθαι, τούτοις δὲ αἱ χάριτες
122 καὶ ὁ μισθὸς ὁ τούτων. ἐγὼ δ᾽ οἴομαι τὴν μὲν εἰρήνην ἄγειν
οὐχ ὑμᾶς δεῖν πείθειν, οἳ πεπεισμένοι κάθησθε, ἀλλὰ τὸν
τὰ τοῦ πολέμου πράττοντα· ἂν γὰρ ἐκεῖνος πεισθῇ, τά γ᾽
ἀφ᾽ ὑμῶν ἕτοιμα ὑπάρχει· νομίζειν δ᾽ εἶναι χαλεπὰ οὐχ
ὅσ᾽ ἂν εἰς σωτηρίαν δαπανῶμεν, ἀλλ᾽ ἃ πεισόμεθα, ἂν
ταῦτα μὴ ἐθέλωμεν ποιεῖν· καὶ τὸ διαρπασθήσεται τὰ
χρήματα τῷ φυλακὴν εἰπεῖν, δι᾽ ἧς σωθήσεται, κωλύειν,
οὐχὶ τῷ τοῦ συμφέροντος ἀφεστάναι. καίτοι ἔγωγ᾽ ἀγανα-
κτῶ καὶ αὐτὸ τοῦτο, ὦ ἄνδρες Ἀθηναῖοι, εἰ τὰ μὲν χρή-
ματα λυπεῖ τινὰς ὑμῶν, εἰ διαρπασθήσεται, ἃ καὶ φυλάτ-
τειν καὶ κολάζειν τοὺς ἀδικοῦντας ἐφ᾽ ὑμῖν ἐστί· τὴν δὲ
Ἑλλάδα πᾶσαν ἐφεξῆς οὑτωσὶ Φίλιππος ἁρπάζων οὐ λυ-
πεῖ, καὶ ταῦτ᾽ ἐφ᾽ ὑμᾶς ἁρπάζων.

ιδ΄. Τί ποτ᾽ οὖν ἐστὶ τὸ αἴτιον, ὦ ἄνδρες Ἀθηναῖοι, τοῦ

[1] ὅ,τι καὶ βούλεται

[2] † ἡγήσησθε

μὲν — — οὔτ᾽ εἰμὶ μήτε γενοίμην. Brem.

ιγ΄. Καὶ τοιούτους λόγους] Subaudi λέγει, vel λέγουσι: nam orator abrupte transit a singulari numero ad pluralem. Auger.

Ἐξ ὧν ἀναβάλλουσι μὲν ὑμᾶς] Ὀκνεῖν καὶ ἀναδύεσθαι ποιοῦσι, καὶ τῶν καιρῶν ὑστερεῖν. Wolf. V. Paul. Leopard. Emend. l. xi. c. 2. Grut. Thes. Crit. vol. iii. p. 217.

Ἐπὶ πολλῷ] S. τόκῳ, ut in Olynth. I. Wolf. Vel διαφόρῳ, *multo fœnore* vel *detrimento*. Auger.

Αἱ χάριτες] S. Παρ᾽ ὑμῶν. Wolf.

Ὁ μισθὸς] Παρὰ Φιλίππου. Idem.

Ὁ τούτων] S. Τῶν λόγων, id est, διὰ τούτους. Idem.

Κωλύειν] Pendet a verbis οἴμαι δεῖν. Idem.

ιδ΄. Τί ποτ᾽ οὖν ἐστὶ τὸ αἴτιον — πόλεμον ποιεῖ;] Verba dicendi λέγειν, εἰπεῖν etc. interdum construuntur cum accusativo personæ, loco genitivi cum περί. Est etiam sic attractio, dum, quod subjectum enuntiationis pendentis esse oportet, fit objectum ad verbum, unde illa enuntiatio pendet: τὸν ἀδικοῦντα εἰπεῖν ὡς ἀδικεῖ pro εἰπεῖν, ὡς ὁ ἀδικῶν ἀδικεῖ. Sed ista attractio eo nititur, quod εἰπεῖν cum accusativo personæ construi potest. Non igitur intelligo, cur Matthiæ Gr. Gr. p. 559. Dawesium vituperaverit, qui ejusmodi loca in eorum numero ponebat, in quibus εἰπεῖν cum duplici accusativo constructum sit. Accusativum personæ reapse habemus; locum accusativi rei tenet ὡς cum verbo. Ceterum animadvertendum est, in priore membro tres esse determinationes, in altero duas; quarum una πόλεμον ποιεῖ duas scilicet prioris enuntiationis continet, στρατεύοντα, πόλεις καταλαμβάνοντα. Novum est, quod latius patens ἀδικοῦντα utrique intersertum est. Τούτων minime cum Reiskio mutaverim in τοῦτον. Notat enim Demosthenes Philippi clientes pronomine οὗτος; quod in contemptum adhibetur. Neque id mirandum, quod in altero membro sequitur τοὺς δὲ —συμβουλεύοντας, τούτους, quum desit pronomen in primo; etenim secundum

τὸν μὲν οὕτω φανερῶς στρατεύοντα, ἀδικοῦντα, πόλεις κατα-
λαμβάνοντα μηδένα πώποτε [1] τούτων εἰπεῖν ὡς ἀδικεῖ καὶ
πόλεμον ποιεῖ, τοὺς δὲ μὴ ἐπιτρέπειν μηδὲ προΐεσθαι ταῦτα
συμβουλεύοντας, τούτους τὸν πόλεμον ποιεῖν αἰτιᾶσθαι; ἐγὼ
διδάξω· ὅτι τὴν ὀργὴν ἣν εἰκός ἐστι [2] γενέσθαι παρ' ὑμῶν, ἂν
τι λυπῆσθε τῷ πολέμῳ, εἰς τοὺς ὑπὲρ ὑμῶν λέγοντας τὰ
βέλτιστα τρέψαι βούλονται, ἵνα τούτους κρίνητε, μὴ Φίλιπ-
πον ἀμύνησθε, καὶ κατηγορῶσι μέν, αὐτοὶ δὲ μὴ δίκην δῶσιν
ὧν ποιοῦσι νῦν. τοῦτ' αὐτοῖς δύναται τὸ λέγειν ὡς ἄρα βού-
λονταί πόλεμόν τινες ποιῆσαι παρ' ὑμῖν, καὶ περὶ [3] τούτου ἡ
104 διαδικασία αὕτη ἐστίν. ἐγὼ δ' οἶδα ἀκριβῶς ὅτι οὐ γράψαν-
τος Ἀθηναίων οὐδενὸς πόλεμον καὶ ἄλλα πολλὰ Φίλιππος
ἔχει τῶν τῆς πόλεως καὶ νῦν εἰς Καρδίαν πέπομφε βοήθειαν.
εἰ μέντοι βουλόμεθ' ἡμεῖς μὴ προσποιεῖσθαι πολεμεῖν αὐτὸν
ἡμῖν, ἀνοητότατος πάντων ἂν εἴη τῶν ὄντων ἀνθρώπων εἰ 123
τοῦτ' ἐξελέγχοι. ἀλλ' ἐπειδὰν [4] ἐπ' αὐτοὺς ἡμᾶς ἴῃ, τί φήσο-
μεν [5] [τότε]; ἐκεῖνος μὲν γὰρ οὐ πολεμεῖν [6] ἡμῖν, ὥσπερ οὐδ'
Ὠρείταις τῶν στρατιωτῶν ὄντων ἐν τῇ χώρᾳ, οὐδὲ Φεραίοις
πρότερον πρὶν ἢ πρὸς τὰ τείχη προσβαλεῖν αὐτῶν, οὐδ'
Ὀλυνθίοις ἐξ ἀρχῆς, ἕως ἐν αὐτῇ τῇ χώρᾳ τὸ στράτευμα
παρῆν ἔχων. ἢ καὶ τότε τοὺς ἀμύνεσθαι κελεύοντας πόλε-
μον ποιεῖν φήσομεν; οὐκοῦν ὑπόλοιπον δουλεύειν· οὐ γὰρ
ἄλλο γ' οὐδέν ἐστι μεταξὺ τοῦ μήτ' ἀμύνεσθαι μήτ' ἄγειν
ἡσυχίαν ἐᾶσθαι. καὶ μὴν οὐχ ὑπὲρ τῶν ἴσων ὑμῖν τε καὶ τοῖς

[1] * τοῦτον [2] γίγνεσθαι [3] τούτων [4] ἐφ' ἡμᾶς αὐτοὺς [5] Absunt unci. [6] ἡμῖν ἐρεῖ, ὥσπερ

membrum imprimis evehendum.—In seqq. post αἰτιᾶσθαι supplendum πάντας, quod ex antecedente μηδένα intelligendum, minime vero cum Reiskio addendum est. Sæpe enim contrarium ex eo, quod adest, supplendum. Isocrates Symmach. 46. οὐδὲ γὰρ ἄλλη τῶν πόλεων οὐδεμία τολμήσει περὶ αὐτοὺς ἐξαμαρτάνειν, ἀλλ' ὀκνήσουσι sc. πᾶσαι. Plato de rep. II. p. 366. D. οὐδεὶς ἑκὼν δίκαιος, ἀλλ' ὑπὸ ἀνανδρίας ἢ γήρως ἤ τινος ἄλλης ἀσθενείας ψέγει τὸ ἀδικεῖν, ubi ex οὐδεὶς ad ψέγει petendum ἕκαστος. BREM.

Μηδένα] *Nullum*, np. eorum quorum modo mentio facta est. AUGER.

Τοῦτον εἰπεῖν ὡς ἀδικεῖ] Pro εἰπεῖν ὅτι οὗτος ἀδικεῖ. WOLF.

Ἵνα τούτους κρίνητε] Ut defensores vestrorum commodorum, apud vos accusati, periclitentur, capitis periculum adeant. IDEM.

Ἡ διαδικασία] *Disceptatio, intercessio:* sic appellare videtur criminationes proditorum, Philippi commoda propugnantium. Hesychius: ἀμφισβήτησις, κρίσις, ἐπίκρισις τοῦ ἐπιτηδείου πρὸς λειτουργίαν, καὶ πρὸς τὰ ἄλλα. IDEM.

Οὐ γράψαντος] Ὅτε οὐκ ἔγραψε. IDEM.

Εἰ μὲν τοίνυν βουλόμεθ' ἡμεῖς μὴ προσποιεῖσθαι] Id est, *non simulare*, hoc est, *dissimulare.* sic Æschines κατὰ Κτησιφ. ἐὰν δὲ μὴ προσποιῆται ὑμᾶς ἀκούειν, *quod si verba hæc vestra audire se dissimulet.* Simile est huic οὐκ ἀξιῶ, pro *indignum censeo*, &c. *Ex edit.* HERVAG.

Εἰ τοῦτ' ἐξελέγχοι] Hoc est, si, nostra de pace opinione refutata, palam profite_

ἄλλοις ἔσθ᾽ ὁ κίνδυνος· οὐ γὰρ ὑφ᾽ αὑτῷ τὴν πόλιν ποιήσασθαι βούλεται Φίλιππος, ἀλλ᾽ ὅλως ἀνελεῖν. οἶδε γὰρ ἀκριβῶς ὅτι δουλεύειν μὲν ὑμεῖς οὔτ᾽ ἐθελήσετε οὔτ᾽, ἂν ἐθελήσητε, [1] ἐπιστήσεσθε· ἄρχειν γὰρ εἰώθατε· πράγματα δ᾽ αὐτῷ παρασχεῖν, ἂν καιρὸν λάβητε, πλείω τῶν ἄλλων ἀνθρώπων ἁπάντων δυνήσεσθε.

ιέ. Ὡς οὖν ὑπὲρ τῶν ἐσχάτων ὄντος τοῦ ἀγῶνος προσήκει οὕτω γιγνώσκειν, καὶ τοὺς πεπρακότας αὑτοὺς ἐκείνῳ [2] μισεῖν καὶ ἀποτυμπανίσαι. οὐ γάρ ἐστιν, οὐκ ἔστι τῶν ἔξω τῆς πόλεως ἐχθρῶν κρατῆσαι, πρὶν ἂν τοὺς ἐν αὐτῇ τῇ πόλει κολάσητ᾽ ἐχθροὺς ὑπηρετοῦντας ἐκείνῳ, ἀλλ᾽ ἀνάγκη τούτοις ὥςπερ προβόλοις προσπταίοντας ὑστερίζειν ἐκείνων.
πόθεν γὰρ οἴεσθε νῦν αὐτὸν [3] ὑβρίζειν ὑμᾶς — οὐδὲν γὰρ 105
ἄλλο ἔμοιγε δοκεῖ ποιεῖν ἢ τοῦτο — καὶ τοὺς μὲν ἄλλους
εὖ ποιοῦντα, εἰ μηδὲν ἄλλο, ἐξαπατᾷν, ὑμῖν δ᾽ ἀπειλεῖν
ἤδη; οἷον Θετταλοὺς πολλὰ δοὺς ὑπηγάγετο εἰς τὴν νῦν
παροῦσαν δουλείαν· οὐδ᾽ ἂν εἰπεῖν δύναιτ᾽ οὐδείς, ὅσα τοὺς
ταλαιπώρους Ὀλυνθίους πρότερον δοὺς Ποτίδαιαν [4] ἐξηπάτησε καὶ πόλλ᾽ ἕτερα· Θηβαίους [5] τὰ νῦν ὑπάγεται τὴν
Βοιωτίαν αὐτοῖς παραδοὺς καὶ ἀπαλλάξας πολέμου πολ-
124 λοῦ καὶ χαλεποῦ, ὥστε καρπωσάμενοί τινα ἕκαστοι τούτων πλεονεξίαν οἱ μὲν ἤδη πεπόνθασιν ἃ δὴ πάντες ἴσασιν, οἱ δ᾽ ὅ τι ἄν ποτε συμβῇ πείσονται. ὑμεῖς δὲ ὧν μὲν ἀπεστέρησθε, σιωπῶ· ἀλλ᾽ ἐν αὐτῷ τῷ τὴν εἰρήνην ποιήσασθαι πόσα ἐξηπάτησθε! πόσων ἀπεστέρησθε! οὐχὶ Φωκέας, οὐ Πύλας, οὐχὶ τὰ ἐπὶ Θρᾴκης, Δορίσκον, Σέῤῥιον, τὸν Κερσοβλέπτην αὐτόν, οὐ νῦν τὴν πόλιν τὴν Καρδιανῶν ἔχει καὶ ὁμολογεῖ; τί ποτ᾽ οὖν ἐκείνως τοῖς ἄλλοις καὶ οὐ τὸν

[1] ἐπίστασθε [2] μισεῖν τε καὶ [3] ὑβρίζειν εἰς ὑμᾶς [4] ἐξηπάτησε, Ποτίδαιαν, [5] Deest articulus.

retur, se bellum nobis intulisse. Wolf.

ιέ. Προβόλοις] Πρόβολοι, juxta Harpocrationem, sunt scopuli incumbentes in mare, et quædam veluti litora. Auger.

Εἰ μηδὲν ἄλλο, ἐξαπατᾷν] *Si nihil aliud, decipere:* si non evertit, decipit tamen. Wolf.

Καὶ πολλ᾽ ἕτερα] Nimirum δούς. Auger.

Πολέμου πολλοῦ] Phocense seu sacrum intelligendum. πολλοῦ, ἀντὶ τοῦ, μακροῦ. Wolf.

Οἱ δ᾽ ὅ,τι ἄν ποτε συμβῇ, πείσονται] Id est, non dubium est, quin eos male tractaturus sit: quo autem modo, id est incertum. Idem.

Κερσοβλέπτην αὐτὸν] Qui, postquam anno 4. Olymp. 106. Chersonesum in Atheniensium fidem dederat, et socius pop. Ath. nominatus fuerat, tandem anno 2. Olymp. 108. sub Philippi ditionem venit, eique vectigal pendere coactus est. Stock. Vid. Dem. Or. pro Cor. §. ί. et de fals. leg. §. μζ. et Diodor. Sic. l. xvi. c. 71.

αὐτὸν τρόπον ὑμῖν προσφέρεται; ὅτι ἐν μόνῃ τῶν πασῶν
πόλεων τῇ [1] ὑμετέρᾳ ἄδεια ὑπὲρ τῶν ἐχθρῶν λέγειν δέδοται,
καὶ λαβόντα χρήματ᾽ αὐτὸν ἀσφαλές ἐστι λέγειν παρ᾽
ὑμῖν, κἂν ἀφῃρημένοι τὰ ὑμέτερα αὐτῶν ἦτε. οὐκ ἦν ἀσ-
φαλὲς λέγειν ἐν Ὀλύνθῳ τὰ Φιλίππου, μὴ συνευπεπον-
θότων τῶν πολλῶν Ὀλυνθίων τῷ Ποτίδαιαν καρποῦσθαι·
οὐκ ἦν ἀσφαλὲς λέγειν ἐν Θετταλίᾳ τὰ Φιλίππου, μὴ
συνευπεπονθότος τοῦ πλήθους τοῦ Θετταλῶν τῷ τοὺς
τυράννους ἐκβαλεῖν Φίλιππον αὐτοῖς καὶ τὴν Πυλαίαν
ἀποδοῦναι· οὐκ ἦν ἐν Θήβαις ἀσφαλές, πρὶν τὴν Βοιωτίαν
106 ἀπέδωκε καὶ τοὺς Φωκέας ἀνεῖλεν. ἀλλ᾽ Ἀθήνησιν οὐ
μόνον Ἀμφίπολιν καὶ τὴν Καρδιανῶν χώραν ἀπεστερηκότος
Φιλίππου, ἀλλὰ καὶ κατασκευάζοντος ὑμῖν ἐπιτείχισμα
τὴν Εὔβοιαν καὶ νῦν ἐπὶ Βυζάντιον παριόντος ἀσφαλές
ἐστι λέγειν ὑπὲρ Φιλίππου. τοιγάρτοι τούτων μὲν ἐκ πτω-
χῶν ἔνιοι ταχὺ πλούσιοι [2] γίγνονται καὶ ἐξ ἀνωνύμων καὶ
ἀδόξων ἔνδοξοι καὶ γνώριμοι, ὑμεῖς δὲ τοὐναντίον ἐκ μὲν
ἐνδόξων ἄδοξοι, ἐκ δ᾽ εὐπόρων ἄποροι· πόλεως γὰρ ἔγωγε
πλοῦτον ἡγοῦμαι συμμάχους, πίστιν, εὔνοιαν, ὧν ἁπάν-
των ἔσθ᾽ ὑμεῖς ἄποροι. ἐκ δὲ τοῦ τούτων ὀλιγώρως ὑμᾶς
ἔχειν καὶ ἐᾶν ταῦτα φέρεσθαι ὁ μὲν εὐδαίμων καὶ μέγας
καὶ φοβερὸς πᾶσιν Ἕλλησι καὶ βαρβάροις γέγονεν, ὑμεῖς 125
δ᾽ ἔρημοι καὶ ταπεινοί, τῇ μὲν τῶν ὠνίων ἀφθονίᾳ λαμπροί,
τῇ δ᾽ ὧν προσῆκε παρασκευῇ καταγέλαστοι.

ιϛ´. Οὐ τὸν αὐτὸν δὲ τρόπον περί τε ὑμῶν καὶ περὶ αὐτῶν ἐνίους τῶν λεγόντων ὁρῶ βουλευομένους· ὑμᾶς μὲν γὰρ ἡσυχίαν ἄγειν φασὶ δεῖν, κἄν τις ὑμᾶς ἀδικῇ, αὐτοὶ δ᾽ οὐ δύνανται παρ᾽ ὑμῖν ἡσυχίαν ἄγειν οὐδενὸς αὐτοὺς ἀδικοῦντος. εἶτά φησιν ὃς ἂν τύχῃ παρελθών, Οὐ γὰρ ἐθέλεις γράφειν οὐδὲ κινδυνεύειν, ἀλλ᾽ ἄτολμος εἶ καὶ μαλακός.

[1] ἡμετέρᾳ   [2] † γεγόνασι

Οὐκ ἦν ἀσφαλὲς] Fortassis οὐκ ἂν ἦν, *non fuisset*. συνευπεπονθότων, id est, εἰ μὴ συνεπεπόνθεισαν. sed potest etiam simpliciter intelligi. *Non fuit tutum, priusquam*, &c. καίτοι τῆς ὑποθετικῆς φράσεως τὸ δυνητικὸν μόριον ἀπαιτεῖν δοκούσης. WOLF.

Καὶ ἐᾶν τούτων στέρεσθαι] S. ὑμᾶς. Annotatum est legi, καὶ ἐᾶν ταῦτα φέρεσθαι, S. τὸν Φίλιππον, ἤ, φέρεσθαι ταῦτα κατὰ ῥοῦν καὶ μὴ κωλύειν. IDEM.

Φέρεσθαι] i. e. Οἴχεσθαι, ἀπιέναι. Ταῦτα intellige τὰ κοινὰ πράγματα. AUGER.

Τῇ μὲν τῶν ὠνίων] Vilitatem annonæ et copiam intelligo, quæ populo gratior est, quam decus et laus. Sic Cicero: ‘Nihil prorsus aliud curant, nisi agros, nisi villulas, nisi numulos suos.’ WOLF.

ἐγὼ δὲ θρασὺς μὲν καὶ βδελυρὸς καὶ ἀναιδὴς οὔτ᾽ εἰμὶ μήτε γενοίμην, ἀνδρειότερον μέντοι πολλῷ πάνυ τῶν ἰταμῶς πολιτευομένων παρ᾽ ὑμῖν ἐμαυτὸν ἡγοῦμαι. ὅστις μὲν γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, παριδὼν ἃ συνοίσει τῇ πόλει, κρίνει, δημεύει, δίδωσι, κατηγορεῖ, οὐδεμιᾷ ταῦτ᾽ ἀνδρίᾳ ποιεῖ, ἀλλ᾽ ἔχων ἐνέχυρον τῆς αὑτοῦ σωτηρίας τὸ πρὸς χάριν ὑμῖν λέγειν
καὶ πολιτεύεσθαι ἀσφαλῶς θρασύς ἐστιν· ὅστις δ᾽ ὑπὲρ τοῦ 107
βελτίστου πολλὰ τοῖς ὑμετέροις ἐναντιοῦται βουλήμασι, καὶ μηδὲν λέγει πρὸς χάριν ἀλλὰ τὸ βέλτιστον ἀεί, καὶ τὴν τοιαύτην πολιτείαν προαιρεῖται ἐν ᾗ πλειόνων ἡ τύχη κυρία γίγνεται ἢ οἱ λογισμοί, τούτων δ᾽ ἀμφοτέρων ἑαυτὸν [1] ὑπεύθυνον ὑμῖν παρέχει, οὗτός ἐστ᾽ ἀνδρεῖος, καὶ χρήσιμός γε πολίτης ὁ τοιοῦτός ἐστιν, οὐχ οἱ τῆς παρ᾽ ἡμέραν χάριτος τὰ μέγιστα τῆς πόλεως ἀπολωλεκότες, οὓς ἐγὼ τοσούτου δέω ζηλοῦν ἢ νομίζειν ἀξίους πολίτας τῆς πόλεως εἶναι, ὥστ᾽ εἴ τις ἔροιτό με Εἰπέ μοι, σὺ δὲ δὴ τί τὴν πόλιν ἡμῖν ἀγαθὸν πεποίηκας; ἔχων, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ τριηραρχίας εἰπεῖν καὶ χορηγίας καὶ χρημάτων εἰσφορὰς καὶ λύσεις αἰχμαλώτων καὶ τοιαύτας ἄλλας φιλανθρωπίας, οὐδὲν ἂν τούτων εἴποιμι, ἀλλ᾽ ὅτι τῶν τοιούτων πολιτευμάτων οὐδὲν πεπολίτευμαι, ἀλλὰ δυνάμενος ἂν ἴσως,
126 ὥσπερ καὶ ἕτεροι, κατηγορεῖν καὶ χαρίζεσθαι καὶ δημεύειν καὶ τἄλλ᾽ ἃ ποιοῦσιν οὗτοι ποιεῖν, οὐδ᾽ ἐφ᾽ ἓν τούτων πώποτ᾽ ἐμαυτὸν ἔταξα οὐδὲ προήχθην οὔθ᾽ ὑπὸ κέρδους οὔθ᾽ ὑπὸ φιλοτιμίας, ἀλλὰ διαμένω λέγων ἐξ ὧν ἐγὼ μὲν πολλῶν ἐλάττων εἰμὶ παρ᾽ ὑμῖν, ὑμεῖς δέ, εἰ πείθοισθέ μοι, μείζους ἂν εἴητε· οὕτω γὰρ ἂν ἴσως ἀνεπίφθονον εἰπεῖν. οὐδέ γ᾽ ἐμοὶ δοκεῖ δικαίου τοῦτ᾽ εἶναι πολίτου, τοι-

[1] ὑπεύθυνον ὑμῖν ἑαυτὸν

ις΄. Τούτων δ᾽ ἀμφοτέρων] Τῆς τε τύχης καὶ τῶν λογισμῶν. IDEM.

Οὗτός ἐστ᾽ — τοιοῦτός ἐστιν] De elegantia hujus repetitionis voc. ἐστὶ, cfr. D'Orville ad Char. Aphrod. l. ii. c. vii. p. 201.

Τῆς χάριτος] Sub. ἕνεκα. AUGER.

Ἀπολωλεκότες] In ἀποδεδωκότες esse mutandum nequaquam dubito: nam ita longe venustius totum hoc est futurum. Adversarios enim inquit, diurnam ut consequantur gratiam, totam rempub. prodere. *G. Canter. Nov. Lectt.* l. viii. c. 2. p. 681. vol. iii. *Grut. Thes. Crit.*

Λύσεις αἰχμαλώτων] Civium aliquot sua pecunia se redemisse testatur Demosthenes in orat. de fals. leg. [§. ξς΄. et pro Cor. §. πά. et ϟγ΄. et c. Mid. §. μγ΄. μδ΄.] Nam cum primo legatus de pace in Macedoniam perrexit, quibusdam captivis Atheniensibus recepit se cum pretio rediturum, ut eos vinculis eximeret: idcirco secundam obiisse legationem dicit, ut fidem suam liberaret. *Lucches.* STOCK.

αὔτα πολιτεύμαθ' εὑρίσκειν, ἐξ ὧν ἐγὼ μὲν πρῶτος ὑμῶν
ἔσομαι εὐθέως, ὑμεῖς δὲ τῶν ἄλλων ὕστατοι· ἀλλὰ συναυ-
ξάνεσθαι δεῖ τὴν πόλιν τοῖς τῶν ἀγαθῶν πολιτῶν πολιτεύ-
μασι, καὶ τὸ βέλτιστον ἀεί, μὴ τὸ ῥᾷστον ἅπαντας λέγειν·
108 ἐπ' ἐκεῖνο μὲν γὰρ ἡ φύσις αὐτὴ βαδιεῖται, ἐπὶ τοῦτο δὲ
τῷ λόγῳ δεῖ προάγεσθαι διδάσκοντα τὸν ἀγαθὸν πολίτην.

ιζ'. Ἤδη τοίνυν τινὸς ἤκουσα καὶ τοιοῦτόν τι λέγοντος,
ὡς ἄρα ἐγὼ λέγω μὲν ἀεὶ τὰ βέλτιστα, ἔστι δ' οὐδὲν [1]ἀλλ'
ἢ λόγοι τὰ παρ' ἐμοῦ, δεῖ δ' ἔργων τῇ πόλει καὶ πράξεώς
τινος. ἐγὼ δ' ὡς ἔχω περὶ τούτων, λέξω πρὸς ὑμᾶς καὶ
οὐκ ἀποκρύψομαι. [2]οὐδ' εἶναι νομίζω τοῦ συμβουλεύοντος
ὑμῖν ἔργον οὐδὲν πλὴν εἰπεῖν τὰ βέλτιστα. καὶ τοῦθ' ὅτι
τοῦτον ἔχει τὸν τρόπον, ῥᾳδίως οἴομαι δείξειν. ἴστε γὰρ δή
που τοῦθ', ὅτι Τιμόθεός ποτ' ἐκεῖνος ἐν ὑμῖν ἐδημηγόρησεν,
ὡς δεῖ βοηθεῖν καὶ τοὺς Εὐβοέας σώζειν, ὅτε Θηβαῖοι κατε-
δουλοῦντο αὐτούς. καὶ λέγων εἶπεν οὕτω πως· Εἰπέ μοι,
βουλεύεσθε, ἔφη, Θηβαίους ἔχοντες ἐν νήσῳ, τί χρήσεσθε
καὶ τί δεῖ ποιεῖν; οὐκ ἐμπλήσετε τὴν θάλατταν, ὦ ἄν-
δρες Ἀθηναῖοι, [3]τριήρων; οὐκ ἀναστάντες ἤδη πορεύσεσθε
εἰς τὸν Πειραιᾶ; οὐ καθέλξετε τὰς ναῦς; οὐκοῦν εἶπε μὲν
ταῦτα ὁ Τιμόθεος, ἐποιήσατε δ' ὑμεῖς· ἐκ δὲ τούτων ἀμ-
φοτέρων τὸ πρᾶγμα ἐπράχθη. εἰ δ' ὁ μὲν εἶπεν ὡς οἷόν τε
τὰ ἄριστα, ὥσπερ εἶπε τότε, ὑμεῖς δ' ἀπερρᾳθυμήσατε
καὶ μηδὲν ὑπηκούσατε, ἆρ' ἂν ἦν γεγονός τι τῶν τότε συμ-
βάντων τῇ πόλει; οὐχ οἷόν τε. οὕτω τοίνυν καὶ περὶ ὧν
ἂν ἐγὼ λέγω νυνὶ καὶ περὶ ὧν ἂν ὁ δεῖνα εἴπῃ, τὰ μὲν 127
ἔργα παρ' ὑμῶν αὐτῶν ζητεῖτε, τὰ δὲ βέλτιστα ἐπιστήμῃ
λέγειν παρὰ τοῦ παριόντος.

[1] ἄλλ' [2] οὐκ [3] τριηρῶν

Ἐπ' ἐκεῖνο μὲν] F. ἐπ' ἐκεῖνα μὲν, et ἐπὶ ταῦτα δέ. *In farrag.* Wolf.

Προάγεσθαι] Active accipiendum. Idem. Active sumitur, et regit, verbi gratia, τοὺς ἀκούοντας, quæ voces debent subaudiri. Auger.

ιζ'. Καὶ τοὺς Εὐβοέας σώζειν] Vide Not. in Philippicam I. §. ζ'. Stock.

Εἰπέ μοι] *Agedum*, in singulari numero, licet ad plures oratio habeatur, ut millies alibi. Auger.

Ὑμεῖς δ' ἀπερρᾳθυμήσατε] *Vos autem ignavia, et socordia rem transmisistis, languore et desidia affecti fuistis.* Opponitur enim verbum ἀποῤῥᾳθυμῶ τῷ διατείνασθαι, quod est, *intentare, obniti, contendere*, &c. *Ex edit.* Hervag.

Τὰ δὲ βέλτιστα ἐπιστήμῃ λέγειν] Accipi fortasse potest pro ἐπιστημόνως, sed malim hunc locum sic legere: τὸ δὲ τὰ βέλτιστα λέγειν παρὰ, omisso nomine ἐπιστήμῃ, et τὸ articulo addito. Wolf.

Ἐπιστήμῃ] *Cum scientia, scienter, perite.* Ceterum sic phrasim construe, ζη-

ιή. Ἐν κεφαλαίῳ δ᾽ ἃ λέγω φράσας καταβῆναι βούλο-
μαι. χρήματα εἰσφέρειν φημὶ δεῖν, τὴν ὑπάρχουσαν δύναμιν
συνέχειν, ἐπανορθοῦντας εἴ τι δοκεῖ μὴ καλῶς ἔχειν, μὴ 109
οἷς ἄν τις αἰτιάσηται τὸ ὅλον καταλύοντας· πρέσβεις ἐκ-
πέμπειν πανταχοῖ τοὺς διδάξοντας, νουθετήσοντας, πρά-
ξοντας ὅσα ἂν δύνωνται τῇ πόλει· παρὰ πάντα ταῦτα τοὺς
ἐπὶ τοῖς πράγμασι δωροδοκοῦντας κολάζειν καὶ μισεῖν ἀεὶ
καὶ πανταχοῦ, ἵν᾽ οἱ μέτριοι καὶ δικαίους ἑαυτοὺς παρέ-
χοντες εὖ βεβουλεῦσθαι δοκῶσι καὶ τοῖς ἄλλοις καὶ ἑαυ-
τοῖς. [1] ἂν οὕτω τοῖς πράγμασι χρῆσθε καὶ παύσησθε
ὀλιγωροῦντες ἁπάντων, ἴσως ἄν, ἴσως καὶ νῦν ἔτι βελτίω
[2] τὰ λοιπὰ γένοιτο. εἰ μέντοι καθεδεῖσθε, ἄχρι τοῦ θορυ-
βῆσαι καὶ ἐπαινέσαι σπουδάζοντες, ἐὰν δὲ δέῃ τι ποιεῖν ἀνα-
δυόμενοι, οὐχ ὁρῶ λόγον ὅστις ἄνευ τοῦ ποιεῖν ὑμᾶς ἃ
προσήκει δυνήσεται τὴν πόλιν σῶσαι.

[1] κᾂν

[2] τὰ λοιπὰ βελτίω

τεῖτε (τὸ) τὰ βέλτιστα λέγειν ἑ. π. τ. π. Plenius et clarius sic dixisset orator, τὸ δὲ τὰ βέλτιστα. Auger.

ιή. Οἷς] Accipe quasi ἐφ᾽ οἷς, et ἐφ᾽ οἷς resolve in ἐπὶ τούτοις ἅ. Idem.

Ἄχρι τοῦ θορυβῆσαι] *Usque ad applausum et laudationem rebus intenti*, hoc est, si tantum laudabitis oratorem, ejus vero consilium non sequemini. Wolf.

ΛΙΒΑΝΙΟΥ ΥΠΟΘΕΣΙΣ ΦΙΛΙΠΠΙΚΟΥ Γ.

Pag. ed. Reisk. — Pag. ed. aliq. cit.

109 ῾ΑΠΛΗ τοῦ λόγου τούτου ἡ ὑπόθεσις. Φιλίππου γὰρ λόγῳ μὲν εἰρήνην ἄγοντος, ἔργῳ δὲ 128
πολλὰ ἀδικοῦντος, συμβουλεύει τοῖς Ἀθηναίοις ὁ ῥήτωρ ἀναστῆναι καὶ ἀμύνασθαι τὸν βασιλέα, ὡς κινδύνου μεγάλου καὶ αὐτοῖς ἐπικρεμαμένου καὶ πᾶσι κοινῇ τοῖς Ἕλλησιν.

ΦΙΛΙΠΠΙΚΟΣ Γ.

110 ά. ΠΟΛΛΩΝ, ὦ ἄνδρες Ἀθηναῖοι, λόγων γιγνομένων ὀλίγου δεῖν καθ᾽ ἑκάστην ἐκκλησίαν περὶ ὧν Φίλιππος, ἀφ᾽ οὗ τὴν εἰρήνην ἐποιήσατο, οὐ μόνον ὑμᾶς ἀλλὰ καὶ τοὺς ἄλλους Ἕλληνας ἀδικεῖ, καὶ [1] πάντων οἶδ᾽ ὅτι φησάντων γ᾽ ἄν, εἰ καὶ μὴ ποιοῦσι τοῦτο, καὶ λέγειν δεῖν καὶ πράττειν [2] [ἃ πᾶσι προσήκει], ὅπως ἐκεῖνος παύσεται τῆς ὕβρεως καὶ δίκην δώσει, εἰς τοῦθ᾽ ὑπηγμένα πάντα τὰ πράγματα καὶ προειμένα ὁρῶ, ὥστε δέδοικα μὴ βλάσφημον μὲν εἰπεῖν, ἀληθὲς δ᾽ ᾖ· εἰ καὶ λέγειν ἅπαντες ἐβούλοντο οἱ παριόντες καὶ χειροτονεῖν ὑμεῖς, ἐξ ὧν ὡς φαυλότατ᾽ ἔμελλε τὰ πράγμαθ᾽ ἕξειν, οὐκ ἂν ἡγοῦμαι δύνασθαι χεῖρον ἢ νῦν αὐτὰ διατεθῆναι. πολλὰ μὲν οὖν ἴσως ἐστὶν αἴτια τοῦ ταῦθ᾽ οὕτως ἔχειν, καὶ οὐ παρ᾽ ἓν οὐδὲ δύο εἰς τοῦτο τὰ πράγματα ἀφῖκται· μάλιστα δ᾽, ἄν περ ἐξετάζητε ὀρθῶς, εὑρήσετε διὰ τοὺς χαρίζεσθαι μᾶλλον ἢ τὰ βέλτιστα λέγειν προαιρουμένους, ὧν τινὲς μέν, ὦ ἄνδρες Ἀθηναῖοι, ἐν οἷς εὐδοκιμοῦσιν αὐτοὶ καὶ δύνανται, ταῦτα φυλάττοντες οὐδεμίαν περὶ τῶν μελλόντων πρόνοιαν ἔχουσιν, [3] οὔκουν οὐδ᾽ 129

[1] πάντων εὖ οἶδ᾽ [2] Absunt unci. [3] οὐκοῦν

ά. Ὀλίγου δεῖν] Vox δεῖν reciditur a Dionysio hunc ipsum locum citante [p. 162. et 167. fin.] Auger.

Φησάντων γ᾽ ἂν] *Et cum satis sciam, neminem negare posse*, scil. si serio rogetur, et, quod sentit, verbis præ se ferat. Wolf.

ὑμᾶς οἴονται δεῖν ἔχειν· ἕτεροι δέ, τοὺς ἐπὶ τοῖς πράγμασιν ὄντας αἰτιώμενοι καὶ διαβάλλοντες, οὐδὲν ἄλλο ποιοῦσιν
ἢ ὅπως ἡ μὲν πόλις αὐτὴ παρ' αὑτῆς δίκην λήψεται καὶ 111
περὶ τοῦτ' ἔσται, Φιλίππῳ δ' ἐξέσται καὶ λέγειν καὶ πράττειν ὅ τι βούλεται. αἱ δὲ τοιαῦται πολιτεῖαι συνήθεις μέν εἰσιν ὑμῖν, αἴτιαι δὲ τῆς ταραχῆς καὶ τῶν ἁμαρτημάτων.

β'. [1]Ἀξιῶ δ', ὦ ἄνδρες Ἀθηναῖοι, ἐάν τι τῶν ἀληθῶν μετὰ παῤῥησίας λέγω, μηδεμίαν μοι διὰ τοῦτο παρ' ὑμῶν ὀργὴν γενέσθαι. σκοπεῖτε γὰρ ὡδί. ὑμεῖς τὴν παῤῥησίαν ἐπὶ μὲν τῶν ἄλλων οὕτω κοινὴν οἴεσθε δεῖν εἶναι πᾶσι τοῖς ἐν τῇ πόλει, ὥςτε καὶ τοῖς ξένοις καὶ τοῖς δούλοις αὐτῆς μεταδεδώκατε, καὶ πολλοὺς ἄν τις οἰκέτας ἴδοι παρ' ὑμῖν μετὰ πλείονος ἐξουσίας ὅ τι βούλονται λέγοντας ἢ πολίτας ἐν ἐνίαις τῶν ἄλλων πόλεων, ἐκ δὲ τοῦ συμβουλεύειν παντάπασιν ἐξεληλάκατε, εἶθ' ὑμῖν συμβέβηκεν ἐκ τούτου ἐν μὲν ταῖς ἐκκλησίαις τρυφᾶν καὶ κολακεύεσθαι πάντα πρὸς ἡδονὴν ἀκούουσιν, ἐν δὲ τοῖς πράγμασι καὶ τοῖς γιγνομένοις περὶ τῶν ἐσχάτων ἤδη κινδυνεύειν. εἰ μὲν οὖν καὶ νῦν οὕτω διάκεισθε, οὐκ ἔχω τί λέγω. εἰ δ' ἃ [2]συμφέρει χωρὶς κολακείας ἐθελήσετε ἀκούειν, ἕτοιμος λέγειν. καὶ γὰρ εἰ πάνυ φαύλως τὰ πράγματα ἔχει καὶ πολλὰ προεῖται, ὅμως ἔστιν, ἐὰν ὑμεῖς τὰ δέοντα ποιεῖν βούλησθ' ἔτι, πάντα ταῦτα ἐπανορθώσασθαι. καὶ παράδοξον μὲν ἴσως ἐστὶν, ὃ μέλλω λέγειν, ἀληθὲς δέ· τὸ χείριστον ἐν τοῖς παρεληλυθόσι, τοῦτο πρὸς τὰ μέλλοντα βέλτιστον ὑπάρχει. τί οὖν ἐστι τοῦτο; ὅτι οὔτε μικρὸν οὔτε μέγα οὐδὲν τῶν δεόντων ποιούντων ὑμῶν κακῶς τὰ πράγματα ἔχει, ἐπεί
τοί γε, εἰ πάνθ' ἃ [3]προσῆκε πραττόντων οὕτω διέκειτο, 112
οὐδ' ἂν ἐλπὶς ἦν αὐτὰ γενέσθαι βελτίω. νῦν δὲ τῆς μὲν ῥᾳθυμίας τῆς ὑμετέρας καὶ τῆς ἀμελείας κεκράτηκε Φίλιπ-

[1] ἀξιῶ δ' ὑμᾶς, ὦ [2] συμφέρει τοῖς πράγμασι χωρὶς
[3] προσήκει, πραττόντων ὑμῶν οὕτω

Ἕτεροι δὲ, τοὺς ἐπὶ τοῖς πράγμασιν] Accusatores Diopithis perstringit. Videas orationem de Chers. *Ex edit.* Stock.

β'. Καὶ τοῖς δούλοις αὐτοῖς] M. αὐτῆς, S. τῆς παῤῥησίας. Wolf.

Ἐξεληλάκατε] S. τὴν παῤῥησίαν. Idem.

Εἰ μὲν οὖν καὶ νῦν οὕτω διάκεισθε] S. ὥστε τρυφᾶν καὶ κολακεύεσθαι βούλεσθαι. *Si his animis estis: si hæc vobis cordi sunt: si in hac sententia permanetis:* nisi aliam audiendi rationem inieritis. Idem.

Ἕτοιμος λέγειν] S. εἰμὶ, ὑπάρχω. Idem.

πος, τῆς πόλεως δ' οὐ κεκράτηκεν, οὐδ' ἥττησθε ὑμεῖς, 130
ἀλλ' οὐδὲ κεκίνησθε.

γ'. Εἰ μὲν οὖν ἅπαντες ὡμολογοῦμεν Φίλιππον τῇ
πόλει πολεμεῖν καὶ τὴν εἰρήνην παραβαίνειν, οὐδὲν ἄλλο ἔδει
τὸν παριόντα λέγειν καὶ συμβουλεύειν ἢ [1] ὅπως ἀσφαλέ-
στατα καὶ ῥᾷστα αὐτὸν ἀμυνούμεθα· ἐπειδὴ δὲ οὕτως
ἀτόπως ἔνιοι διάκεινται, ὥστε πόλεις καταλαμβάνοντος
ἐκείνου καὶ πολλὰ τῶν ὑμετέρων ἔχοντος καὶ πάντας ἀν-
θρώπους ἀδικοῦντος, ἀνέχεσθαί τινων ἐν ταῖς ἐκκλησίαις
λεγόντων πολλάκις ὡς ἡμῶν τινές εἰσιν οἱ ποιοῦντες τὸν
πόλεμον, ἀνάγκη φυλάττεσθαι καὶ διορθοῦσθαι περὶ τού-
του· ἔστι γὰρ δέος, μή ποθ' ὡς ἀμυνούμεθα γράψας τις
καὶ συμβουλεύσας εἰς τὴν αἰτίαν ἐμπέσῃ τοῦ πεποιηκέναι
τὸν πόλεμον. ἐγὼ δὴ τοῦτο πρῶτον ἁπάντων λέγω καὶ
διορίζομαι, εἰ ἐφ' ἡμῖν ἐστὶ τὸ βουλεύεσθαι περὶ τοῦ πότερον
εἰρήνην ἄγειν ἢ πολεμεῖν δεῖ. εἰ μὲν οὖν ἔξεστιν εἰρήνην
ἄγειν τῇ πόλει καὶ ἐφ' ἡμῖν ἐστὶ τοῦτο, ἵν' ἐντεῦθεν ἄρξω-
μαι. φημὶ ἔγωγε ἄγειν ἡμᾶς δεῖν, καὶ τὸν ταῦτα λέγοντα
γράφειν καὶ πράττειν καὶ μὴ φενακίζειν ἀξιῶ· εἰ δ' ἕτερος
τὰ ὅπλα ἐν ταῖς χερσὶν ἔχων καὶ δύναμιν πολλὴν περὶ
αὑτὸν τοὔνομα μὲν τὸ τῆς εἰρήνης ὑμῖν προβάλλεται, τοῖς
δ' ἔργοις αὐτὸς τοῖς τοῦ πολέμου χρῆται, τί λοιπὸν ἄλλο
πλὴν ἀμύνεσθαι; φάσκειν δὲ εἰρήνην ἄγειν, εἰ βούλεσθε,
113 ὥσπερ ἐκεῖνος, οὐ διαφέρομαι. εἰ δέ τις ταύτην εἰρήνην
ὑπολαμβάνει, ἐξ ἧς ἐκεῖνος πάντα τἆλλα λαβὼν ἐφ' ἡμᾶς
ἥξει, πρῶτον μὲν μαίνεται, ἔπειτα ἐκείνῳ παρ' ὑμῶν, οὐχ
ὑμῖν παρ' ἐκείνου τὴν [2] εἰρήνην λέγει· τοῦτο δ' ἐστὶν ὃ τῶν

[1] ὅπως * ὡς ἀσφαλέστατα

[2] εἰρήνην [ἄγειν] λέγει

γ'. Εἰ μὲν οὖν ἅπαντες ὁμολογοῦμεν] Supra, πάντων εὖ οἶδ' ὅτι φησάντων γ' ἄν. Videntur ὑποθετικῶς dici. quare malim ὡμολογοῦμεν, *si confiteremur, consentiremus*, in præterito imperfecto per ω, quam in præsenti per ο. IDEM.

Ἀνάγκη φυλάττεσθαι καὶ διορθοῦσθαι περὶ τούτου] *Cautione vehementer est opus, et ut hoc recte constituatur.* quod hic διορθοῦσθαι, paulo post διορίζεσθαι *distinguere*, dicit. IDEM.

Καὶ τὸν ταῦτα λέγοντα] Sententia est: proditores dicere quidem, et simulare, pacem esse: sed non ea decernere et agere, quæ ad veram pacem pertineant. IDEM.

Ἐκείνῳ παρ' ὑμῶν] Id est, nos servare pacem cum Philippo jubet: Philippo nostri oppugnandi dat potestatem. Feliciani editio εἰρήνην λέγει habet, verbo ἄγειν omisso, quod non magno sane discrimine sententiæ vel adesse vel abesse posse puto: etsi pro eo legere malim, εἶναι. IDEM.

Εἰρήνην ἄγειν] Sustuli ἄγειν. Ad εἰρήνην subaudi εἶναι vel οὖσαν. AUGER.

ἀναλισκομένων χρημάτων ἁπάντων Φίλιππος ὠνεῖται, αὐ-
131 τὸς μὲν πολεμεῖν ὑμῖν, ὑφ᾽ ὑμῶν δὲ μὴ πολεμεῖσθαι. καὶ
μὴν εἰ μέχρι τούτου περιμενοῦμεν, ἕως ἂν ἡμῖν ὁμολογήσῃ
πολεμεῖν, πάντων ἐσμὲν εὐηθέστατοι· οὐδὲ γὰρ ἂν ἐπὶ τὴν
Ἀττικὴν αὐτὴν βαδίζῃ καὶ τὸν Πειραιᾶ, τοῦτ᾽ ἐρεῖ, εἴπερ
οἷς πρὸς τοὺς ἄλλους πεποίηκε δεῖ τεκμαίρεσθαι. τοῦτο
μὲν γὰρ Ὀλυνθίοις τετταράκοντ᾽ ἀπέχων τῆς πόλεως στά-
δια εἶπεν ὅτι δεῖ δυοῖν θάτερον, ἢ ἐκείνους ἐν Ὀλύνθῳ μὴ
οἰκεῖν ἢ αὐτὸν ἐν Μακεδονίᾳ, πάντα τὸν ἄλλον χρόνον, εἴ
τις αὐτὸν αἰτιάσαιτό τι τοιοῦτον, ἀγανακτῶν καὶ πρέσβεις
πέμπων τοὺς ἀπολογησομένους· τοῦτο δ᾽ εἰς Φωκέας ὡς
πρὸς [1] συμμάχους ἐπορεύετο, καὶ πρέσβεις Φωκέων ἦσαν οἳ
παρηκολούθουν αὐτῷ πορευομένῳ, καὶ παρ᾽ ἡμῖν ἤριζον
πολλοὶ Θηβαίοις οὐ λυσιτελήσειν τὴν ἐκείνου πάροδον. καὶ
μὴν καὶ Φερὰς πρώην ὡς φίλος καὶ σύμμαχος εἰς Θετταλίαν ἐλθὼν ἔχει καταλαβών. καὶ τὰ τελευταῖα τοῖς ταλαιπώροις Ὠρείταις [2] τουτοισὶ ἐπισκεψομένους ἔφη τοὺς στρατιώτας πεπομφέναι κατ᾽ εὔνοιαν· πυνθάνεσθαι γὰρ αὐτούς, ὡς νοσοῦσι καὶ στασιάζουσιν ἐν αὑτοῖς, συμμάχων δ᾽ εἶναι καὶ φίλων ἀληθινῶν ἐν τοῖς τοιούτοις καιροῖς παρεῖναι. εἶτ᾽ οἴεσθε, οἳ μὲν οὐδὲν ἂν αὐτὸν ἐδυνήθησαν ποιῆσαι κακόν,

[1] συμμάχους καὶ φίλους ἐπορεύετο [2] τουτοισὶν

Εἰπεῖν ὅτι δεῖ δυοῖν θάτερον, ἢ ἐκείνους ἐν Ὀλύνθῳ μὴ οἰκεῖν ἢ αὐτὸν ἐν Μακεδονίᾳ] Ante particulas disjunctivas ἢ — ἢ verbum generale interdum omittitur, quod facile ex ipsa disjunctione suppletur, ut hoc loco γενέσθαι. de Cor. p. 274. l. 10. ed. R. καί τοι δυοῖν αὐτὸν ἀνάγκη θάτερον, ἤ, μηδὲν τοῖς πραττομένοις ὑπ᾽ ἐμοῦ τότ᾽ ἔχοντ᾽ ἐγκαλεῖν, μὴ γράφειν παρὰ ταῦθ᾽ ἕτερα, ἤ, τὸ τῶν ἐχθρῶν συμφέρον ζητοῦντα, μὴ φέρειν εἰς μέσον τὰ τούτων ἀμείνω, ubi post θάτερον supplendum ποιεῖν. Plato Charm. p. 160. C. Δυοῖν γὰρ δὴ τὰ ἕτερα, ἢ οὐδαμῆ ἡμῖν ἢ πάνυ που ὀλιγαχοῦ αἱ ἡσύχιοι πράξεις ἐν τῷ βίῳ καλλίους ἐφάνησαν, ἢ αἱ ταχεῖαί τε καὶ ἰσχυραί. Brem.

Τὴν πάροδον] S. εἴσω τῶν Πυλῶν, ingressum intra Pylas. Wolf.

Καὶ τὰ τελευταῖα τοῖς ταλαιπώροις Ὠρείταις τουτοισὶ ἐπισκεψομένους ἔφη τοὺς στρατιώτας πεπομφέναι κατ᾽ εὔνοιαν] Quum ἐπισκέπτεσθαι interdum de iis dicatur, qui ægrotos visitant, hæc acerba Oritarum irrisio habetur, quibus ægrotantium instar opus fuerit hominibus, qui visitationis specie ulcera eorum exprimerent. Sed hoc non est e Philippi more, qui, donec rei certus esset, blande loquebatur, non cavillabatur nec irridebat, sed benivolentiam ubique et juvandi studium ostentabat. Mihi hæc Philippi oratio ad eos habita videtur, qui ipsius partibus studebant. Hi angustiis premebantur et facile concedebant, ὡς νοσοῦσι καὶ στασιάζουσιν ἐν αὑτοῖς, ubi posterius proprium verbum prius tropicum illustrat, ut sæpe. Etiam iis, qui minus ipsi favebant, adulabatur, et profitebatur cunctis se otium restituturum per ἐπισκεψομένους, qui nihil nisi providerent, ne quis publicam tranquillitatem turbaret. Hæc est ratio euphemistica, qua ab initio Philippus ubique utebatur. Brem.

Πυνθάνεσθαι γὰρ αὐτούς, ὡς νοσοῦσι] Ἀντὶ τοῦ, πυνθάνεσθαι, ὡς νοσοῦσιν, ἤ, νοσεῖν αὐτούς. Wolf.

Εἶτ᾽ οἴεσθε —] Locum hunc citat Dionys. Halic. p. 108, 26. et 163, 6. a vul-

114 μὴ παθεῖν δ' ἐφυλάξαντ' ἂν ἴσως, τούτους μὲν ἐξαπατᾷν
αἱρεῖσθαι μᾶλλον ἢ προλέγοντα ϐιάζεσθαι, ὑμῖν δ' ἐκ
προῤῥήσεως πολεμήσειν, καὶ ταῦθ' ἕως ἂν ἑκόντες ἐξαπα-
τᾶσθε; οὐκ ἔστι ταῦτα· καὶ γὰρ ἂν ἀϐελτερώτατος εἴη
πάντων ἀνθρώπων, εἰ τῶν ἀδικουμένων ὑμῶν μηδὲν ἐγκα-
λούντων αὐτῷ, ἀλλ' ὑμῶν αὐτῶν τινὰς αἰτιωμένων καὶ κρί-
νειν ϐουλομένων, ἐκεῖνος ἐκλύσας τὴν πρὸς ἀλλήλους ἔριν
ὑμῶν καὶ φιλονεικίαν ἐφ' ἑαυτὸν προείποι τρέπεσθαι, καὶ
τῶν παρ' ἑαυτοῦ μισθοφορούντων τοὺς λόγους ἀφέλοιτο οἷς
ἀναβάλλουσιν ὑμᾶς, λέγοντες ὡς ἐκεῖνός γε οὐ πολεμεῖ τῇ
πόλει. ἀλλ' ἔστιν, ὦ πρὸς τοῦ Διός, ὅς τις εὖ φρονῶν ἐκ 132
τῶν ὀνομάτων μᾶλλον ἢ τῶν πραγμάτων τὸν ἄγοντ' εἰρή-
νην ἢ πολεμοῦνθ' ἑαυτῷ σκέψαιτ' ἄν; οὐδεὶς δήπου.

δ'. Ὁ τοίνυν Φίλιππος ἐξ ἀρχῆς, ἄρτι τῆς εἰρήνης γε-
γονυίας, οὔπω Διοπείθους στρατηγοῦντος οὐδὲ τῶν ὄντων
[1] ἐν Χεῤῥονήσῳ νῦν ἀπεσταλμένων, Σέῤῥιον καὶ Δορίσκον
κατελάμϐανε καὶ τοὺς ἐκ Σεῤῥίου τείχους καὶ Ἱεροῦ
ὄρους στρατιώτας ἐξέϐαλλεν, οὓς ὁ ὑμέτερος στρατηγὸς
ἐγκατέστησε. καίτοι ταῦτα πράττων τί ἐποίει; εἰρήνην
μὲν γὰρ [2] ὀμωμόκει. καὶ μηδεὶς εἴπῃ, τί δὲ ταῦτ' ἐστίν,
ἢ τί τούτων μέλει τῇ πόλει; εἰ μὲν γὰρ μικρὰ ταῦτά
ἐστιν ἢ μηδὲν ὑμῖν αὐτῶν ἔμελεν, ἄλλος ἂν εἴη λόγος οὗτος·
τὸ δ' εὐσεβὲς καὶ τὸ δίκαιον ἄν τ' ἐπὶ μικροῦ τις ἄν τ'
ἐπὶ μείζονος παραβαίνῃ, τὴν αὐτὴν ἔχει δύναμιν. φέρε δὴ
νῦν, ἡνίκ' εἰς Χεῤῥόνησον, ἣν βασιλεὺς καὶ πάντες οἱ Ἕλ-
ληνες ὑμετέραν ἐγνώκασιν εἶναι, ξένους [3] εἰσπέμπει καὶ
ϐοηθεῖν ὁμολογεῖ καὶ ἐπιστέλλει ταῦτα, τί ποιεῖ; φησὶ
115 μὲν γὰρ οὐ πολεμεῖν ὑμῖν, ἐγὼ δὲ τοσούτου δέω ταῦτα
ποιοῦντα ἐκεῖνον ὁμολογεῖν ἄγειν τὴν πρὸς ὑμᾶς εἰρήνην,

[1] ἐν Χεῤῥονήσῳ νῦν ὄντων [2] ὠμωμόκει [3] εἰσπέμπειν

gari in illo priore loco nonnihil discedens.

Μὴ παθεῖν] S. ὥστε μὴ κακόν τι παθεῖν. Wolf.

Ἕως ἂν] *Dum, tandis que.* Auger.

Οἷς ἀναϐάλλουσιν ἡμᾶς (ὑμᾶς), &c.] Id est, *quibus remorantur nos (vos) et differre cogunt.* Nam et activa voce dicitur ἀναϐάλλω, pro eo quod est, εἰς ἀναβολὰς καθίστημι, id est, *remoror, protraho, prolatationibus implico. Ex edit.* Hervag.

δ'. Σέῤῥιον καὶ Δορίσκον——καὶ Ἱεροῦ ὄρους] Serrium et Doriscum Thraciæ sunt castella, obscura quidem et vilia, si modo Æschines audiendus est, in Ctesiph. §. 30. Mons ille sacer quoque in Thracia situs est, juxta Propontidem. *Ex edit.* Stock.

Τὸ δ' εὐσεβὲς καὶ τὸ δίκαιον] Hinc Stoicorum παράδοξον, ὅτι ἴσα τὰ ἁμαρτήματα καὶ κατορθώματα. Wolf.

ὥςτε καὶ Μεγάρων ἁπτόμενον καὶ ἐν Εὐβοίᾳ τυραννίδα
κατασκευάζοντα καὶ νῦν ἐπὶ Θρᾴκην παριόντα καὶ τὰ ἐν
Πελοποννήσῳ σκευωρούμενον καὶ πάνθ᾽, ὅσα πράττει μετὰ
τῆς δυνάμεως, ποιοῦντα λύειν φημὶ τὴν εἰρήνην καὶ πολεμεῖν
ὑμῖν, εἰ μὴ καὶ τοὺς τὰ μηχανήματα ἐφιστάντας εἰρήνην
ἄγειν φήσετε, ἕως ἂν αὐτὰ τοῖς τείχεσιν ἤδη προσαγάγω-
σιν. ἀλλ᾽ οὐ φήσετε· ὁ γάρ, οἷς ἂν ἐγὼ ληφθείην, ταῦτα
πράττων καὶ κατασκευαζόμενος, οὗτος ἐμοὶ πολεμεῖ, κἂν
μήπω βάλλῃ μηδὲ τοξεύῃ. τίσιν οὖν ὑμεῖς κινδυνεύσαιτ᾽
133 ἄν, [1] εἴ τι γένοιτο; τῷ τὸν Ἑλλήσποντον ὑμῶν ἀλλοτριω-
θῆναι, τῷ Μεγάρων καὶ τῆς Εὐβοίας τὸν πολεμοῦνθ᾽ ὑμῖν
γενέσθαι κύριον, τῷ Πελοποννησίους τἀκείνου φρονῆσαι.
εἶτα τὸν τοῦτο τὸ μηχάνημα ἐπὶ τὴν πόλιν [2] ἱστάντα καὶ
κατασκευάζοντα, τοῦτον εἰρήνην ἄγειν ἐγὼ φῶ πρὸς ὑμᾶς;
πολλοῦ γε καὶ δέω, ἀλλ᾽ ἀφ᾽ ἧς ἡμέρας ἀνεῖλε Φωκέας,
ἀπὸ ταύτης ἔγωγ᾽ αὐτὸν πολεμεῖν ὑμῖν ὁρίζομαι. ὑμᾶς
δέ, ἐὰν μὲν ἀμύνησθε ἤδη, σωφρονήσειν φημί· ἐὰν δὲ ἀνα-
βάλλησθε, οὐδὲ τοῦθ᾽ [3] ὅταν βούλησθε [4] δυνήσεσθε ποιῆσαι.
καὶ τοσοῦτον [5] ἔγωγ᾽ ἀφέστηκα τῶν ἄλλων, ὦ ἄνδρες
Ἀθηναῖοι, τῶν συμβουλευόντων, ὥςτε οὐδὲ δοκεῖ μοι περὶ
Χεῤῥονήσου νῦν σκοπεῖν οὐδὲ Βυζαντίου, ἀλλ᾽ ἐπαμῦναι
[6] μὲν τούτοις, καὶ διατηρῆσαι μή τι πάθωσι, καὶ τοῖς οὖσιν
ἐκεῖ νῦν στρατιώταις πάνθ᾽ ὅσων ἂν δέωνται ἀποστεῖλαι,
βουλεύεσθαι μέντοι περὶ πάντων τῶν Ἑλλήνων ὡς ἐν κινδύ-
νῳ μεγίστῳ [7] καθεστώτων. βούλομαι δ᾽ εἰπεῖν πρὸς ὑμᾶς, 116
ἐξ ὧν ὑπὲρ τῶν πραγμάτων οὕτω φοβοῦμαι, ἵν᾽ εἰ μὲν ὀρθῶς
λογίζομαι, μετάσχητε τῶν λογισμῶν καὶ πρόνοιάν τιν᾽
ὑμῶν γ᾽ αὐτῶν, [8] εἰ μὴ καὶ τῶν ἄλλων ἄρα βούλεσθε,

[1] * εἰ γίγνοιτο [2] ἐφιστάντα [3] ὅταν τοῦτο [4] δυνήσεσθαι
[5] ἐγώ γε [6] μὲν καὶ τούτοις [7] καθεστηκότων [8] εἰ καὶ μὴ τῶν

Καὶ τὰ ἐν Πελοποννήσῳ σκευωρούμενον] Hoc est, *struentem, molientem, machinantem.* idem est enim ſere σκευωροῦμαι quod συσκευάζομαι: et σκευώρημα καὶ σκευωρία, hujusmodi *molitio,* et *fraudulenta rerum machinatio.* Cicero σκευωρεῖσθαι *telam texere* dicit lib. 3. de Orat. [cap. pen. ad fin.] et Interpres Demosth. illud σκευωρούμενον interpretatur κατὰ μικρὸν ὑφαντοποιούμενον. Sic Plaut. in Bacchidib. 'Exorsa hæc tela non male est omnino mihi.' [a. 2. sc. 3. 116.] Demosth. alibi [p. 955. v. 2. ed. R.] ἀλλὰ εἶναι τοῦτο πλάσμα εὑρήσετε καὶ σκευώρημα ὅλον, id est, *molimen fraudulentum, et captiosum.* Item alibi [p. 1272. v. 7.] περιγενομένου μου τῆς τούτων σκευωρίας, *cum ego absolutus essem ab eorum calumniosis actionibus, et quadruplatoriis persecutionibus. Ex edit.* HERVAG.

ποιήσησθε· ἂν δὲ ληρεῖν καὶ τετυφῶσθαι δοκῶ, μήτε νῦν
μήτ᾽ αὖθις ὡς ὑγιαίνοντί μοι προσέχητε.
έ. Ὅτι μὲν δὴ μέγας ἐκ μικροῦ καὶ ταπεινοῦ τὸ κατ᾽
ἀρχὰς ὁ Φίλιππος ηὔξηται, καὶ ἀπίστως καὶ στασιαστι-
κῶς ἔχουσι πρὸς αὑτοὺς οἱ Ἕλληνες, καὶ ὅτι πολλῷ παρα-
δοξότερον ἦν τοσοῦτον αὐτὸν ἐξ ἐκείνου γενέσθαι ἢ νῦν, ὅθ᾽
οὕτω πολλὰ προείληφε, καὶ τὰ λοιπὰ ὑφ᾽ αὑτῷ ποιήσα-
σθαι, καὶ πάνθ᾽ ὅσα τοιαῦτ᾽ ἂν ἔχοιμι διεξελθεῖν παρα-
λείψω. ἀλλ᾽ ὁρῶ συγκεχωρηκότας ἅπαντας ἀνθρώπους,
ἀφ᾽ ὑμῶν ἀρξαμένους, αὐτῷ, ὑπὲρ οὗ τὸν ἄλλον ἅπαντα
χρόνον ἅπαντες οἱ πόλεμοι γεγόνασιν οἱ Ἑλληνικοί. τί οὖν
ἐστὶ τοῦτο; τὸ ποιεῖν ὅ τι βούλεται, καὶ καθ᾽ ἕνα ἕκαστον 134
οὑτωσὶ περικόπτειν καὶ λωποδυτεῖν τῶν Ἑλλήνων, καὶ κα-
ταδουλοῦσθαι τὰς πόλεις ἐπιόντα. καίτοι προστάται μὲν
ὑμεῖς ἑβδομήκοντα ἔτη καὶ τρία τῶν Ἑλλήνων ἐγένεσθε,
προστάται δὲ τριάκοντα ἑνὸς δέοντα Λακεδαιμόνιοι· ἴσχυ-
σαν δέ τι καὶ Θηβαῖοι τοὺς τελευταίους τουτουσὶ χρόνους
μετὰ τὴν ἐν Λεύκτροις μάχην. ἀλλ᾽ ὅμως οὔθ᾽ ὑμῖν οὔτε

Τετυφῶσθαι] *Attonitum, mente captum esse.* Harpocration hujusce vocis etymon ducit, vel a fulminibus in gigantem Typhonem conjectis, vel a vento Typhone qui vortices excitat. Alia quoque etyma ab aliis assignantur. *Ex edit.* Stock. Τετύφωμαι, ἀντὶ τοῦ, ἐμβεβρόντημαι, inquit Harpocratio, quem vide ad hanc vocem. Auger.

έ. Προείληφε] *Jam tenet.* legi posset etiam προσείληφε, *cæteris adjunxit.* Wolf.

Ἀφ᾽ ὑμῶν ἀρξαμένους] Id est, *inter quos primi vos estis,* τουτέστιν, ὑμῶν τούτου ἀρξαμένων. Idem.

Ἑβδομήκοντα ἔτη καὶ τρία] Principatum Atheniensium alii diuturniorem faciunt, alii breviorem: et facilis lapsus est in numeris. Idem. Scilicet a Timosthene Archonte usque ad cladem in Ægospotamis acceptam Alexio Archonte. Palmer.

Ἑβδομήκοντα ἔτη καὶ τρία] Dixit alibi, Athenienses principatum obtinuisse 45 annis. Vide Not. in Olynth. secundam §. θ'. ubi hæc inter se minime repugnare cernes. *Ex edit.* Stock.

Ἑνὸς δέοντα] Pro δέοντος, κατ᾽ ἀντίπτωσιν καὶ ἐναλλαγὴν ἀριθμοῦ: quale est illud Comici: *vereor, ne quid absente nobis turbatum sit.* Wolf.

Τριάκοντα ἑνὸς δέοντα] Ab Alexio scilicet Archonte usque ad Calliam post Nausinicum Archontem, quo anno Græci fere omnes a Lacedæmoniis defecerunt. Sed annum inchoatum numerat pro completo; nam annorum xxviii. tantum completorum hoc spatium foret. Palmer. Nempe, ab anno 4. Olymp. 93. quo tempore Lysander muros Athenarum diruit, ad initium belli, quod Athenienses sub Conone instaurarunt, ad liberandos jugo Spartanorum sese reliquosque Græcos, anno 4. Olymp. 100. *Ex edit.* Stock.

Ἐν Λεύκτροις] De celebri hac pugna dicere nil opus est. Thebanorum principatus exinde duravit usque ad mortem Epaminondæ, quo apud Mantineam occiso, corruerunt simul eorum opus. *Ibid.*

Ἀλλ᾽ ὅμως οὔθ᾽ ὑμῖν οὔτε Θηβαίοις, &c. οὐδὲ πολλοῦ δεῖ] Hæc verba nihil aliud significant, quam geminatam negationem. Nam illæ duæ dictiones πολλοῦ δεῖ, ornatus gratia ponuntur atque idiomatis, ut eandem habeat vim οὐδὲ πολλοῦ δεῖ, quod apud Latinos, *imo multum abest ut ita se res habeat,* vel, *nihil inquam rei est ut ita fiat,* quemadmodum et περὶ τῆς παραπρεσβ. οὐ γὰρ ταῦτα ἀντ᾽ ἐκείνων γέγονεν, οὐδὲ πολλοῦ δεῖ, *neque enim illorum loco hæc nobis obtigerunt, multumque abest ut ita sit,* &c. neque retulerit, si in hoc sermone οὐδὲ πολλοῦ δεῖ negationem auferas, ut,

Θηβαίοις οὔτε Λακεδαιμονίοις οὐδεπώποτε, ὦ ἄνδρες Ἀθη-
ναῖοι, συνεχωρήθη τοῦθ᾽ ὑπὸ τῶν [1] Ἑλλήνων, ποιεῖν ὅ τι
βούλοισθε· οὐδὲ πολλοῦ δεῖ, ἀλλὰ τοῦτο μὲν ὑμῖν, μᾶλλον
δὲ τοῖς τότ᾽ οὖσιν Ἀθηναίοις, ἐπειδή τισιν οὐ μετρίως ἐδό- 117
κουν προσφέρεσθαι, πάντες ᾤοντο δεῖν, καὶ οἱ μηδὲν ἐγκα-
λεῖν ἔχοντες αὐτοῖς, μετὰ τῶν ἠδικημένων πολεμεῖν. καὶ
πάλιν Λακεδαιμονίοις ἄρξασι καὶ παρελθοῦσιν [2] εἰς τὴν
αὐτὴν δυναστείαν ὑμῖν, ἐπειδὴ πλεονάζειν ἐπεχείρουν καὶ
πέρα τοῦ μετρίου τὰ καθεστηκότα ἐκίνουν, [3] πάντες εἰς
πόλεμον κατέστησαν, καὶ οἱ μηδὲν ἐγκαλοῦντες αὐτοῖς. καὶ
τί δεῖ τοὺς ἄλλους λέγειν; ἀλλ᾽ ἡμεῖς αὐτοὶ καὶ Λακεδαι-
135 μόνιοι, οὐδὲν ἂν εἰπεῖν ἔχοντες ἐξ ἀρχῆς [4] ὅ τι ἠδικούμεθ᾽
ὑπ᾽ ἀλλήλων, ὅμως ὑπὲρ ὧν τοὺς ἄλλους ἀδικουμένους
ἑωρῶμεν πολεμεῖν ᾠόμεθα δεῖν. καίτοι πάνθ᾽ ὅσα ἐξημάρ-
τηται καὶ Λακεδαιμονίοις ἐν τοῖς τριάκοντ᾽ ἐκείνοις ἔτεσι
καὶ τοῖς ἡμετέροις προγόνοις ἐν τοῖς ἑβδομήκοντα, ἔλαττόν
ἐστιν, ὦ ἄνδρες Ἀθηναῖοι, ὧν Φίλιππος ἐν τρισὶ καὶ δέκα

[1] ἑλλήνων, τὸ ποιεῖν ὅ,τι βούλεσθε
[2] εἰς τὴν δυναστείαν τὴν αὐτὴν ταύτην ὑμῖν
[3] ἅπαντες
[4] ὅτι

pro Ctesiphonte, οὐδέ γ᾽ ἡττήθην ἐγὼ τοῖς λογισμοῖς Φιλίππου, πολλοῦ γε καὶ δεῖ. Ex edit. Hervag.

Ἀλλὰ τοῦτο μὲν ὑμῖν, etc. καὶ πάλιν, etc.] Pro τοῦτο δέ. Sic Isocrates in Evagora: τοῦτο μὲν γὰρ Αἰακὸς, etc. postea sequitur, τοῦτο δὲ παῖδες ἦσαν. Ita vides, τοῦτο δὲ non semper respondere τῷ τοῦτο μέν. Wolf.

Τοῦτο μὲν] Huic respondet l. 6. καὶ πάλιν. In partitionibus, præsertim si membra longiora sint, formulæ non anxie etiam in nostro scriptore respondent. p. 123. l. 14. ed. R. πρῶτον, cui respondet l. 20. δέ. p. 125. l. ult. τοτὲ μὲν — πάλιν δέ. Cf. Hermann. ad Viger. p. 701. Cicero de fin. b. et m. I. 6. Brem.

Καὶ παρελθοῦσιν —] Budæus legit: καὶ παρελθοῦσιν εἰς τὴν δυναστείαν τὴν αὐτὴν ταύτην ἡμῖν. Quod vero sequitur πλεονάζειν per *insolescere*, et *supra modum efferri* dixit, et *plus æquo audere*. Similiter usus etiam est Thucyd. *Ex edit.* Hervag.

Πλεονάζειν] *Insolescere, plus sibi, quam oportebat, arrogare.* Sic Isocrates de sophistis: εἰ καὶ νῦν πλεονάζουσι: *tametsi nunc insolenter sese jactant.* Wolf.

Τὰ καθεστηκότα ἐκίνουν] Ἀναγκάζοντες τοὺς συμμάχους ἐπιτηδείως σφίσι πολιτεύεσθαι, τουτέστιν, ὀλιγαρχεῖσθαι, μᾶλλον δὲ δεκαδαρχίας καθιστάντες. Vide Isocratis Paneg. et Panath. Idem.

Οὐδὲν ἂν εἰπεῖν ἔχοντες] Ἂν neque ad εἰπεῖν neque ad ἔχοντες pertinet; nam utraque notio definita est, neque enuntiatio est hypothetica; sed ad οὐδὲν mitigandi causa, ut alibi dicitur ὡς ἔπος εἰπεῖν. Notandum hoc, ἂν sæpe addi nominibus amplissimæ significationis, quam non urgendam esse indicat. Illustrabo hoc aliquot exemplis. Περὶ Ῥοδίων ἐλευθερ. p. 192. l. 21. ed. R. καὶ πάσχειν ὁτιοῦν ἂν οἴεσθε χρῆναι. p. 193. l. 26. ἄλλο μὲν οὐδὲν ἂν εἶναι βασιλεῖ χρησίμην ἐν τῷ παρόντι. de Cor. p. 258. l. 11. τῶν τότε Ἀθηναίων πολλὰ ἂν ἐχόντων μνησικακῆσαι. in Mid. p. 551. l. 27. πᾶν ἂν ὑποστὰς εἰπεῖν καὶ πρᾶξαι. p. 559. l. 24. s. τὸ γὰρ ἐπ᾽ ἐξουσίας καὶ πλούτου πονηρὸν εἶναι καὶ ὑβριστήν, τεῖχός ἐστι πρὸς τὸ μηδὲν ἂν αὐτὸν ἐξ ἐπιδρομῆς παθεῖν. Brem.

Ἐν τρισὶ καὶ δέκα οὐχ ὅλοις ἔτεσιν οἷς ἐπιπολάζει] Anno regni sui octavo Philippus, debellatis tandem finitimis barbaris, Methonen expugnavit, tyrannos Pheræos ejecit, exercitumque Phocensem cum duce ipsorum Onomarcho delevit. Hinc Græcis cœpit esse formidandus: indeque supputat Orator 13 annos inchoatos, quibus Philippum eminu-

οὐχ ὅλοις ἔτεσιν οἷς ἐπιπολάζει ἠδίκηκε τοὺς Ἕλληνας·
μᾶλλον δὲ οὐδὲ πολλοστὸν μέρος τούτων ἐκεῖνα. καὶ τοῦτο
ἐκ βραχέος λόγου ῥᾴδιον δεῖξαι.

ς΄. Ὄλυνθον μὲν δὴ καὶ Μεθώνην καὶ Ἀπολλωνίαν καὶ
δύο καὶ τριάκοντα πόλεις ἐπὶ Θρᾴκης ἐῶ, ἃς ἁπάσας οὕτως
ὠμῶς ἀνῄρηκεν, ὥστε μηδένα μηδ' εἰ πώποτ' ᾠκήθησαν προσ-
ελθόντ' [1] εἶναι ῥᾴδιον εἰπεῖν· καὶ τὸ Φωκέων ἔθνος τοσοῦτον
ἀνῃρημένον σιωπῶ. ἀλλὰ Θετταλία πῶς ἔχει; οὐχὶ τὰς
πολιτείας καὶ [2] τὰς πόλεις αὐτῶν [3] παρῄρηται καὶ τετραρ-
χίας κατέστησε παρ' αὐτοῖς, ἵνα μὴ μόνον κατὰ πόλεις
ἀλλὰ καὶ κατ' ἔθνη δουλεύωσιν; αἱ δ' ἐν Εὐβοίᾳ πόλεις
οὐκ ἤδη τυραννοῦνται, καὶ ταῦτα ἐν νήσῳ πλησίον Θηβῶν
118 καὶ Ἀθηνῶν; οὐ διαῤῥήδην ἐν ταῖς ἐπιστολαῖς γράφει Ἐμοὶ
δ' ἐστὶν εἰρήνη πρὸς τοὺς ἀκούειν ἐμοῦ βουλομένους; καὶ οὐ
γράφει μὲν ταῦτα, [4] τοῖς δ' ἔργοις οὐ ποιεῖ, ἀλλ' ἐφ' Ἑλλήσ-
ποντον οἴχεται, πρότερον ἧκεν ἐπ' Ἀμβρακίαν, Ἦλιν ἔχει 136
τηλικαύτην πόλιν ἐν Πελοποννήσῳ, Μεγάροις ἐπεβούλευσε
πρῴην, οὔθ' ἡ Ἑλλὰς οὔθ' ἡ βάρβαρος τὴν πλεονεξίαν χωρεῖ

[1] εἶναι ῥᾴδιον προσελθόντα [2] τὰς πόλεις καὶ τὰς πολιτείας
[3] περιῄρηται καὶ τετραδαρχίας καθέστακε [4] τοῖς ἔργοις δὲ

isse dicit. *Ex edit.* Stock.

Οἷς ἐπιπολάζει] Id est, *quibus emersit.* ἐπιπολάζειν enim dicuntur, qui ex obscuro emergunt, et ex ignotis nobiles et illustres evadunt, eadem videlicet ratione, qua etiam ἐπιπολάζοντα dicunt, pro *manifestis* et *in promptu positis.* et ἐπιπόλαια, *quæ non intus latent, sed per summa apparent. Ex edit.* Hervag.

ς΄. Μηδένα προσελθόντα εἶναι ῥᾴδιον εἰπεῖν] Pro μηδενὶ προσελθόντι, ἐὰν προσέλθῃ. Wolf.

Οὐχὶ τὰς πολιτείας—] Lego ἀφῄρηται. Per urbes intelligo Pagasas et Magnesiam: per πολιτείας libertatem. Idem.

Καὶ τετραρχίας] Totam Thessaliam in quatuor præfecturas divisit, ut non modo oppidatim, sed etiam regionatim, (ut ita dicam) serviant. Vide calumniam. Athenæ divisæ fuerunt non servitutis, sed boni ordinis causa in decem tribus, et municipia, seu curias complures. Idem. Putaveram debere legi δεκαδαρχίας, eo quod ea voce usus est supra Phil. B. de iisdem Thessalis, de quibus hoc loco agitur: sed postea cum cogitassem Thessalos in quatuor regiones divisos fuisse, in Phthiotidem scilicet, Estiæotidem, Thessaliotidem, et Pelasgiotidem, et vidissem eandem vocem ab Aristide in hoc eodem argumento et ex hoc loco proculdubio usurpatam fuisse in oratione περὶ συμμαχίας, ἐπέχω. Vide supra ad Aristides p. 229. Palmer.

Ἵνα μὴ μόνον κατὰ πόλεις ἀλλὰ καὶ κατ' ἔθνη] Thessaliam totam in quatuor præfecturas divisit, ut non modo urbes primariæ, sed et populi undique adjacentes, et ab hisce urbibus in clientelam recepti, sibi parerent. Hoc quippe significat ἔθνος. *Ex edit.* Stock.

Κατ' ἔθνη] Ἔθνος, juxta Harpocrationem, non modo magnum et frequens hominibus genus vocatur, sed etiam peculiari notione pars quædam civitatis; et hunc ipsum locum commemorat cum alio loco ex ejusdem Demosthenis oratione contra Aristocratem. Auger.

Ἐμοὶ δ' ἐστὶν εἰρήνη] Ἀεὶ τοίνυν συμφέρει ἀκούειν τῶν κρατούντων. Wolf.

Ἦλιν ἔχει] Non armis, sed societate, hanc sibi urbem adscivit. Amphictyonico quippe concilio contributa erat Elis, cujus concilii princeps fuit Philippus. *Ex edit.* Stock.

Ἡ βάρβαρος] Sub. γῆ. Auger.

Οὐ—τὴν πλεονεξίαν χωρεῖ] *Non complectitur, nimis angusta est.* Ita Juvenal. de Alexandro: *æstuat infelix angusto li-*

τἀνθρώπου. καὶ ταῦθ' ὁρῶντες οἱ Ἕλληνες ἅπαντες καὶ ἀκούοντες οὐ πέμπομεν πρέσβεις περὶ τούτων πρὸς ἀλλήλους καὶ ἀγανακτοῦμεν, οὕτω δὲ κακῶς διακείμεθα καὶ διορωρύγμεθα κατὰ πόλεις, ὥστ' ἄχρι τῆς τήμερον ἡμέρας οὐδὲν οὔτε τῶν συμφερόντων οὔτε τῶν δεόντων πρᾶξαι δυνάμεθα, οὐδὲ συστῆναι, οὐδὲ κοινωνίαν βοηθείας καὶ φιλίας οὐδεμίαν ποιήσασθαι, ἀλλὰ μείζω γιγνόμενον τὸν ἄνθρωπον περιορῶμεν, τὸν χρόνον κερδᾶναι τοῦτον ὃν ἄλλος ἀπόλλυται ἕκαστος ἐγνωκώς, ὥς [1]γ' ἐμοὶ δοκεῖ, οὐχ ὅπως σωθήσεται τὰ τῶν Ἑλλήνων σκοπῶν οὐδὲ πράττων· ἐπεί, ὅτι γε ὥσπερ περίοδος ἢ καταβολὴ πυρετοῦ ἤ τινος ἄλλου κακοῦ καὶ τῷ πάνυ πόῤῥω δοκοῦντι νῦν ἀφεστάναι προσέρχεται, οὐδεὶς ἀγνοεῖ δήπου.

ζ'. Καὶ μὴν κἀκεῖνό γε ἴστε, ὅτι ὅσα μὲν ὑπὸ Λακεδαιμονίων ἢ ὑφ' ἡμῶν ἔπασχον οἱ Ἕλληνες, ἀλλ' οὖν ὑπὸ γνησίων γε ὄντων τῆς Ἑλλάδος ἠδικοῦντο, καὶ τὸν αὐτὸν τρόπον ἄν τις ὑπέλαβε τοῦθ', ὥσπερ ἂν εἴ τις υἱὸς ἐν οὐσίᾳ
137 πολλῇ γεγονὼς γνήσιος διῴκει τι μὴ καλῶς μηδ' ὀρθῶς, κατ' αὐτὸ μὲν τοῦτο ἄξιον μέμψεως [2]εἶναι καὶ κατηγορίας,

[1] γέ μοι [2] εἶναι μέμψεως

mite mundi. Ex edit. Stock.

Συστῆναι] S. ἡμεῖς. *Nos non concordiam inimus*, pro συσταθῆναι. Wolf.

Ἀλλὰ μείζω γιγνόμενον τὸν ἄνθρωπον περιορῶμεν] *Hominem vero* (de Philippo loquens) *indies majorem fieri ipsi neglectim sinimus, unusquisque se id temporis utique lucrifacere censens, quo tempore alius opibus evertitur, nec ut mea quidem fert opinio, in commune consulens, nec id agens potissimum, quo Græcorum vires incolumes serventur. Neminem enim nostrum fugit, quod tanquam circuitus quidam aut impetus vel febris vel cujusvis alterius noxæ in orbem repetentis, hoc malum adventat, eique etiam imminet, unde longissime abscessisse nunc videtur,* &c. Eleganter καταβολὴν pro *accessione et impetu* febris posuit, quemadmodum et Galenus in pri. ad Glauc. αὖθις δὲ περὶ τὴν ἕω τῆς τρίτης ἡμέρας δευτέρα καταβολὴ γίνεται, &c. Vocabulum est per metaphoram ductum, ab eorum similitudine quibus statis diebus in orbem redeuntibus certas summas pecuniarum dependere, sollenne est, ut sunt αἱ καταβολαὶ τῶν τελωνησάντων. *Ex edit.* Hervag.

Περιορῶμεν] Non impedimus incrementa potentiæ Philippi. Wolf.

Ὃν ἄλλος ἀπόλλυται] H. e. unusquisque, ut mihi videtur, se id temporis lucrifacere censet, quod Philippus aliis evertendis insumit: beatum se reputat, quod non in se primum vis fiat. *Ex edit.* Stock.

Ὥσπερ περίοδος] S. πυρετοῦ. Galenus: περίοδός ἐστι χρόνος ἐπιτάσεως καὶ ἀνέσεως ἐν νοσήματι γινόμενος. Wolf.

Ἡ καταβολὴ] Εἰσβολὴ, *accessio et impetus:* παρὰ τὸ καταβάλλειν τὸν πυρέττοντα. ταὐτὸν σχεδὸν τῷ παροξυσμῷ. Idem.

Ὥσπερ περίοδος ἢ καταβολὴ πυρετοῦ] Multos dicit, etiam qui longe abesse a Philippo videantur, illum tandem eos aggressurum non minus compertum habere, quam febre intermittente laborans accessionem morbi exspectat. *Ex edit.* Stock. Vid. Valckenaer. Animadv. ad Ammon. l. ii. c. viii. fin.

Ἀφεστάναι] S. τὴν καταβολὴν ἑαυτοῦ, vel ἑαυτὸν τῆς καταβολῆς τοῦ πυρετοῦ. Wolf.

ζ'. Διῴκει τι μὴ καλῶς] *Si rem familiarem dissiparet: si male tractaret familiam,* &c. Idem.

Καὶ αὐτὸ μὲν τοῦτο ὡς ἄξιός ἐστι μέμψεως καὶ κατηγορίας — τούτων ὧν ταῦτα ἐποίει, οὐχ ἐνῆν ἂν λέγειν] Emendavi, con-

ὡς δ' οὐ προσήκων ἢ ὡς οὐ κληρονόμος τούτων [1] ὧν ταῦτα
119 ἐποίει, οὐκ ἐνεῖναι λέγειν. εἰ δέ γε δοῦλος ἢ ὑποβολιμαῖος
τὰ μὴ προσήκοντα ἀπώλλυε καὶ ἐλυμαίνετο, Ἡράκλεις ὅσῳ μᾶλλον δεινὸν [2] καὶ ὀργῆς ἄξιον πάντες ἂν ἔφασαν εἶναι! ἀλλ' οὐχ ὑπὲρ Φιλίππου καὶ ὧν ἐκεῖνος πράττει νῦν, οὐχ οὕτως ἔχουσιν, οὐ μόνον οὐχ Ἕλληνος ὄντος οὐδὲ προσήκοντος οὐδὲν τοῖς Ἕλλησιν, ἀλλ' οὐδὲ βαρβάρου ἐντεῦθεν ὅθεν καλὸν εἰπεῖν, ἀλλ' ὀλέθρου Μακεδόνος, ὅθεν οὐδ' ἀνδράποδον σπουδαῖον οὐδὲν ἦν πρότερον πρίασθαι. καίτοι τί τῆς ἐσχάτης ὕβρεως ἀπολείπει; οὐ πρὸς τῷ πόλεις Ἑλληνίδας ἀνῃρηκέναι τίθησι μὲν τὰ Πύθια, τὸν κοινὸν τῶν Ἑλλήνων ἀγῶνα, κἂν αὐτὸς μὴ παρῇ, τοὺς δούλους ἀγωνοθετήσοντας πέμπει; κύριος δὲ Πυλῶν καὶ τῶν ἐπὶ τοὺς Ἕλληνας παρόδων ἐστί, καὶ φρουραῖς καὶ ξένοις τοὺς τόπους τούτους κατέχει; ἔχει δὲ καὶ τὴν προμαντείαν

[1] , ὧν [2] καὶ πολλῆς ὀργῆς

structione phraseos postulante. Ad ὧν sub. ἕνεκα, et totam phrasim sic ad verbum interpretare: *ob hoc quidem ipsum quod sit dignus vituperatione et accusatione, liceret dicere; sed quod non sit propinquus, vel quod non sit hæres eorum bonorum quorum* causa hæc faciebat (i. e. quæ consumebat, quæ dissipabat), *non liceret dicere.* Auger.

Μᾶλλον] Subaudi τοῦτο, quod velim addi. Idem.

Ἀλλ' οὐχ ὑπὲρ Φιλίππου] S. Græci jam non ita sentiunt de Philippo, et ejus actis. Græci Philippum hominem barbarum et subdititium, insultare impune sibi æquo animo patiuntur. Est accusatio ignaviæ Græcorum. Fel. et Manutius cum interrogatione legunt οὐχ οὕτως ἔχουσι; quam lectionem quanquam minus probo, subintelligi tamen potest, τὰ πράγματα. Nonne vero talis est Philippi conditio, id est, nonne merito habetur pro servo et subdititio, qui opes alienas perdit, et contumeliose grassatur? Sic enim exponendum est τὸ, τὰ μὴ προσήκοντα ἀπώλλυε καὶ ἐλυμαίνετο: τὰ μὴ προσήκοντα, id est, τὴν ἀλλοτρίαν οὐσίαν, *rem familiarem, cujus ipse legitimus hæres non est.* τὸ ἐλυμαίνετο non ad οὐσίαν refero: sed τοὺς ἀνθρώπους τοὺς ἐν τῷ οἴκῳ subintelligo. Atheniensibus et Lacedæmoniis hoc tantum tribuit, eos alicubi aberrasse in gerendo principatu: sed Philippum vastare Græciam, et contumeliose insultare Græcis ostendit. Wolf.

Οὐδὲ προσήκοντος οὐδὲν τοῖς Ἕλλησιν] Hic modum excedere videtur Orator, quo majorem hosti invidiam conflet. Nam Philippi majores Argis oriundi fuerunt, eaque ipsa de causa ad ludos Olympicos admissi. *Ex edit.* Stock.

Ὀλέθρου] *Perditi, perniciosi,* ἀντὶ τοῦ, ὀλεθρίου. Wolf.

Ὅθεν οὐδ' ἀνδράποδον] Hæc Macedonum laus esse potest. Ingenuus enim et magnus animus servilibus ministeriis parum aptus est. Idem.

Ἦν πρότερον] Sunt fatales mutationes imperiorum: neque fortuna solum nationum, sed et ingenia hominum mutantur. Quare Athenienses ignavi strenuos Macedones frustra calumniantur. Quod si desidiam suam et mollitiem accusare nollent, saltem Homericum illud usurparent [Il. Υ. 242.]

Ζεὺς ἀρετὴν ἄνδρεσσιν ὀφέλλει τε μινύθει τε.

Jupiter ipse viris animos facit, eripit idem.

Idem.

Τίθησι μὲν τὰ Πύθια] Ἀγωνοθετεῖ, ludis Pythicis præest, utpote princeps Amphictyonum. *Ex edit.* Stock.

Τοὺς δούλους ἀγωνοθετήσοντας πέμπει] Id est, *arbitros futuros et præsides, ut præsint certaminibus, et omnia moderentur ac regant.* παρὰ τὸ τίθεμαι, τὸ διατίθεμαι. hinc ἀγωνοθέται nomen, id est, *agonum præsides et judices,* οἱ τοὺς ἀγῶνας εὖ διατιθέμενοι, ut inquit Eustathius. *Ex edit.* Hervag.

Τὴν προμαντείαν] Μαντεία, *divinatio, ora-*

138 τοῦ θεοῦ, παρώσας ἡμᾶς καὶ Θετταλοὺς καὶ Δωριέας καὶ
τοὺς ἄλλους Ἀμφικτύονας, ἧς οὐδὲ τοῖς Ἕλλησιν ἅπασι
μέτεστι; γράφει δὲ Θετταλοῖς ὃν τινα χρὴ τρόπον πολι-
τεύεσθαι; πέμπει δὲ ξένους τοὺς μὲν εἰς Πορθμόν, τὸν
δῆμον ἐκβαλοῦντας τὸν Ἐρετριέων, τοὺς δ' ἐπ' Ὠρεόν, τύ-
ραννον [1] Φιλιστίδην καταστήσοντας; ἀλλ' ὅμως ταῦθ'
ὁρῶντες οἱ Ἕλληνες ἀνέχονται, καὶ τὸν αὐτὸν τρόπον, ὅν
περ οἱ τὴν χάλαζαν, ἔμοιγε δοκοῦσι θεωρεῖν, εὐχόμενοι
μὲν μὴ καθ' ἑαυτοὺς ἕκαστοι γενέσθαι, κωλύειν δὲ οὐδεὶς
ἐπιχειρῶν. οὐ μόνον δ' ἐφ' οἷς ἡ Ἑλλὰς ὑβρίζεται ὑπ'
αὐτοῦ οὐδεὶς ἀμύνεται, ἀλλ' οὐδ' ὑπὲρ ὧν αὐτὸς ἕκαστος
ἀδικεῖται· τοῦτο γὰρ ἤδη τοὔσχατόν ἐστιν. οὐ Κορινθίων
ἐπ' Ἀμβρακίαν ἐλήλυθε καὶ Λευκάδα; οὐκ Ἀχαιῶν Ναύ- 120
πακτον ἀφελόμενος ὀμώμοκεν Αἰτωλοῖς παραδώσειν; οὐχὶ
Θηβαίων Ἐχῖνον ἀφῄρηται; καὶ νῦν ἐπὶ Βυζαντίους πο-
ρεύεται συμμάχους ὄντας; οὐχ ἡμῶν — ἐῶ τἄλλα, ἀλλὰ
Χερρονήσου τὴν μεγίστην ἔχει πόλιν Καρδίαν; ταῦτα τοίνυν
πάσχοντες ἅπαντες μέλλομεν καὶ μαλακιζόμεθα καὶ πρὸς

[1] Φιλιστίδην τύραννον

culum. προμαντεία videtur τὴν πρωτομαντείαν *principem locum in accipiendis oraculis* significare. Exempli gratia, si Athenienses, Spartani, Thebani, etc. una cum Philippo simul oracula petiissent, primo loco Philippo responsa data essent. Wolf.

Τὴν προμαντείαν τοῦ θεοῦ] H. e. principem locum in consulendo Apollinis oraculo Delphico. Hoc privilegio auctus est Philippus loco Phocensium, quorum ille sacrilegium ultus fuerat. *Ex edit.* Stock.

Καὶ τοὺς ἄλλους Ἀμφικτύονας] Vide Suidam. Wolf.

Εἰς Πορθμὸν] Hesychius: *πορθμὸς, στενὸν θαλάσσης. ἐν μέσῳ τῆς γῆς διαπέραμα.* Idem. Porthmus erat Eubœæ urbs; nec non fretum, eam urbem et terram continentem interfluens. *Ex edit.* Stock.

Ἀλλ' ὅμως ταῦθ' ὁρῶντες οἱ Ἕλληνες ἀνέχονται] Conjunge ὁρῶντες ταῦτα, ἀνέχονται, scilicet τούτων. Wolf.

Οὐκ Ἀχαιῶν Ναύπακτον ἀφελόμενος] Hanc urbem non Achæi, sed Locri Ozolæ tum possidebant. Fortassis Orator eam ab Achæis ablatam esse dicit, eo quod Achæi cum Locris fœderati erant contra Ætolos, hostes eorum inveteratos. Naupactus, tunc tradita Ætolis, in eorum ditione usque permansit; et a Livio atque Polybio memoratur tanquam urbs Ætoliæ primaria. *Ex edit.* Stock.

Ἐχῖνον] Urbs Phthiotidis juxta sinum Maliacum. Fuit et alia ejusdem nominis in Acarnania. *Ibid.*

Καὶ νῦν ἐπὶ Βυζαντίους πορεύεται] Nondum Byzantium obsidione cinxerat. Namque Perinthum prius oppugnavit; atque inde pulsus, Byzantium aggressus est. Perinthum vero non attentaverat; quandoquidem inter ejus expeditiones hæc non recensetur. Forsan, quo averteret hostes, Byzantium se proficisci simulavit, cum alteram urbem occupare revera vellet. *Ibid.*

Μέλλομεν καὶ μαλακιζόμεθα καὶ πρὸς τοὺς πλησίον βλέπομεν] Sive potius ἀποβλέπομεν e Var. Lect. Hic in aliis libris olim lectum fuisse putem: *μαλκιῶμεν*, aut si mavelis *μαλκίομεν*· sensu elegantissimo: *desides et veluti torpore constricti nosmet invicem respicimus*, alteram tamen lectionem non sperno, quum et alibi *μαλακίαν* et *ῥᾳθυμίαν* civibus suis vitio verterit Demosthenes. Harpocrationis locum, mei si res esset arbitrii, ita refingerem: *μαλακιζόμεθα. Δημ·——μέλλομεν καὶ μαλακιζόμεθα· ἐν ἐνίοις γράφεται μαλκιῶμεν,*

τοὺς πλησίον ἀποβλέπομεν, ἀπιστοῦντες ἀλλήλοις, [1] οὐ
τῷ φανερῶς πάντας ἡμᾶς [2] ἀδικοῦντι. καίτοι τὸν ἅπασιν
ἀσελγῶς οὕτω χρώμενον τί οἴεσθε, ἐπειδὰν καθ' ἕνα ἡμῶν
ἑκάστου κύριος γένηται, [3] τί ποιήσειν;

ή. Τί οὖν αἴτιον τουτωνί; οὐ γὰρ ἄνευ λόγου καὶ 139
δικαίας αἰτίας οὔτε τόθ' οὕτως εἶχον ἑτοίμως πρὸς ἐλευ-
θερίαν ἅπαντες οἱ Ἕλληνες οὔτε νῦν πρὸς τὸ δουλεύειν. ἦν
τι τότ', ἦν, ὦ ἄνδρες Ἀθηναῖοι, ἐν ταῖς τῶν πολλῶν δια-
νοίαις, ὃ νῦν οὐκ ἔστιν, ὃ καὶ τοῦ Περσῶν ἐκράτησε πλού-
του καὶ ἐλευθέραν ἦγε τὴν Ἑλλάδα καὶ οὔτε ναυμαχίας
οὔτε πεζῆς μάχης οὐδεμιᾶς ἡττᾶτο, νῦν δ' ἀπολωλὸς
ἅπαντα λελύμανται καὶ ἄνω καὶ κάτω πεποίηκε τὰ τῶν
Ἑλλήνων πράγματα. τί οὖν ἦν τοῦτο; οὐδὲν ποικίλον οὐδὲ
σοφόν, [4] ἀλλ' ὅτι τοὺς παρὰ τῶν ἄρχειν ἀεὶ βουλομένων [5] ἢ
διαφθείρειν τὴν Ἑλλάδα χρήματα λαμβάνοντας ἅπαντες
ἐμίσουν, καὶ χαλεπώτατον ἦν τὸ δωροδοκοῦντα ἐξελεγχθῆ-
ναι, καὶ τιμωρίᾳ μεγίστῃ τοῦτον ἐκόλαζον, καὶ παραίτη-
σις οὐδεμία ἦν οὐδὲ συγγνώμη. τὸν οὖν καιρὸν ἑκάστου τῶν
πραγμάτων, ὃν ἡ τύχη καὶ τοῖς ἀμελοῦσι κατὰ τῶν προσ-
εχόντων καὶ τοῖς μηδὲν ἐθέλουσι ποιεῖν κατὰ τῶν πάντα
121 ἃ προσήκει πραττόντων πολλάκις παρασκευάζει, οὐκ ἦν
πρίασθαι παρὰ τῶν λεγόντων οὐδὲ τῶν στρατηγούντων,
οὐδὲ τὴν πρὸς ἀλλήλους ὁμόνοιαν, οὐδὲ τὴν πρὸς τοὺς
τυράννους καὶ [6] τοὺς βαρβάρους ἀπιστίαν, οὐδ' ὅλως τῶν
τοιούτων οὐδέν. νῦν δ' ἅπανθ' ὥσπερ ἐξ ἀγορᾶς ἐκπέπρα-
ται ταῦτα, ἀντεισῆκται δὲ ἀντὶ τούτων, ὑφ' ὧν ἀπόλωλε
καὶ νενόσηκεν ἡ Ἑλλάς. ταῦτα δ' ἐστὶ τί; ζῆλος, εἴ τις
εἴληφέ τι· γέλως, ἂν ὁμολογῇ· συγγνώμη τοῖς ἐλεγχομένοις·
μῖσος, ἂν τούτοις τις ἐπιτιμᾷ· τἄλλα πάνθ' ὅσα ἐκ τοῦ

[1] οὐ τῷ] οὕτω [2] ἀδικοῦντος [3] Deest τί. [4] ἀλλὰ τοὺς [5] ἢ [καὶ] διαφθείρειν
[6] τοὺς βαρβάρους καὶ τοὺς τυράννους

ὅπερ δηλοῖ τὸν ὄῤῥον φρίττειν. Nolim tamen super hac re a quoquam dissentire. *Valckenaer. Animadv. ad Ammon.* l. i. c. 9. p. 39.

ή. Οὔτε πεζῆς μάχης οὐδεμιᾶς ἡττᾶτο] Ἀντὶ τοῦ, ἐν πεζομαχίᾳ. WOLF.

Καὶ ἄνω καὶ κάτω πεποίηκε] Id est, *perturbavit, confudit, permiscuit, invertit omnia.* IDEM.

Ἀπιστίαν] Dicunt etiam, inquit Harpocratio, ἀπιστίαν pro ἀπείθειαν, ut Demosthenes in nona, i. e. in tertia vulgo dicta Philippicarum, aliique plures. AUGER.

Νῦν δ' ὥσπερ ἐξ ἀγορᾶς ἐκπέπραται] S. διὰ τῶν πωλούντων, ab ἐκπιπράσκω. WOLF.

Ἀπόλωλε καὶ νενόσηκε] Ἀπόλωλε gravius cum sit, antecedit, sed νενόσηκε sequitur, ut significet et principium mali et exitium a corruptelis profectum. IDEM.

δωροδοκεῖν ἤρτηται. [1]ἐπεὶ τριήρεις γε καὶ σωμάτων πλῆθος
καὶ χρημάτων πρόσοδοι καὶ τῆς ἄλλης κατασκευῆς ἀφθονία
καὶ τἄλλα, οἷς ἄν τις ἰσχύειν τὰς πόλεις κρίνοι, νῦν ἅπαν-
τα καὶ πλείω καὶ μείζω ἐστὶ τῶν τότε πολλῷ· ἀλλ'
140 ἅπαντα ταῦτ' ἄχρηστα, ἄπρακτα, ἀνόνητα ὑπὸ τῶν
πωλούντων γίγνεται.

θ'. Ὅτι δ' οὕτω ταῦτ' ἔχει, τὰ μὲν νῦν ὁρᾶτε δήπου
καὶ οὐδὲν ἐμοῦ προσδεῖσθε μάρτυρος, τὰ δ' ἐν τοῖς ἄνωθεν
χρόνοις ὅτι τἀναντία τούτων εἶχεν, ἐγὼ δηλώσω, οὐ λόγους
ἐμαυτοῦ λέγων, ἀλλὰ γράμματα τῶν προγόνων τῶν
ὑμετέρων δεικνύων, ἃ ἐκεῖνοι κατέθεντο εἰς στήλην χαλ-
κῆν γράψαντες εἰς ἀκρόπολιν, οὐχ ἵν' αὐτοῖς ᾖ χρήσι-
μα—καὶ γὰρ ἄνευ τούτων τῶν γραμμάτων τὰ δέοντα
ἐφρόνουν—ἀλλ' ἵν' ὑμεῖς ἔχητε ὑπομνήματα καὶ παρα-
δείγματα, ὡς ὑπὲρ τῶν τοιούτων σπουδάζειν προσήκει. τί
οὖν λέγει τὰ γράμματα; Ἄρθμιος, φησίν, ὁ Πυθώνακτος
ὁ Ζελείτης ἄτιμος ἔστω καὶ πολέμιος τοῦ δήμου τοῦ
Ἀθηναίων καὶ τῶν συμμάχων αὐτὸς καὶ γένος. εἶθ' ἡ
αἰτία [2]γέγραπται δι' ἣν ταῦτ' ἐγένετο· ὅτι τὸν χρυσὸν 122
τὸν [3]ἐκ Μήδων εἰς Πελοπόννησον [4]ἤγαγε. ταῦτ' ἐστὶ τὰ

[1] ἐπεὶ καὶ τριήρεις [2] προσγέγραπται δι' ἣν † τοῦτ' [3] ἐκ τῶν Μήδων
[4] ἤγαγεν, οὐκ Ἀθήναζε. ταῦτ'

θ'. Ἃ ἐκεῖνοι κατέθεντο, εἰς στήλην χαλκῆν γράψαντες, εἰς ἀκρόπολιν] Ἃ γράμματα κατέθεντο εἰς ἀκρόπολιν, γράψαντες εἰς στήλην χαλκῆν. Idem. Vid. Meurs. Cecrop. c. 29.

Ἄρθμιος] Hujusce rei causa altius repetenda est. Artaxerxes Longimanus, Atheniensibus infensus, eo quod Ægyptios rebelles adjuverant, in Peloponnesum misit Megabyzum aliosque, qui muneribus Lacedæmonios ad arma Athenis inferenda concitarent. Hi autem regi morem gerere noluerunt. Arthmius (ut videtur) huic se ministerio immiscuerat; et quanquam non sit palam nominatus, iis est annumerandus, quos emissarios regis vocat Diodorus. Decretum quidem illud Themistoclem scripsisse testatur in ejus vita Plutarchus. *Ex edit.* Stock.

Ἄρθμιος, φησὶν, ὁ Πυθώνακτος ἄτιμος ἔστω] Ἄτιμον vocat, quem Latini *intestabilem*, ut Horatius, pro *detestabili*. et Plin. lib. 30. de arte magica, ‘proinde persuasum sit eam intestabilem, irritam, inanem esse,’ &c. Ut autem intelligamus duplicem fuisse ἀτιμίαν, hoc est, minorem et majorem, subdit Demosthenes, τοῦτο δ' ἐστὶν οὐχ ἣν ἂν οὑτωσί τις φήσειεν ἀτιμίαν. τί γὰρ τῷ Ζελείτῃ τοῦτ' ἔμελεν, εἰ τῶν Ἀθήνησι κοινῶν μὴ μεθέξειν ἔμελλεν. Et rursus verba legis de cædibus latæ referens, ἄτιμος, φησὶ, τεθνάτω. τοῦτο δὴ λέγει, καθαρὸν τὸν τούτων τινὰ ἀποκτείναντα εἶναι. καθαροὶ autem dicebantur, qui ob cædem perpetratam impiatas manus habere non censebantur, qui etiam εὐαγεῖς atque ὅσιοι appellabantur. Verba legis Solonis apud Andocidem exstant, ὁ δὲ ἀποκτείνας τὸν ταῦτα ποιήσαντα, ὅσιος ἔστω καὶ εὐαγής: quæ verba Orator interpretans, καθαρὸς ἔστω τὰς χεῖρας, inquit. Plura Budæus in Comment. *Ex edit.* Hervag. Vid. Notas ad Plutarchi Themist. init. MS. de ἄτιμος v. Harpocr. et Abresch. ad Æschylum 2. 21. Taylor. Vid. quoque Petit. Comment. in Leg. Att. l. viii. tit. iv. §. viii.

Ἐκ Μήδων] H. e. a Persis, qui a vetustioribus Persæ et Medi, nullo discrimine, appellati sunt. *Ex edit.* Stock.

γράμματα. λογίζεσθε δὴ [1] πρὸς θεῶν καὶ θεωρεῖτε παρ'
ὑμῖν αὐτοῖς, τίς ἦν ποθ' ἡ διάνοια τῶν [2] τότε Ἀθηναίων τῶν
ταῦτα ποιούντων ἢ τί τὸ ἀξίωμα. ἐκεῖνοι Ζελείτην τινὰ
Ἄρθμιον, δοῦλον βασιλέως—ἡ γὰρ Ζέλειά ἐστι τῆς
Ἀσίας—, ὅτι τῷ δεσπότῃ διακονῶν χρυσίον ἤγαγεν εἰς 141
Πελοπόννησον, οὐκ Ἀθήναζε, ἐχθρὸν αὐτῶν ἀνέγραψαν καὶ
τῶν συμμάχων αὐτὸν καὶ γένος, καὶ [3] ἀτίμους. τοῦτο δ'
ἐστὶν οὐχ ἣν ἄν οὑτωσί τις φήσειεν ἀτιμίαν· τί γὰρ τῷ
Ζελείτῃ τοῦτ' ἔμελεν, εἰ τῶν Ἀθήνῃσι κοινῶν μὴ μεθέξειν
ἔμελλεν; ἀλλ' οὐ τοῦτο λέγει, ἀλλ' ἐν τοῖς φονικοῖς γέ-
γραπται νόμοις, ὑπὲρ ὧν ἂν μὴ διδῷ [δίκας] φόνου δικά-
σασθαι, ἀλλ' εὐαγὲς ᾖ τὸ ἀποκτεῖναι, καὶ ἄτιμος,
φησί, τεθνάτω· τοῦτο [4] δὴ λέγει, καθαρὸν τὸν τούτων τινὰ
ἀποκτείναντα εἶναι. οὐκοῦν ἐνόμιζον ἐκεῖνοι τῆς ἁπάντων
τῶν Ἑλλήνων σωτηρίας [5] αὑτοῖς ἐπιμελητέον εἶναι· οὐ γὰρ ἂν
αὐτοῖς ἔμελεν, εἴ τις ἐν Πελοποννήσῳ τινὰς ὠνεῖται [6] καὶ
διαφθείρει, μὴ τοῦθ' ὑπολαμβάνουσιν· ἐκόλαζον δ' οὕτω
καὶ ἐτιμωροῦντο [7] οὓς αἴσθοιντο δωροδοκοῦντας, ὥστε καὶ
στηλίτας ποιεῖν. ἐκ δὲ τούτων εἰκότως τὰ τῶν Ἑλλήνων
ἦν τῷ βαρβάρῳ φοβερά, οὐχ ὁ βάρβαρος τοῖς Ἕλλησιν.
ἀλλ' οὐ νῦν· οὐ γὰρ οὕτως ἔχεθ' ὑμεῖς οὔτε πρὸς τὰ τοιαῦ-

[1] πρὸς Διὸς καὶ θεῶν [2] ποτε [3] ἀτίμους εἶναι. τοῦτο [4] δὲ [5] αὐτοῖς [6] καὶ] ἢ [7] οὓς ἂν αἴσθοιντο

Ἢ τί τὸ ἀξίωμα] *Dignitatem* hic appellat, magnifica facta, tanta republica digna. Wolf.

Ζέλεια] Urbs Troadis, Idæ monti subjacens, cujus meminit Homerus, Il. Δ. 103. *Tourrell.* Stock.

Οὐκ Ἀθήναζε] Homines, qui lucro metiuntur omnia, suspicari queant, Arthmium ideo proscriptum, quod Lacedæmoniis potius, quam Atheniensibus, aurum attulisset. Verum sententia Demosth. plana et perspicua est: Athenienses dedisse operam, tanquam Græcorum principes, ne qui barbarico auro corrumperentur, etiam extra Atticam. Wolf.

Τοῦτο δ' ἐστὶν, οὐχ ἣν] *Ea vero est non simplex ignominia*, id est, alia est ejus ignominiæ ratio, quam qua cives notantur. intricata hæc sunt: verba sic ordina: τοῦτο δὲ [S. τὸ ἄτιμον εἶναι] οὐκ ἔστιν [S. ἀτιμία], ἣν ἀτιμίαν τις οὑτωσὶ ἂν φήσειεν. Postea in parenthesi (τί γὰρ τῷ Ζελείτῃ τοῦτ' ἔμελεν, εἰ τῶν Ἀθήνῃσι κοινῶν μὴ μεθέξειν ἔμελλε;) ἀλλ' οὐ τοῦτο λέγει [S. τὸ γράμμα] *non ea verborum sententia est*, ἀλλ' ἐν τοῖς φονικοῖς [S. νόμοις] γέγραπται, ὑπὲρ ὧν [S. ἐγκλημάτων τὶς] ἂν μὴ διδῷ δίκας φόνου δικάσασθαι [S. δεῖν], ἀλλ' εὐαγὲς [τουτέστιν, ὅσιον ἦν καὶ ἐφεῖτο] ἀποκτεῖναι [S. τὸν μὴ δόντα δίκας]. Unde id constat? καὶ ἄτιμός φησι, [S. ὁ φονικὸς νόμος] τεθνάτω, pro ὁ ἄτιμος. Alias τὸ, ἄτιμος τεθνάτω, denegata restitutione in integrum possit intelligi. Sententia est: Non simplex est illa ignominia, sed capitalis. Nobis in mutilatis vetustissimarum legum citationibus satis esse debet, qualemcunque afferre sententiam, imo condonandum in hujusmodi locis videtur interpreti, etiamsi neglectis verbis consentaneum sensum attulerit. Idem.

Διδῷ δίκας] Np. ὁ δῶρα δοὺς ἢ λαβών. Auger.

Οὐ γὰρ ἂν αὐτοῖς ἔμελεν μὴ τοῦθ' ὑπολαμβάνουσι] Εἰ μὴ τοῦθ' ὑπελάμβανον. Wolf.

Ὥστε καὶ στηλίτας ποιεῖν] Ὥστε ἐγγράψαι τὰ ὀνόματα αὐτῶν ἐν στήλαις, ὡς κακούργων καὶ καταδικασθέντων. Idem.

τα οὔτε πρὸς [1] τἆλλα, ἀλλὰ πῶς; ἴστε αὐτοί· τί γὰρ δεῖ
περὶ πάντων ὑμῶν [2] κατηγορεῖν; παραπλησίως δὲ καὶ
οὐδὲν βέλτιον [3] ὑμῶν ἅπαντες οἱ λοιποὶ Ἕλληνες. διόπερ 123
φημὶ ἔγωγε καὶ σπουδῆς πολλῆς καὶ βουλῆς ἀγαθῆς τὰ
παρόντα πράγματα προσδεῖσθαι. τίνος εἴπω; κελεύετε
καὶ οὐκ ὀργιεῖσθε;

[4] ΕΚ ΤΟΥ ΓΡΑΜΜΑΤΕΙΟΥ ΑΝΑΓΙΓΝΩΣΚΕΙ.

142 ί. Ἔστι τοίνυν τις εὐήθης λόγος παρὰ τῶν παραμυθεῖ-
σθαι βουλομένων τὴν πόλιν, ὡς ἄρα οὔπω Φίλιππός ἐστι
τοιοῦτος, οἷοί ποτ᾿ ἦσαν Λακεδαιμόνιοι, οἳ θαλάττης μὲν
ἦρχον καὶ γῆς ἁπάσης, βασιλέα δὲ σύμμαχον εἶχον, ὑφί-
στατο δ᾿ οὐδεὶς αὐτούς· ἀλλ᾿ ὅμως ἠμύνατο κἀκείνους ἡ
πόλις καὶ οὐκ ἀνηρπάσθη. ἐγὼ δὲ ἁπάντων ὡς ἔπος εἰπεῖν
πολλὴν εἰληφότων ἐπίδοσιν, καὶ οὐδὲν ὁμοίων ὄντων τῶν νῦν
τοῖς πρότερον, οὐδὲν ἡγοῦμαι πλέον ἢ τὰ τοῦ πολέμου κεκι-
νῆσθαι καὶ ἐπιδεδωκέναι. πρῶτον μὲν γὰρ ἀκούω Λακεδαι-
μονίους τότε καὶ πάντας [5] τοὺς Ἕλληνας τέτταρας μῆνας
ἢ πέντε, τὴν ὡραίαν αὐτήν, [6] [στρατεύεσθαι, καὶ τοῦτον τὸν

[1] τὰ ἄλλα [2] κατηγορεῖν; καὶ παραπλησίως [3] ὑμῶν, καὶ ἅπαντες
[4] ἐκ τοῦ γραμματείου ἀναγίνωσκε: quæ ipsi dantur oratori. [5] τοὺς ἄλλους Ἕλλενας
[6] Absunt unci.

Ἕλληνες] Subaudi ἔχουσι vel διάκεινται. Auger.

Τίνος εἴπω] Scilicet βουλῆς. Wolf.

ί. Βασιλέα δὲ σύμμαχον εἶχον] Athenienses, male re gesta in Sicilia, respirare tamen potuissent, ni adversatus esset iis Artaxerxes Nothus, qui cum Lacedæmoniis, Tissaphernis ministerio, societatem inierat. Non multum quidem exinde virium Lacedæmoniis accessit primum. Tandem vero, cum Cyrus minor Asiæ præfectus esset, Lysander, qui gratia apud eum plurimum valebat, adeo viribus auctus est, ut facile Athenas subjugaret. *Ex edit.* Stock.

Ὑφίστατο δ᾿ οὐδὲν αὐτοὺς] Id est, ἀνυπόστατοι ἦσαν, καὶ πάντων ἐκράτουν: *quibus nihil obsistebat. contra quos nemo arma movere, nemo se defendere audebat.* οἳ δύναμιν ἀνυπόστατον ἔχειν ἐδόκουν. Wolf.

Εἰληφότων ἐπίδοσιν] Cujusmodi incrementa? Non tam virtutis et potentiæ, quam vitiorum et ignaviæ. Idem.

Ὑποδεδωκέναι] Felicianus cum Obsopœo legit ἐπιδεδωκέναι, haud sane incommode. Sed illa rei bellicæ incrementa quæ fuerunt? perfidia et proditiones et assiduitas Philippi. Idem.

Τέτταρας μῆνας ἢ πέντε] In æstiva se recipere, haud secus ac in hyberna, soliti sunt exercitus in bello Pelop. Itaque Thucydides, eumque secutus Usserius, annos ejus belli per æstates et hyemes computant. *Ex edit.* Stock.

Τὴν ὡραίαν αὐτὴν] Tametsi me formulam hanc alibi legisse non memini, nec apud auctores, nec in ullis Lexicis explicatam, tamen quia ex collatione ejus, quod sequitur, καὶ σιωπῶ θέρος καὶ χειμῶνα ὡς οὐδὲν διαφέρει, οὐδ᾿ ἔστιν ἐξαίρετος ὥρα τις, ἣν διαλείπει· satis intelligitur, αὐτὴν τὴν ὡραίαν, *ipso belli gerendi opportuno tempore*, id est, æstivo, aut etiam verno, intelligi debere. Nam τὸ ὡραῖον *maturum et tempestivum* est, apud Thucydidem lib. 1. χαλεπωτέραν ἕξουσι τὴν κατακομιδὴν τῶν ὡραίων· et apud eundem æstivo tempore susceptas esse expeditiones, subinde legitur, ut lib. 4. τοῦ δ᾿ ἐπιγιγνομένου θέρους περὶ σίτου ἐκβολήν. et 2. ἅμα ἦρι ἀρχομένῳ, et, τοῦ δὲ θέρους εὐθὺς ἀρχομένου οἱ Πελοποννήσιοι, etc. Wolf. Ipsam solummodo tempestatem

χρόνον] ἐμβαλόντας ἂν καὶ κακώσαντας τὴν τῶν ἀντιπάλων
χώραν ὁπλίταις καὶ πολιτικοῖς στρατεύμασιν ἀναχωρεῖν ἐπ᾽
οἴκου πάλιν· οὕτω δ᾽ ἀρχαίως εἶχον, μᾶλλον δὲ πολιτικῶς,
ὥστε οὐδὲ χρημάτων ὠνεῖσθαι παρ᾽ οὐδενὸς οὐδέν, ἀλλ᾽ εἶ- 143
ναι νόμιμόν τινα καὶ προφανῆ τὸν πόλεμον. νυνὶ δ᾽ ὁρᾶτε
μὲν δήπου τὰ πλεῖστα τοὺς προδότας ἀπολωλεκότας, οὐ-
δὲν δ᾽ ἐκ παρατάξεως [1] οὐδὲ μάχης γιγνόμενον· ἀκούετε δὲ
Φίλιππον οὐχὶ τῷ φάλαγγας ὁπλιτῶν ἄγειν βαδίζονθ᾽
ὅποι βούλεται, ἀλλὰ τῷ ψιλούς, ἱππέας, τοξότας, ξένους,
τοιοῦτον ἐξηρτῆσθαι στρατόπεδον. ἐπειδὰν δὲ τούτοις κρα-
124 τῶν πρὸς νοσοῦντας ἐν [2] αὑτοῖς προσπέσῃ καὶ μηδεὶς ὑπὲρ
τῆς χώρας δι᾽ ἀπιστίαν ἐξίῃ, μηχανήματ᾽ ἐπιστήσας πο-
λιορκεῖ. καὶ σιωπῶ θέρος καὶ χειμῶνα, ὡς οὐδὲν αὐτῷ δια-
φέρει, οὐδ᾽ ἔστιν ἐξαίρετος ὥρα τις ἣν διαλείπει. ταῦτα
μέντοι πάντας εἰδότας δεῖ καὶ λογιζομένους μὴ προσέσθαι
τὸν πόλεμον εἰς τὴν χώραν, μηδ᾽ εἰς τὴν εὐήθειαν τὴν τοῦ
τότε πρὸς Λακεδαιμονίους πολέμου βλέποντας ἐκτραχη-
λισθῆναι, ἀλλ᾽ ὡς ἐκ πλείστου φυλάττεσθαι τοῖς πρά-
γμασι καὶ ταῖς παρασκευαῖς, ὅπως οἴκοθεν μὴ κινήσεται

[1] οὐδ᾽ ἐκ μάχης γινόμενον

[2] αὐτοῖς καὶ τεταραγμένους προσπέσῃ

bellicis expeditionibus maxime opportunam. *Ex edit.* Stock.

Ὁπλίταις καὶ πολιτικοῖς στρατεύμασι] *Gravis armaturæ militibus et civilibus exercitibus*, id est, in quibus ipsi cives militarent. Wolf.

Ὁπλίταις] Gravis armaturæ milites, agris vastandis non æque idonei ac equites. *Ex edit.* Stock.

Ἀρχαίως εἶχον] Id est, tanta erat eorum simplicitas, vel potius civilitas, id est, integritas. Wolf. ἀρχαίως, inquit Harpocratio ad hanc vocem, Demosthenes Philippicis, idem ac ἁπλῶς. Auger.

Μᾶλλον δὲ πολιτικῶς] I. e. gesta fuerunt eorum bella non minus legitime, quam disceptantur lites civium in foro. Itaque refertur τὸ νόμιμον ad τὸ πολιτικῶς, et τὸ προφανῆ ad ἀρχαίως. *Ex edit.* Stock.

Ἀπολωλεκότας] Hic ἀποδεδωκότας reponendum quis dubitabit, qui vel hæc proxime præcedentia legerit: οὕτω δ᾽ ἀρχαίως — πόλεμον. Lacedæmonii, inquit, proditorum operam in bello non redimebant, nec fraude ulla utebantur: at Philippus, qui nihil non pecunia vendunt, proditores permultos habet, per quos bellum parvo negotio conficiat. *G. Canter. Nov. Lectt.* l. viii. c. 2. *Grut. Thes. Crit.* t. iii. p. 681.

Τῷ ψιλοὺς, ἱππέας, τοξότας, ξένους] In singulis vocibus puto interpungendum. Wolf. Recte. Universum exercitum in duas partes tribuebant Græci, ὁπλίτας et ψιλούς. Ψιλοῖς accensebantur equites, sagittarii, milites peregrini. Consule Potter. l. 3. c. 3. Stock.

Ἐξηρτῆσθαι] Ab ἐξαρτάομαι. Sed lego ἐξηρτῦσθαι, ab ἐξαρτύομαι, *instructum esse*, per *υ* in penultima. Wolf.

Οὐδ᾽ ἔστιν ἐξαίρετος] Nullas ferias agit, nunquam cessat. Idem. Nullum seponit eximium tempus ad otium et voluptatem; sed oblatam agendi occasionem nunquam non arripit. *Ex edit.* Stock.

Μηδ᾽ εἰς τὴν εὐήθειαν] Quia sine proditionibus, et statis anni temporibus ea bella gerebantur, hoc nomine utitur. καίτοι καὶ τοῦ Περικλέους ιέ τάλαντα εἰς δέον ἀνηλωκέναι φήσαντος· Ἀρχίδαμος ἔφυγε προδοσίας, ὥς φασιν οἱ ῥήτορες. Wolf.

Ἐκτραχηλισθῆναι] Exponit Phavorinus, ἐκπεσεῖν τῶν ἵππων. Metaphora est ab incauto sessore, quem alio oculos avertentem equus per caput effundit. Stock.

σκοποῦντας, οὐχὶ συμπλακέντας διαγωνίζεσθαι. πρὸς μὲν γὰρ πόλεμον πολλὰ φύσει πλεονεκτήμαθ᾽ ἡμῖν ὑπάρχει, ἄν περ, ὦ ἄνδρες Ἀθηναῖοι, ποιεῖν ἐθέλωμεν ἃ δεῖ, ἡ φύσις
144 τῆς ἐκείνου χώρας, ἧς ἄγειν καὶ φέρειν ἔστι πολλὴν καὶ κακῶς ποιεῖν, ἄλλα μυρία· εἰς δὲ ἀγῶνα ἄμεινον ἡμῶν ἐκεῖνος ἤσκηται.

ιά. Οὐ μόνον δὲ ταῦτα χρὴ γιγνώσκειν, οὐδὲ τοῖς ἔργοις ἐκεῖνον ἀμύνεσθαι τοῖς τοῦ [1] πολέμου, ἀλλὰ καὶ τῷ λογισμῷ καὶ τῇ διανοίᾳ τοὺς παρ᾽ ὑμῖν ὑπὲρ αὐτοῦ λέγοντας μισῆσαι, ἐνθυμουμένους ὅτι οὐκ ἔνεστι τῶν ἔξω τῆς πόλεως ἐχθρῶν κρατῆσαι, πρὶν ἂν τοὺς ἐν αὐτῇ τῇ πόλει κολάσητε ὑπηρετοῦντας [2] ἐκείνοις. ὃ μὰ τὸν Δία καὶ τοὺς ἄλλους θεούς! οὐ δύνασθε ὑμεῖς ποιῆσαι οὐδὲ βούλεσθε, ἀλλ᾽ εἰς τοῦτο ἀφῖχθε μωρίας ἢ παρανοίας ἢ οὐκ ἔχω τί λέγω — πολλάκις γάρ ἔμοιγ᾽ ἐπελήλυθε καὶ τοῦτο φοβεῖσθαι, μή τι δαιμόνιον τὰ πράγματα ἐλαύνῃ —, ὥστε λοιδορίας ἢ φθόνου ἢ σκώμματος ἢ ἧς τινὸς ἂν τύχητε ἕνεκ᾽ αἰτίας ἀνθρώπους μισθωτούς, ὧν οὐδ᾽ ἂν ἀρνηθεῖεν ἔνιοι ὡς οὐκ εἰσὶ τοιοῦτοι,

[1] πολέμου χρὴ, ἀλλὰ [2] ἐκείνῳ· ὃ οὐ μὰ

Πρὸς πόλεμον, etc. *εἰς ἀγῶνα*, etc.] *Πόλεμος bellum*, etiam cum non conseruntur manus. *ἀγὼν prœlium, conflictus.* hoc discrimen servat Demosthenes etiam in oratione *περὶ συμμοριῶν·* ubi dicit: *τὸν μὲν πρὸς Πέρσας πόλεμον χαλεπόν· τὸν δ᾽ ἐκ τοῦ πολέμου ἀγῶνα ῥᾴδιον ἂν ἐσόμενον·* inversa quodammodo hac sententia, ob diversum genus hostium. WOLF.

Πολλὰ, etc. *ἡ φύσις*, etc. *ἄλλα μυρία*] Πολλὰ generale est. *ἡ φύσις ἐξηγητικῶς* subjicitur. *ἄλλα μυρία, ὑπερβολικῶς.* Nam si illa enumeranda essent, fortasse vix unam atque alteram commoditatem addere potuisset. IDEM. Etsi Athenienses amiserant Amphipolim, Pydnam, et Potidæam, restabant tamen iis Lemnos, Thasus, aliæque Maris Ægæi insulæ, unde in Philippi regnum impetum facere possent; præsertim cum plurimum mari pollerent. *Ex edit.* STOCK.

ιά. Μή τι δαιμόνιον] Plane vates hic est Demosthenes. Vidit fatalem esse Græciæ stultitiam Demosthenes, et imminere patriæ servitutem: et tamen adversandum esse duxit, dum ulla salutis spes superesset. Neque dubium est, quin vir patriæ amantissimus, summum ex ea re dolorem ceperit. Alii oscitabundi fuerunt eo feliciores.

Ἐν τῷ φρονεῖν γὰρ μηδὲν ἥδιστος βίος·
Τὸ μὴ φρονεῖν γὰρ κάρτ᾽ ἀνώδυνον κακόν.

Sed in multa sapientia multa est afflictio, et viri prudentes, longeque in posterum prospicientes, magis anguntur, cum ex moribus hominum de futuris eventibus divinant: unde perquam eleganter Ovid. nec minus vere,

'Augurium ratio est et conjectura futuri:
Hac divinavi notitiamque tuli.'

De Philippo etiam Isocrates sic scribit: *ἡγοῦμαι δὲ καὶ τὰ πεπραγμένα πρότερον οὐκ ἄν ποτέ σοι γενέσθαι τηλικαῦτα τὸ μέγεθος, εἰ μή τις τῶν θεῶν αὐτὰ συγκατώρθωσεν.* WOLF. Unicuique homini, atque etiam loco, duos tribuerunt antiqui genios, bonum et malum. Hunc et *κακοδαίμονα* et *ἀλάστορα* vocarunt; eumque consilium iis eripere qui perituri erant, invaluit opinio; juxta adagium, *quos Jupiter vult perdere, prius dementat.* Cæterum hic notandum, quam vere de fato patriæ imminente vaticinatus sit Demosthenes. *Ex edit.* STOCK.

Ὥστε λοιδορίας] Vide levitatem vulgi. Fel. post *σκώμματος* recte addidit *ἕνεκ᾽* subintellecto *τὸ ἤ.* WOLF.

125 λέγειν κελεύετε, καὶ γελᾶτε, ἄν τισι λοιδορηθῶσι. καὶ οὐχί πω [1] τοῦτο δεινόν, καίπερ ὂν δεινόν· ἀλλὰ καὶ μετὰ πλείονος ἀσφαλείας πολιτεύεσθαι δεδώκατε τούτοις ἢ τοῖς ὑπὲρ ὑμῶν λέγουσι. καίτοι θεάσασθε, ὅσας συμφορὰς παρασκευάζει τὸ τῶν τοιούτων ἐθέλειν ἀκροᾶσθαι. λέξω δ' ἔργα, ἃ πάντες εἴσεσθε.

ιβ'. Ἦσαν ἐν Ὀλύνθῳ τῶν ἐν τοῖς πράγμασι τινὲς [2] μὲν Φιλίππου καὶ πάνθ' ὑπηρετοῦντες ἐκείνῳ, τινὲς δὲ τοῦ βελτίστου, καὶ ὅπως μὴ [3] δουλεύσουσιν οἱ πολῖται πράττοντες. πότεροι δὴ τὴν πατρίδα ἀπώλεσαν, ἢ πότεροι τοὺς ἱππέας προὔδοσαν, ὧν προδοθέντων Ὄλυνθος ἀπώλετο; οἱ τὰ Φιλίππου φρονοῦντες καὶ ὅτ' ἦν ἡ πόλις τοὺς τὰ βέλτιστα λέγοντας συκοφαντοῦντες καὶ διαβάλλοντες οὕτως, ὥστε τόν γ' Ἀπολλωνίδην καὶ ἐκβαλεῖν ὁ δῆμος ὁ τῶν Ὀλυνθίων ἐπείσθη. οὐ τοίνυν παρὰ τούτοις μόνοις τὸ ἔθος τοῦτο πάντα κακὰ εἰργάσατο, ἄλλοθι δ' οὐδαμοῦ· ἀλλ' ἐν Ἐρετρίᾳ, [4] ἐπειδὴ ἀπαλλαγέντος Πλουτάρχου καὶ τῶν ξένων ὁ δῆμος εἶχε τὴν πόλιν καὶ τὸν Πορθμόν, οἱ μὲν ἐφ' ὑμᾶς ἦγον τὰ πράγματα, οἱ δ' ἐπὶ Φίλιππον. ἀκούοντες δὲ τούτων τὰ πολλά, μᾶλλον δὲ τὰ πάντα οἱ ταλαίπωροι καὶ δυστυχεῖς Ἐρετριεῖς τελευτῶντες ἐπείσθησαν τοὺς ὑπὲρ [5] αὑτῶν λέγοντας ἐκβαλεῖν. καὶ γάρ τοι πέμψας Ἱππόνικον ὁ σύμμαχος καὶ φίλος αὐτοῖς Φίλιππος καὶ ξένους χιλίους, τὰ τείχη περιεῖλε τοῦ Πορθμοῦ καὶ τρεῖς κατέστησε τυράννους, Ἵππαρχον, Αὐτομέδοντα, Κλείταρχον· καὶ μετὰ ταῦτ' ἐξελήλακεν ἐκ τῆς χώρας δὶς ἤδη
126 βουλομένους σώζεσθαι, τοτὲ μὲν πέμψας τοὺς μετ' Εὐρυλόχου ξένους, πάλιν δὲ τοὺς μετὰ Παρμενίωνος.

ιγ'. Καὶ τί δεῖ τὰ πολλὰ λέγειν; ἀλλ' ἐν Ὠρεῷ [6] Φιλιστίδης μὲν ἔπραττε Φιλίππῳ καὶ Μένιππος καὶ Σωκράτης καὶ Θόας καὶ Ἀγαπαῖος, οἵπερ νῦν ἔχουσι τὴν

[1] τοῦτό πω [2] μὲν τὰ Φιλίππου φρονοῦντες καὶ [3] δουλεύσωσιν
[4] ἐπειδή γε ἀπαλλαγέντος [5] αὐτῶν [6] Φιλιστείδης

ιβ'. Τῶν ἐν τοῖς πράγμασι] Scilicet ὄντων. M. ἐπὶ, hoc est, τῶν πολιτευομένων καὶ στρατηγούντων τινές. v. 19. ἀκούοντες δὲ τούτων τὰ πολλά. Idem. Lege ἀκούοντες δὲ τούτων τὰ πολλά. Obsopœus.

Τὰ τείχη περιεῖλε τοῦ Πορθμοῦ] Freti portus muniti utique fuerunt. Wolf.

Ἤδη βουλομένους σώζεσθαι] Scilicet τοὺς Ἐρετριεῖς, cum jam tandem sero sapere vellent. Fortasse cum expeterent amici-

πόλιν — καὶ ταῦτ' ᾔδεσαν ἅπαντες — , Εὐφραῖός δέ τις,
ἄνθρωπος καὶ παρ' [1]ἡμῖν ποτ' ἐνθάδε οἰκήσας, ὅπως ἐλεύ-
θεροι καὶ μηδενὸς δοῦλοι ἔσονται. οὗτος τὰ μὲν ἄλλα ὡς
ὑβρίζετο καὶ [2]προὐπηλακίζετο ὑπὸ τοῦ [3]δήμου, πολλὰ ἂν
εἴη λέγειν· ἐνιαυτῷ δὲ πρότερον τῆς ἁλώσεως ἐνέδειξεν ὡς
προδότην τὸν [4]Φιλιστίδην καὶ τοὺς μετ' αὐτοῦ, αἰσθόμενος
ἃ πράττουσι. συστραφέντες δὲ ἄνθρωποι πολλοί, καὶ χορη-
γὸν ἔχοντες Φίλιππον καὶ πρυτανευόμενοι παρ' ἐκείνου,
ἀπάγουσι τὸν Εὐφραῖον εἰς τὸ δεσμωτήριον ὡς συνταράτ-
146 τοντα τὴν πόλιν. ὁρῶν δὲ ταῦθ' ὁ δῆμος ὁ τῶν Ὠρειτῶν
ἀντὶ τοῦ τῷ μὲν βοηθεῖν, τοὺς δ' ἀποτυμπανίσαι τοῖς μὲν
οὐκ ὠργίζετο, τὸν δ' ἐπιτήδειον εἶναι ταῦτα παθεῖν ἔφη
καὶ ἐπέχαιρε. μετὰ ταῦθ' οἱ μὲν ἐπ' ἐξουσίας ὁπόσης
ἠβούλοντο ἔπραττον ὅπως ἡ πόλις ληφθήσεται, καὶ κατε-
σκευάζοντο τὴν πρᾶξιν· τῶν δὲ πολλῶν εἴ τις αἴσθοιτο,
ἐσίγα καὶ κατεπέπληκτο, τὸν Εὐφραῖον, οἷα ἔπαθε,
μεμνημένος. οὕτω δ' ἀθλίως διέκειντο [5][τῷ φόβῳ], ὥστε
οὐ πρότερον ἐτόλμησεν οὐδεὶς τοιούτου κακοῦ προσιόντος
ῥῆξαι φωνήν, πρὶν διασκευασάμενοι πρὸς τὰ τείχη προσ-
ῄεσαν οἱ πολέμιοι· τηνικαῦτα δ' οἱ μὲν ἠμύνοντο, οἱ δὲ
προὐδίδοσαν. τῆς δὲ πόλεως οὕτως ἁλούσης αἰσχρῶς καὶ
κακῶς οἱ μὲν ἄρχουσι καὶ τυραννοῦσι, τοὺς τότε σώζον- 127

[1] ὑμῖν [2] † προεπηλακίζετο [3] † δήμου τοῦ τῶν ὠρειτῶν, πολλὰ [4] Φιλιστείδην
[5] Absunt unci.

tiam Atheniensium. IDEM.

ιγ'. Παρ' ὑμῖν — οἰκήσας ὅπως] Intelligo domicilium ea mente Athenis collocasse Euphræum, ut ibi civium suorum commodis invigilaret, et patriæ quasi σύνδικος esset. STOCK.

Ὅπως] Sub. ἔπραττε, quod præcessit. AUGER.

Πρυτανευόμενοι] Inquit Harpocratio, ἀντὶ τοῦ, διοικούμενοι καὶ διαστρεφόμενοι, Δημοσθένης ἐν δευτέρῳ (imo ἐννάτῳ) Φιλιππικῶν. IDEM.

Καὶ ἐπέχαιρε] *Insultabat* Euphræo, delectabatur ejus calamitate. WOLF.

Ὥστε οὐ πρότερον ἐτόλμησεν οὐδεὶς τοιούτου κακοῦ προσιόντος ῥῆξαι φωνὴν] Ῥήγνυμι φωνὴν, ἀντὶ τοῦ, φθέγγομαι. Aristophanes ῥῆξον φωνὴν ᾗ τινὶ χαίρεις, *loquere*. Virgil. Æneid. 2. 'Composito rumpit vocem, et me destinat aræ.' Significat autem post silentium loqui, et quasi vocem exire gestientem edere et emittere, hoc est, sinere ut erumpat. Et vox ipsa ἐκρήγνυσθαι dicitur, hoc est, *erumpere*, quod etiam ῥήγνυσθαι vocatur. *Ex edit.* HERVAG. Vid. Victor. Var. Lectt. l. x. c. 8.

Πρὶν διασκευασάμενοι πρὸς τὰ τείχη] Notandum hic, medios aoristos primos, licet plerumque significationem habeant activam, tamen etiam passivam habere sæpe inveniri, ita hic διασκευασάμενοι dixit pro διεσκευασμένοι, *armati et instructi* ad oppugnationem. Significat autem præter alia σκευάζω, *armis contego*, et σκεύη, *armatura*, σκευοθήκη, *armamentarium*, σκευοφόροι, *calones et lixæ*. καὶ διεσκευασμένος στρατὸς, ὁ ἔνοπλος, καὶ ξιφήρης καὶ ἡτοιμασμένος, 'sub armis exsistens,' ut Cæsar dixit, 'et quasi accinctus.' *Ex edit.* HERVAG.

Τυραννοῦσι] Absolute accipiendum: quod sequitur τοὺς τότε σώζοντας, pro τῶν τότε σωζόντων αὐτοὺς καὶ τὸν Εὐφραῖον, ἑτοίμους ὄντας ὁτιοῦν ποιεῖν, etc. τοὺς μέν. *Imperant: eos, qui tum* (cum urbs oppugnaretur) *et*

τας αὐτοὺς καὶ τὸν Εὐφραῖον ἑτοίμους ὁτιοῦν ποιεῖν ὄντας τοὺς μὲν ἐκβαλόντες τοὺς δὲ ἀποκτείναντες· ὁ δ' Εὐφραῖος ἐκεῖνος ἀπέσφαξεν ἑαυτόν, ἔργῳ μαρτυρήσας ὅτι δικαίως καὶ καθαρῶς ὑπὲρ τῶν πολιτῶν ἀνθειστήκει Φιλίππῳ.

ιδ'. Τί οὖν ποτ' αἴτιον, θαυμάζετ' ἴσως, τοῦ καὶ τοὺς Ὀλυνθίους καὶ τοὺς Ἐρετριεῖς καὶ τοὺς Ὠρείτας ἥδιον πρὸς τοὺς ὑπὲρ Φιλίππου λέγοντας ἔχειν ἢ τοὺς ὑπὲρ ἑαυτῶν; ὅπερ καὶ παρ' ὑμῖν [1][νῦν ἐστίν], ὅτι τοῖς μὲν ὑπὲρ τοῦ βελτίστου λέγουσιν οὐδὲ βουλομένοις ἔνεστιν ἐνίοτε πρὸς χάριν οὐδὲν εἰπεῖν· τὰ γὰρ πράγματ' ἀνάγκη σκοπεῖν ὅπως σωθήσεται· οἱ δ' ἐν αὐτοῖς οἷς χαρίζονται Φιλίππῳ συμπράττουσιν. εἰσφέρειν ἐκέλευον, οἱ δ' οὐδὲν δεῖν 147
ἔφασαν· πολεμεῖν καὶ μὴ πιστεύειν, οἱ δ' ἄγειν εἰρήνην, ἕως ἐγκατελήφθησαν. τἆλλα τὸν αὐτὸν τρόπον [2]οἶμαι πάνθ', ἵνα μὴ καθ' ἕκαστα λέγω· οἱ μέν, ἐφ' οἷς ἤδη χαριοῦνται, ταῦτ' ἔλεγον καὶ ἐλύπουν οὐδέν· οἱ δ', ἐξ ὧν ἔμελλον σωθήσεσθαι, προσῆσαν δ' ἀπέχθειαι. πολλὰ δὲ καὶ τὰ τελευταῖα οὐχ οὕτως οὔτε πρὸς χάριν οὔτε δι' ἄγνοιαν οἱ πολλοὶ προΐεντο, ἀλλ' ὑποκατακλινόμενοι, ἐπειδὴ τοῖς ὅλοις ἡττᾶσθαι ἐνόμιζον. ὃ νὴ τὸν Δία καὶ τὸν Ἀπόλλω! δέδοικα [3]ἐγὼ μὴ πάθητε ὑμεῖς, ἐπειδὰν [4]ἴδητε ἐκ λογισμοῦ μηδὲν ὑμῖν ἐνόν· [1][καὶ τοὺς εἰς τοῦθ' ὑπάγοντας ὑμᾶς ὁρῶν οὐκ ὀρρωδῶ, ἀλλὰ δυσωποῦμαι· ἢ γὰρ

[1] Absunt unci. [2] *οἶμαι τρόπον* [3] † ἔγωγε [4] εἰδῆτε

se tuebantur, id est, defendebant patriam, *et Euphræum*, id est, vinculis liberabant: *qui pro defensione patriæ nullum periculum recusabant, partim ejecerunt, partim occiderunt.* Wolf.

ιδ'. Νῦν ἐστὶν] Sub. τὸ αἴτιον. Auger.

Συμπράττουσιν. εἰσφέρειν] Hunc locum sic distinguo: συμπράττουσιν. εἰσφέρειν ἐκέλευον (S. οἱ ὑπὲρ τοῦ βελτίστου λέγοντες), οἱ δ' (S. οἱ συμπράττοντες Φιλίππῳ) οὐδὲν δεῖν ἔφασαν. πολεμεῖν, καὶ μὴ πιστεύειν (S. Φιλίππῳ)· οἱ δ' ἄγειν εἰρήνην, etc. De sententia constat, utcunque verba distinguantur. Ait enim libertatis assertores tributa imponere, et bellum movere: proditores utrumque prohibere. Wolf.

Οὐδὲν δεῖν ἔφασαν] *Dicebant nihil oportere* conferre. πολεμεῖν καὶ μὴ πιστεύειν, boni cives jubebant *bellare et non credere* Philippo: *alii autem* (amici Philippi) jubebant *pacem agere.* Auger.

Σωθήσεσθαι] In nostro antiquo plura verba aderant ad h. m. σωθήσεσθαι· πολλὰ δὲ οἷς προσῆσαν ἀπέχθειαι καὶ, etc. quæ necessaria esse ad verborum sensum, vel semidoctus intelligit. Obsopœus. Addenda ex Veneta Feliciani Edit. et Obsopœi annotatione hæc clausula: οἷς προσῆσαν ἀπέχθειαι. Wolf.

Ἐξ ὧν ἔμελλον σωθήσεσθαι] Subaudi τὰ πράγματα, vel οἱ πολῖται. Auger.

Προΐεντο] Regit πολλὰ quod præcessit. Idem.

Ἐπειδὰν ἴδητε] Id est, ubi vos omnia consilia destituerint. Wolf.

Ἀλλὰ δυσωποῦμαι] Id est, *sed pudore confusus sum.* Est enim δυσωποῦμαι, τὸ ἐντρέπομαι, *pudore vehementer afficior.* καὶ

ἐξεπίτηδες ἢ δι' ἄγνοιαν εἰς χαλεπὸν πρᾶγμα ὑπάγουσι
τὴν πόλιν.] καίτοι μὴ γένοιτο, ὦ ἄνδρες Ἀθηναῖοι, τὰ
πράγματ' ἐν τούτῳ· τεθνάναι γὰρ μυριάκις κρεῖττον ἢ
κολακείᾳ τι ποιῆσαι Φιλίππῳ καὶ προέσθαι τῶν ὑπὲρ 128
ὑμῶν αὐτῶν λεγόντων τινάς. καλήν γ' οἱ πολλοὶ νῦν ἀπει-
λήφασιν Ὠρειτῶν χάριν, ὅτι τοῖς Φιλίππου φίλοις ἐπέτρε-
ψαν αὐτούς, τὸν δ' Εὐφραῖον ἐώθουν· καλήν γ' ὁ δῆμος [1] ὁ
148 Ἐρετριέων, ὅτι τοὺς μὲν [2] ὑμετέρους πρέσβεις ἀπήλασε,
Κλειτάρχῳ δ' ἐνέδωκεν αὑτόν· δουλεύουσί γε μαστιγούμε-
νοι καὶ στρεβλούμενοι. καλῶς Ὀλυνθίων ἐφείσατο τῶν τὸν
μὲν [3] Λασθένη ἵππαρχον χειροτονησάντων, τὸν δὲ Ἀπολ-
λωνίδην ἐκβαλόντων. μωρία καὶ κακία τὰ τοιαῦτα ἐλπί-
ζειν, καὶ κακῶς [4] βουλευομένους καὶ μηδὲν ὧν προσήκει
ποιεῖν ἐθέλοντας, ἀλλὰ τῶν ὑπὲρ τῶν ἐχθρῶν λεγόντων
ἀκροωμένους, τηλικαύτην ἡγεῖσθαι πόλιν οἰκεῖν τὸ μέγεθος,
ὥστε μηδ' ἂν ὁτιοῦν ᾖ δεινὸν πείσεσθαι. καὶ μὴν κἀκεῖνό γε
αἰσχρόν, ὕστερόν ποτ' εἰπεῖν συμβάντος τινός, τίς γὰρ ἂν
ᾠήθη ταῦτα γενέσθαι; νὴ τὸν Δία, ἔδει γὰρ τὸ
καὶ τὸ ποιῆσαι καὶ τὸ μὴ ποιῆσαι. πολλὰ ἂν εἰπεῖν

[1] ὁ τῶν Ἐρετριέων [2] ὑμετέρους μὲν [3] Λασθένην [4] βουλευομένους αὐτοὺς καὶ

δυσωπία, *verecundatio et vehemens oris confusio.* Plura de hoc verbo Budæus in Comment. *Ex edit.* HERVAG.

Δυσωποῦμαι] Interpretatur φοβοῦμαι Harpocratio; cui non assentior, nam δυσωποῦμαι adauget vim vocis ὀῤῥωδῶ: itaque mihi videtur significare, *aversor, detestor.* AUGER.

Οὐκ ὀῤῥωδῶ, ἀλλὰ δυσωποῦμαι] Quantum conjectura consequi possumus, Demosthenem dixerat adversarius aliquis, se intuentem, ὀῤῥωδεῖν: quod verbum metum abjectissimum denotat. Hinc orator, se non metu, sed pudore perfusum esse ac detestatione ait, sceleratos intuentem patriæ proditores. Forsan Demosthenem, aut ex ejus amicis aliquem, pœna affici debere dixerant, quod regem potentem et civitatis socium conviciis lacessierat; quippe, mox, turpe esse dicit civem fidelem in gratiam Philippi prodere. *Ex edit.* STOCK.

Οὐκ ὀῤῥωδῶ, ἀλλὰ δυσωποῦμαι] Nescio quid in mentem venit Interpretibus Gallicis, cum *amplificationem* quandam ex his verbis eruerint: *je ne les haïs pas simplement, je les abhorre:* et similiter Olivetus. —— "Sunt, inquit Noster, præter eos, qui se plane Philippo vendiderunt, quidam homines fracti animis ac demissi, (ὑποκατακλινόμενοι) qui cum periisse jam vires dignitatemque censeant Athenarum, cedendum esse temporibus dicunt, et honestum pro communi Græcorum libertate certamen deserendum. Quorum equidem consilium non mihi terrorem injicit, (boni enim fortasse cives sunt) verum summo me pudore afficit, cum sit omnino hac republica indignum." Phocionem hic innuisse crediderim Demosthenem, cujus illud semper Atheniensibus consilium fuisse tradit Plutarchus, ut quos potentia superare non possint, cum iis amicitiam colant: ἢ τοῖς ὅπλοις κρατεῖν, ἢ τοῖς κρατοῦσι φίλους εἶναι. Adi Leland. V. Phil. III. §. 1. p. 32. STOCK.

Ἐώθουν] *Pellebant*, id est, repudiabant, adversabantur. WOLF.

Ὥστε μηδ' ἂν ὁτιοῦν ᾖ δεινὸν πείσεσθαι] Ὥστε τὴν πόλιν, τηλικαύτην τὸ μέγεθος οὖσαν, δύνασθαι μηδοτιοῦν δεινὸν πάσχειν, ἀλλ' ἔξω παντὸς κινδύνου εἶναι. IDEM.

Νὴ τὸν Δία] Hæc εἰρωνικῶς καὶ μιμητικῶς a Demosthene respondentur. IDEM.

ἔχοιεν Ὀλύνθιοι νῦν, ἃ τότ᾽ εἰ προείδοντο, οὐκ ἂν ἀπώλοντο· πόλλ᾽ ἂν Ὠρεῖται, πολλὰ Φωκεῖς, πολλὰ τῶν ἀπολωλότων ἕκαστοι. ἀλλὰ τί τούτων ὄφελος αὐτοῖς; [1]ἕως ἂν σώζηται τὸ σκάφος, ἄν τε μεῖζον ἄν τ᾽ ἔλαττον ᾖ, τότε χρὴ καὶ ναύτην καὶ κυβερνήτην καὶ πάντ᾽ ἄνδρα [2]ἑξῆς προθύμους εἶναι, καὶ ὅπως μήθ᾽ ἑκὼν μήτ᾽ ἄκων μηδεὶς ἀνατρέψῃ, τοῦτο σκοπεῖσθαι· ἐπειδὰν δὲ ἡ θάλαττα ὑπέρσχῃ, μάταιος ἡ σπουδή. καὶ ἡμεῖς τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, ἕως ἐσμὲν σῷοι, πόλιν μεγίστην ἔχοντες, ἀφορμὰς πλείστας, ἀξίωμα κάλλιστον. τί ποιῶμεν, πάλαι τις
129 ἡδέως ἂν ἴσως ἐρωτήσων κάθηται. ἐγὼ νὴ Δί᾽ ἐρῶ, καὶ γράψω δέ, ὥστε, ἂν βούλησθε, χειροτονήσατε.

ιέ. Αὐτοὶ πρῶτον ἀμυνόμενοι καὶ παρασκευαζόμενοι, τριήρεσι καὶ χρήμασι καὶ στρατιώταις λέγω· καὶ γὰρ ἂν ἅπαντες δήπου [3]δουλεύειν συγχωρήσωσιν οἱ ἄλλοι, [4]ἡμῖν γ᾽ ὑπὲρ τῆς ἐλευθερίας ἀγωνιστέον· ταῦτα δὴ πάντα αὐτοὶ [5]παρεσκευασμένοι καὶ ποιήσαντες τοῖς Ἕλλησι φανερά, τοὺς ἄλλους ἤδη παρακαλῶμεν, καὶ τοὺς ταῦτα διδάξοντας ἐκπέμπωμεν πρέσβεις [6]πανταχοῖ, εἰς Πελοπόννησον, εἰς
Ῥόδον, εἰς Χίον, ὡς βασιλέα λέγω — οὐδὲ γὰρ τῶν ἐκείνῳ 149
συμφερόντων ἀφέστηκε τὸ μὴ τοῦτον ἐᾶσαι πάντα καταστρέψασθαι — ἵν᾽ ἐὰν μὲν πείσητε, κοινωνοὺς ἔχητε καὶ τῶν κινδύνων καὶ τῶν ἀναλωμάτων, ἄν τι δέῃ, εἰ δὲ μή, χρόνους γε ἐμποιῆτε τοῖς πράγμασιν. ἐπειδὴ γάρ ἐστι πρὸς

[1] ἕως γὰρ ἂν [2] ἐφεξῆς πρόθυμον [3] δουλεύειν δήπου [4] ὑμῖν [5] † παρασκευασάμενοι [6] πανταχοῦ

Ναύτην] Pro ναύτας. Nec enim in nave singuli remiges sunt, ut gubernatores. IDEM.

Ἡδέως ἂν ἴσως ἐρωτήσων] Ut ἂν cum futuro indicativi interdum construitur (cf. F. A. Wolf. ad Demosth. Lept. §. κϛ΄. fin.), ita etiam cum futuro participii. περὶ Ῥοδίων ἐλευθερ. p. 196. l. 7. ed. R. ἴσασι γὰρ οὐδένας ἄλλους πάλιν εἰς ἐλευθερίαν τὰ πράγματ᾽ ἂν ἐπανάξοντας. ὑπὲρ Μεγαλοπολ. p. 204. l. 22. εἰ δὲ τοὺς βοηθήσοντας ἂν ἡμῖν ἐπ᾽ αὐτὸν ἐχθροὺς κτησόμεθα, οὐχ ἕξομεν συμμάχους. de Cor. p. 284. l. 17. ὡς οὐδ᾽ ἂν εἴ τι γένοιτο, ἔτι συμπνευσόντων ἂν ὑμῶν καὶ τῶν Θηβαίων. BREM.

Ἐρῶ καὶ γράψω] *Referam et auctor ero.* WOLF.

ιέ. Οὐδὲ γὰρ τῶν ἐκείνῳ] Plutarchus indicat, Demosthenem fuisse suspectum, quasi largitionibus a rege Persarum, Philippi successus metuente, corruptus, Athenienses contra Macedonas concitaret. Sed fieri potuit, ut ideo Demosthenes Philippo se opponeret, quod, quo potentior, Persico imperio subacto, fieret, tanto magis in Græcos grassaturum, provideret: idque ipse comprobavit eventus: contra quam putavit Isocrates. Quanquam hujus fidelissimis consiliis neque Philippus, neque Græci paruerunt. IDEM.

Ἵν᾽ ἐὰν μὴ πείσητε] Leg. vid. ἵν᾽ ἐὰν μὲν πείσητε: et p. 224. v. 12. ἀλλὰ τὸ μὲν ἐν Χερρονήσῳ χρήματ᾽ ἀποστέλλειν, etc. OBSOPŒUS.

Ἐπειδὴ γάρ ἐστι πρὸς ἄνδρα] Conferas

ἄνδρα καὶ οὐχὶ συνεστώσης πόλεως ἰσχὺν ὁ πόλεμος, οὐδὲ
τοῦτ᾿ ἄχρηστον, οὐδ᾿ αἱ πέρυσι πρεσβεῖαι αἱ περὶ τὴν Πελο-
πόννησον ἐκεῖναι καὶ κατηγορίαι, ἃς ἐγὼ καὶ Πολύευκτος ὁ
βέλτιστος ἐκεινοσὶ καὶ Ἡγήσιππος καὶ Κλειτόμαχος καὶ
Λυκοῦργος καὶ οἱ ἄλλοι πρέσβεις περιήλθομεν, καὶ ἐποιή-
σαμεν ἐπισχεῖν ἐκεῖνον καὶ μήτ᾿ ἐπ᾿ Ἀμβρακίαν ἐλθεῖν μήτ᾿
ἐς Πελοπόννησον ὁρμῆσαι. οὐ μέντοι λέγω μηδὲν αὐτοὺς
ὑπὲρ αὑτῶν ἀναγκαῖον ἐθέλοντας ποιεῖν τοὺς ἄλλους παρα-
καλεῖν· καὶ γὰρ εὔηθες τὰ οἰκεῖα αὐτοὺς προϊεμένους τῶν
ἀλλοτρίων φάσκειν κήδεσθαι, καὶ τὰ παρόντα περιορῶντας
ὑπὲρ τῶν μελλόντων τοὺς ἄλλους φοβεῖν. οὐ λέγω ταῦτα,
ἀλλὰ τοῖς μὲν ἐν Χεῤῥονήσῳ χρήματ᾿ ἀποστέλλειν φημὶ
δεῖν καὶ τἄλλα ὅσα ἀξιοῦσι ποιεῖν, αὐτοὺς δὲ παρασκευά-
ζεσθαι καὶ πρώτους ἃ χρὴ ποιοῦντας, τότε καὶ τοὺς ἄλ- 130
λους Ἕλληνας συγκαλεῖν, συνάγειν, διδάσκειν, νουθετεῖν·
ταῦτ᾿ ἐστὶ πόλεως ἀξίωμα ἐχούσης, ἡλίκον ὑμῖν ὑπάρχει.
εἰ δ᾿ οἴεσθε Χαλκιδέας τὴν Ἑλλάδα σώσειν ἢ Μεγαρέας,
ὑμεῖς δ᾿ [1] ἀποδράσεσθαι τὰ πράγματα, οὐκ ὀρθῶς οἴεσθε.
ἀγαπητὸν γάρ, ἂν αὐτοὶ σώζωνται τούτων ἕκαστοι. ἀλλ᾿
ὑμῖν τοῦτο πρακτέον, ὑμῖν οἱ πρόγονοι τοῦτο τὸ γέρας
ἐκτήσαντο καὶ κατέλιπον μετὰ πολλῶν καὶ καλῶν καὶ
μεγάλων κινδύνων. εἰ δ᾿ ὃ βούλεται ζητῶν ἕκαστος καθ-
εδεῖται, καὶ ὅπως μηδὲν αὐτὸς [2] ποιήσει σκοπῶν, πρῶ-
τον μὲν οὐ μή ποθ᾿ εὕρῃ τοὺς ποιήσοντας, ἔπειτα δέ-
δοικα, ὅπως μὴ πάνθ᾿ [3] ἅμα, ὅσα οὐ βουλόμεθα, ποιεῖν
ἡμῖν ἀνάγκη γενήσεται. [4][εἰ γὰρ ἦσαν, εὕρηντ᾿ ἂν πά-

[1] ἀποδράσεσθε [2] ποιήσῃ [3] Deest ἅμα. [4] Absunt unci.

cum hoc loco Livii judicium de Macedonico regno, contra Romanam rempublicam bellum gesturo. 'Quod Macedones unum Alexandrum habuissent multis casibus non solum obnoxium, sed etiam offerentem se: Romani multi fuissent Alexandro vel gloria vel rerum magnitudine pares, quorum suo quisque fato, sine publico discrimine, viveret moreretúrque.' ix. 18. *Ex edit.* Stock.

Ἄχρηστον] Subaudi γενήσεται. Auger.

Οὐδ' αἱ πέρυσι πρεσβεῖαι] Scilicet ἄχρηστοι ἐγένοντο. Wolf.

Ἡγήσιππος] Neque hunc, neque Clitomachum (quem infra memorat Demosthenes) recenset Plutarchus inter legatos, Demosthenis et Lycurgi socios. Forsan horum gloria collegas omnino obfuscavit. Cæterum hic Hegesippus auctor esse dicitur orationis de Haloneso, quam Demostheni quidam tribuunt. *Ex edit.* Stock.

Λυκοῦργος] Erat ex decem oratoribus, quorum vitæ exstant a Plutarcho conscriptæ. *Ibid.*

Τοῦτο πρακτέον] I. e. τὴν Ἑλλάδα σωστέον. Auger.

λαι ἕνεκά γε τοῦ μηδὲν ἡμᾶς αὐτοὺς ποιεῖν ἐθέλειν· ἀλλ' οὐκ εἰσίν.]

ις'. Ἐγὼ μὲν δὴ ταῦτα λέγω, ταῦτα γράφω· καὶ οἴομαι καὶ νῦν ἔτι ἐπανορθωθῆναι ἂν τὰ πράγματα τούτων γιγνομένων. εἰ δέ τις ἔχει τούτων τι βέλτιον, λεγέτω καὶ συμβουλευέτω. ὅ τι δ' ὑμῖν [1] δόξει, τοῦτ', ὦ πάντες θεοί, συνενέγκοι.

[1] δόξειε

ις'. Τούτων τι βελτίω] Κατά τι βελτίω. Sed malim τούτων τι βέλτιον. WOLF.

ΛΙΒΑΝΙΟΥ ΥΠΟΘΕΣΙΣ ΤΟΥ ΚΑΤΑ ΦΙΛΙΠΠΟΥ ΤΕΤΑΡΤΟΥ ΛΟΓΟΥ.

Pag. ed. aliq. cit. — Pag. ed. Reisk.

151 ΚΑΙ οὗτος τὴν αὐτὴν ὑπόθεσιν ἔχει τῷ φθάνοντι, καὶ πλέον οὐδὲν οὔτε ἴδιον, πλὴν τὸ περὶ 130
τῆς ὁμονοίας πολίτευμα· διαφερομένων γὰρ τῶν πλουσίων πρὸς τοὺς πένητας, ὁ Δημοσθένης
καταπαύειν πειρᾶται τὴν στάσιν, τῷ μὲν δήμῳ παραινῶν μὴ δημεύειν τὰς τῶν πλουσίων οὐ- 131
σίας, τοῖς δὲ πλουσίοις μὴ φθονεῖν τοῖς ἀπόροις τοῦ δημοσίου λήμματος. πείθει δὲ τοὺς
Ἀθηναίους καὶ πρὸς τὸν Περσῶν βασιλέα περὶ συμμαχίας πρεσβεύεσθαι.

Πολίτευμα] *Urbanum* sive *domesticum consilium.* Verbalia in μα fere significant unum aliquod factum aut unam rem, ut στρατήγημα, κατόρθωμα, πανούργημα, ἀνδραγάθημα, ποίημα. Wolf.

ΔΗΜΟΣΘΕΝΟΥΣ

ΚΑΤΑ ΦΙΛΙΠΠΟΥ

ΛΟΓΟΣ ΤΕΤΑΡΤΟΣ.

ά. ΚΑΙ σπουδαῖα νομίζων, ὦ ἄνδρες Ἀθηναῖοι, περὶ ὧν βουλεύεσθε, καὶ ἀναγκαῖα τῇ πόλει, πειράσομαι περὶ αὐτῶν εἰπεῖν ἃ νομίζω συμφέρειν. οὐκ ὀλίγων δ᾽ ὄντων ἁμαρτημάτων οὐδ᾽ ἐκ μικροῦ χρόνου συνειλεγμένων, ἐξ ὧν φαύλως ταῦτ᾽ ἔχει, οὐδέν ἐστιν, ὦ ἄνδρες Ἀθηναῖοι, τῶν πάντων δυσκολώτερον εἰς τὸ παρὸν, ἢ ὅτι ταῖς γνώμαις ὑμεῖς ἀφεστήκατε τῶν πραγμάτων, καὶ τοσοῦτον χρόνον
152 σπουδάζετε ὅσον ἂν κάθησθε ἀκούοντες, ἢν προσαγγελθῇ
τι νεώτερον· εἶτ᾽ ἀπελθὼν ἕκαστος ὑμῶν οὐ μόνον οὐδὲν φροντίζει περὶ αὐτῶν, ἀλλ᾽ οὐδὲ μέμνηται.

ά. Καὶ σπουδαῖα] Σπουδῆς ἄξια, ut Isocrates de pace: ἅπαντες μὲν εἰώθασιν οἱ παριόντες ἐνθάδε, ταῦτα μέγιστα φάσκειν εἶναι, καὶ μάλιστα σπουδῆς ἄξια τῇ πόλει, περὶ ὧν ἂν αὐτοὶ μέλλωσι συμβουλεύειν. Wolf.

Οὐδέν ἐστι τῶν πάντων δυσκολώτατον] Ἀντὶ τοῦ, δυσκολώτερον, ἢ, οὔτε δύσκολον, ἢ, τοῦτο πάντων ἐστὶ τὸ δυσκολώτατον. Idem.

Ὅτι ταῖς γνώμαις ἀφεστήκατε τῶν πραγμάτων] Ὅτι οὐ σπουδάζετε περὶ τὰ πράγματα. Supra ἀπηρτημένοι καὶ ταῖς γνώμαις καὶ ταῖς παρασκευαῖς. Idem.

β'. Ἡ μὲν οὖν ἀσέλγεια καὶ πλεονεξία, ᾗ πρὸς ἅπαν-
τας ἀνθρώπους [1] Φίλιππος χρῆται, τοσαύτη τὸ [2] πλῆθος
ὅσην ἀκούετε· ὅτι δ' οὐκ ἔνι ταύτης ἐκεῖνον ἐπισχεῖν ἐκ
λόγου καὶ δημηγορίας, οὐδεὶς ἀγνοεῖ δήπου. καὶ γὰρ εἰ
μηδ' ἀφ' ἑνὸς τῶν ἄλλων τοῦτο μαθεῖν δύναιτό τις, ὡδὶ
λογισάσθω. ἡμεῖς οὐδαμοῦ πώποτε, ὅπου περὶ τῶν δικαίων
132 εἰπεῖν ἐδέησεν, ἡττήθημεν οὐδ' ἀδικεῖν ἐδόξαμεν, ἀλλὰ
πάντων πανταχοῦ κρατοῦμεν καὶ περίεσμεν τῷ λόγῳ.
ἆρ' οὖν διὰ ταῦτ' ἐκείνῳ φαύλως ἔχει τὰ πράγματα, ἢ τῇ
πόλει καλῶς; πολλοῦ γε καὶ δεῖ· ἐπειδὰν γὰρ ὁ μὲν
λαβὼν μετὰ ταῦτα βαδίζῃ τὰ ὅπλα, πᾶσι τοῖς οὖσιν
ἑτοίμως κινδυνεύσων, ἡμεῖς δὲ καθώμεθα, οἱ μὲν εἰρηκότες
τὰ δίκαια, οἱ δ' ἀκηκοότες, εἰκότως οἶμαι τὰ ἔργα τοὺς
λόγους παρέρχεται, καὶ προσέχουσιν ἅπαντες οὐχ οἷς εἴ-
πομέν ποθ' ἡμεῖς δικαίοις ἢ νῦν ἂν εἴποιμεν, ἀλλ' οἷς ποι-
οῦμεν. ἔστι δὲ ταῦτα οὐδένα τῶν ἀδικουμένων σώζειν δυνά-
μενα· οὐδὲν γὰρ δεῖ πλείω περὶ αὐτῶν λέγειν.

γ'. Τοιγάρτοι διεστηκότων εἰς δύο μέρη ταῦτα τῶν ἐν
ταῖς πόλεσι, τῶν μὲν εἰς τὸ μήτε ἄρχειν βίᾳ βούλεσθαι
μηδενὸς μήτε δουλεύειν ἄλλῳ, ἀλλ' ἐν ἐλευθερίᾳ καὶ νό-
μοις ἐξ ἴσου πολιτεύεσθαι, τῶν δ' εἰς τὸ ἄρχειν μὲν τῶν
πολιτῶν ἐπιθυμεῖν, ἑτέρῳ δ' ὑπακούειν, δι' ὅτου πότ' ἂν
οἴωνται τοῦτο δυνήσεσθαι ποιῆσαι, οἱ τῆς ἐκείνου προαιρέ-
σεως, οἱ τυραννίδων καὶ δυναστειῶν ἐπιθυμοῦντες, κεκρα-
τήκασι πανταχοῦ, καὶ πόλις δημοκρατουμένη βεβαίως 133
οὐκ οἶδ' εἴ τις ἐστὶ τῶν πασῶν λοιπὴ πλὴν ἡ [3] ἡμετέρα.

[1] Φίλιππος ἀεὶ χρῆται [2] πλῆθός ἐστιν ὅσην [3] ὑμετέρα

β'. Ὅτι δ' οὐκ ἔνι] Οὐκ ἔνεστιν, οὐχ οἷόν τ' ἐστί τινα ἐπισχεῖν Φίλιππον ταύτης τῆς πλεονεξίας. Idem.

Ἐκ λόγου] Διὰ λόγου, λόγῳ. Idem.

Μηδ' ἀφ' ἑνὸς τῶν ἄλλων] Ἀπὸ μηδενὸς τῶν ἄλλων. Idem.

Περίεσμεν τῷ λόγῳ] Τῇ δικαιολογίᾳ, τῷ δοκεῖν δικαιότερα λέγειν τῶν ἄλλων· ἀλλὰ μὴ τῇ δεινότητι τῶν λόγων. Nam hic non de eloquentia præcipue agitur, sed de æquitate causæ et jure reipublicæ. Idem.

Μετὰ ταῦτα] Vel intelligendum *per hæc*, *inter hæc*, i. e. interea dum nos verba serimus; vel forsan mutandum in μετὰ τάχους. Auger.

Πᾶσι τοῖς οὖσιν ἑτοίμως κινδυνεύσων] In belli discrimen omnes fortunas et opes suas adducere nihil dubitans. Wolf.

Ἔστι δὲ ταῦτα δυνάμενα] Ἀντὶ τοῦ, δύναται ταῦτα μηδένα σώζειν. Sic γ'. (β'.) ὀλ. ἀλλ' ἔστι ταῦτα τὴν ῥαθυμίαν ἑκάστου ὑμῶν ἐπαυξάνοντα. Sic in Evangelio: ἦν δὲ περιπατῶν ὁ Ἰησοῦς παρὰ τὴν θάλατταν. Sic et Cicero in Oratore: 'Est (ut scis) quasi in extrema pagina Phædri his ipsis verbis loquens Socrates:' etsi τὸ *est* ἀντὶ τοῦ πεποίηται ἢ εἰσάγεται capi potest. Idem.

Οὐδὲν γὰρ] Γὰρ, *Atenim*, *sedenim*. Deinde τοιγάρτοι indicat transitionem abruptam ab uno ad aliud. Auger.

καὶ κεκρατήκασιν οἱ δι᾽ ἐκείνου τὰς πολιτείας ποιούμενοι
πᾶσιν ὅσοις πράγματα πράττεται, πρώτῳ μὲν πάντων
καὶ πλείστῳ τῷ τοὺς βουλομένους χρήματα λαμβάνειν
ἔχειν τὸν δώσοντα ὑπὲρ αὐτῶν, δευτέρῳ δὲ καὶ οὐδὲν ἐλάτ-
τονι τούτου τῷ δύναμιν τὴν καταστρεψομένην τοὺς ἐναν-
τιουμένους αὐτοῖς ἐν οἷς ἂν αἰτήσωσι χρόνοις παρεῖναι.
ἡμεῖς δ᾽ οὐ μόνον τούτοις ὑπολειπόμεθα, ὦ ἄνδρες Ἀθη-
ναῖοι, ἀλλ᾽ οὐδ᾽ ἀνεγερθῆναι δυνάμεθα, ἀλλὰ μανδραγό- 133
ραν πεπωκόσιν ἤ τι φάρμακον ἄλλο τοιοῦτον ἐοίκαμεν ἀν-
θρώποις· εἶτ᾽, οἶμαι, — δεῖ γὰρ, ὡς ἐγὼ κρίνω, λέγειν τἀληθῆ
—, οὕτω διαβεβλήμεθα καὶ καταπεφρονήμεθα ἐκ τούτων,
ὥστε τῶν ἐν αὐτῷ τῷ κινδυνεύειν ὄντων οἱ μὲν ὑπὲρ τῆς
ἡγεμονίας ἡμῖν ἀντιλέγουσιν, οἱ δ᾽ ὑπὲρ τοῦ ποῦ συνε-
δρεύσουσι, τινὲς δὲ καὶ καθ᾽ ἑαυτοὺς ἀμύνεσθαι μᾶλλον
ἢ μεθ᾽ ὑμῶν ἐγνώκασι. τοῦ χάριν δὴ ταῦτα λέγω καὶ διεξ-
έρχομαι; οὐ γὰρ ἀπεχθάνεσθαι μὰ τὸν Δία καὶ πάντας
τοὺς θεοὺς προαιροῦμαι. ἀλλ᾽ ἵνα ὑμῶν ἕκαστος, ὦ ἄνδρες
Ἀθηναῖοι, τοῦτο γνῷ καὶ ἴδῃ, ὅτι ἡ καθ᾽ ἡμέραν ῥᾳστώνη
154 καὶ ῥᾳθυμία, [1] ὥσπερ τοῖς ἰδίοις βίοις, οὕτω [2] καὶ ταῖς πο-

[1] ὥσπερ ἐν τοῖς [2] κἀν

γ΄. Τῷ τοὺς βουλομένους χρήματα λαμβάνειν, ἔχειν τὸν δώσοντα ὑπὲρ αὐτῶν] Οἱ βουλόμενοι λαμβάνειν χρήματα sunt proditores urbium: ὁ δώσων est Philippus: τὸ ὑπὲρ αὐτῶν intelligatur de iis, qui regnum affectant. Wolf.

Ἀλλὰ μανδραγόραν πεπωκόσιν, ἤ τι φάρμακον ἄλλο τοιοῦτον ἐοίκαμεν ἀνθρώποις] Id est, *similes videmur his, qui Mandragoram biberunt, aut aliud simile pharmacum.* Inest autem somnifica vis mandragoræ, adeo ut enecet etiam largiore potu, teste Plinio lib. 25. cap. 11. Unde qui cessant in officio, dormitantque, multam bibisse Mandragoram dicuntur. Eras. *Ex edit.* Hervag.

Μανδραγόραν πεπωκόσιν] Ὁ μανδραγόρας, sicut ὁ χάρτης, ὁ καταράκτης, ὁ μαργαρίτης, apud Latinos in fœmineum genus transeunt. Descriptionem vide in Dioscoride Matthioli. Wolf.

Ὥστε τῶν ἐν αὐτῷ τῷ κινδυνεύειν ὄντων] Fortassis ad Lacedæmonios hæc pertinent, quos oppugnaturus putabatur Philippus. Nam neque de Thebanis, neque de Thessalis, neque de Argivis, neque de Megalopolitis, de Megarensibus vero multo minus, οἵτινες οὔτε τρίτοι, οὔτε τέταρτοι, ἀλλ᾽ οὔτ᾽ ἐν λόγῳ, οὔτ᾽ ἐν ἀριθμῷ, intelligenda videntur. Sed historiæ fides sit penes auctorem: τὸ δὲ ἐν αὐτῷ τῷ κινδυνεύειν εἶναι, est *in ipso discrimine versari, periculo esse proximum.* Idem.

Οἱ μὲν ὑπὲρ τῆς ἡγεμονίας — οἱ δ᾽ ὑπὲρ τοῦ ποῦ συνεδρεύσουσι] Civitas, quæ inter Græcos habebatur primaria, ducem exercitui fœderato præbere solebat, et concilii locum aliis indicere. De hisce itaque, tanquam honoribus maximis, lites in bello Persico inter Athenienses et Spartanos ortas esse invenimus. *Ex edit.* Stock.

Ὑπὲρ τοῦ ποῦ συνεδρεύσουσι] *De concilii* seu *conventus loco*, id est, utrum ipsi Athenas, an nos alio una cum ipsis venire debeamus? Wolf.

Καθ᾽ ἑαυτοὺς ἀμύνεσθαι μᾶλλον] Id est, μόνοι ἀμύνεσθαι, εἴτε Φίλιππον, εἴτε καὶ ἄλλους τινὰς, τοὺς πολεμοῦντας αὐτοῖς. Idem.

Ὅτι ἡ καθ᾽ ἡμέραν ῥᾳστώνη] Sic Isocrates Nicocle: μηδενὸς ὀλιγωρεῖτε, μήτε καταφρονεῖτε τῶν προστεταγμένων· ὑπολαμβάνοντες, ὡς οὐ παρὰ ταῦτ᾽ ἐστίν· ἀλλ᾽ ὡς παρ᾽ ἕκαστον τῶν μερῶν ἢ καλῶς ἢ κακῶς ἕξον τὸ σύμπαν. Idem. Cfr. Casaub. ad Theophrast. Char. π. μικρολογ. p. 238.

λεσιν οὐκ ἐφ' ἑκάστου τῶν ἀμελουμένων ποιεῖ τὴν αἴσθησιν εὐθέως, ἀλλ' ἐπὶ τῷ κεφαλαίῳ τῶν πραγμάτων ἅπαντα. ὁρᾶτε Σέῤῥιον καὶ Δορίσκον· ταῦτα γὰρ πρῶτον ὠλιγωρήθη μετὰ τὴν εἰρήνην, ἃ πολλοῖς ὑμῶν οὐδὲ γνώριμά ἐστιν ἴσως. ταῦτα μέντοι τότε ἐαθέντα καὶ παροφθέντα ἀπώλεσε Θρᾴκην καὶ Κερσοβλέπτην, σύμμαχον [1] ὄντα ὑμῶν. πάλιν ταῦτ' ἀμελούμενα ἰδὼν καὶ οὐδεμιᾶς βοηθείας τυγχάνοντα παρ' ὑμῶν κατέσκαπτε Πορθμὸν, καὶ τυραννίδα ἀπαντικρὺ τῆς Ἀττικῆς ἐπετείχισεν ὑμῖν ἐν τῇ Εὐβοίᾳ. ταύτης ὀλιγωρουμένης Μέγαρα ἑάλω παρὰ μικρόν. οὐδὲν ἐφροντίσατε οὐδ' ἐπεστράφητε ἐπ' οὐδενὶ τούτων, οὐδ' ἐνεδείξασθε τοῦθ', ὅτι οὐκ ἐπιτρέψετε ταῦτα ποιεῖν αὐτῷ· Ἀντρῶνας ἐπρίατο, καὶ μετ' οὐ πολὺν χρόνον τὰ ἐν Ὠρεῷ πράγματ' εἰλήφει. πολλὰ δὲ καὶ παραλείπω, Φερὰς, τὴν ἐπ' Ἀμβρακίαν ὁδὸν, τὰς ἐν Ἤλιδι
134 σφαγὰς, ἄλλα μυρία· οὐ γὰρ ἵν' ἐξαριθμήσωμαι τοὺς βε-

[1] ὄντα ἕνα ὑμῶν

Σέῤῥιον καὶ Δορίσκον] Vide supra Not. ad Phil. Γ. δ'. STOCK.

Καὶ Κερσοβλέπτην σύμμαχον ὄντα ὑμῶν] De hoc contentiones sunt inter Æschinem et Demosthenem, utrius ille culpa sit fœdere Philippico exclusus. Vide τοὺς ἀντιπάλους λόγους, καὶ τοὺς περὶ τῆς παραπρεσβείας. WOLF. Supra Not. ad Orat. de Cherson. §. ιέ. STOCK.

Κατέσκαπτε Πορθμὸν] *Sinum, fretum*: hic proprium nomen videtur munitionis alicujus ad Chalcidensem Euripum. WOLF.

Ἀπαντικρὺ τῆς Ἀττικῆς] Nempe in Eretria, ubi Clitarchum tyrannum constituerat. Porthmus erat oppidum maritimum Eubœæ in ditione Eretriensium. *Ex edit.* STOCK.

Μέγαρα ἑάλω] Leland. iv. §. 1. p. 110. STOCK.

Ἀντρῶνας ἐπρίατο] Διὰ προδοσίας ἐκτήσατο. τὸ πρίασθαι, ὠνεῖσθαι, πωλεῖν, πιπράσκειν, προπίνειν, προδοτικὰ καὶ δωροδόκα ῥήματ' ἐστὶ παρὰ Δημοσθένει. Stephanus Ἀντρῶνα ἑνικῶς ponit πόλιν Θετταλίας, διὰ τὸ τοὺς τόπους ἀντρώδεις εἶναι, ἐξ οὗ καὶ παροιμία, ἀντρώνιος ὄνος. WOLF.

Ὠρεῷ] Vide tertiam Phil. STOCK.

Φέῤῥας] Alii uno ρ Φερὰς ὀξυτόνως. Unde φεραῖος potius, quam φεῤῥαῖος, apud Stephanum. et Homerus [B. 711.] οἵ τε Φερὰς ἐνέμοντο παραὶ Βοιβηΐδα λίμνην. Videntur Græci librarii τὸ ρ, ut Germanici scribæ τὸ n solent, sæpe sine causa geminare. WOLF. Lego Φερὰς: nam quinque aut sex urbes nomine Φεραὶ, nulla, quod sciam, Φεῤῥαί. PALMER.

Φερὰς] Hanc Thessaliæ urbem Philippus, expulso tyranno Lycophronte, præsidio tenuit, tranquillitatis publicæ tuendæ causa, ut ipse dixit; re autem vera, quo mobiles Thessalorum animos stabili jugo servitutis constringeret. Lel. ii. §. 2. p. 154. STOCK.

Τὴν ἐπ' Ἀμβρακίαν ὁδὸν] Hanc ejus expeditionem legatione Peloponnensi fuisse impeditam, in fine 3. Philippicæ scripsit. De Elæis cædibus credamus Demostheni, ut et de aliis minutis et parum celebratis aut amissis historiis. WOLF.

Τὰς ἐν Ἤλιδι σφαγὰς] Philippus, utpote Amphictyonum princeps, sacrilegos Phocenses proscripserat. Horum quidam, qui in Cretam una cum imperatore Phaleco perfugerant, adscitis sibi nonnullis ab Elide exsulibus, in Peloponnesum impetum fecerunt: dumque agros vastarent, aggressi sunt eos Elei Arcadesque, et in deditionem acceptos ad unum omnes trucidarunt, uti jusserat decretum Amphictyonicum. Hoc est, quod Demosthenes vocat τὰς ἐν Ἤλιδι σφαγὰς, cujusque invidiam omnem in Philippum transfert. *Ex edit.* STOCK.

155 βιασμένους καὶ τοὺς ἠδικημένους ὑπὸ Φιλίππου, ταῦτα διεξῆλθον, ἀλλ' ἵνα τοῦθ' ὑμῖν ἐπιδείξω, ὅτι οὐ στήσεται πάντας ἀνθρώπους ἀδικῶν, [1]τὰ δ' ὑφ' αὑτῷ ποιούμενος Φίλιππος, εἰ μή τις αὐτὸν κωλύσει.

δ'. Εἰσὶ δέ τινες οἳ πρὶν ἀκοῦσαι τοὺς ὑπὲρ τῶν πραγμάτων λόγους εὐθέως εἰώθασιν ἐρωτᾶν, Τί οὖν χρὴ ποιεῖν; οὐχ ἵνα ἀκούσαντες ποιήσωσι —χρησιμώτατοι γὰρ ἂν ἦσαν ἁπάντων —, ἀλλ' ἵνα τοῦ λέγοντος ἀπαλλαγῶσι. δεῖ δ' ὅμως εἰπεῖν ὅ τι χρὴ ποιεῖν. πρῶτον μέν, ὦ ἄνδρες Ἀθηναῖοι, τοῦτο παρ' ὑμῖν αὐτοῖς βεβαίως γνῶναι, ὅτι τῇ πόλει Φίλιππος πολεμεῖ καὶ τὴν εἰρήνην λέλυκε· καὶ κακόνους μέν ἐστι καὶ ἐχθρὸς ὅλῃ τῇ πόλει καὶ τῷ τῆς πόλεως ἐδάφει, προσθήσω δὲ καὶ τοῖς ἐν τῇ πόλει θεοῖς, οἵπερ αὐτὸν ἐξολέσειαν· οὐδενὶ μέντοι μᾶλλον ἢ τῇ πολιτείᾳ πολεμεῖ οὐδ' ἐπιβουλεύει, καὶ σκοπεῖ μᾶλλον οὐδὲν τῶν ἁπάντων, ἢ ὅπως ταύτην καταλύσῃ. καὶ τοῦτ' ἐξ ἀνάγκης τρόπον τινὰ νῦν γε δὴ ποιεῖ· λογίζεσθε γάρ. ἄρχειν βούλεται, τούτου δ' ἀνταγωνιστὰς μόνους ὑπείληφεν ὑμᾶς. ἀδικεῖ πολὺν ἤδη χρόνον, καὶ τοῦτ' αὐτὸς ἄριστα σύνοιδεν ἑαυτῷ· οἷς γὰρ οὖσιν ὑμετέροις ἔχει χρῆσθαι, τούτοις ἅπαντα τἄλλα βεβαίως κέκτηται· εἰ γὰρ Ἀμφίπολιν καὶ Ποτίδαιαν προεῖτο, οὐδ' ἂν ἐν Μακεδονίᾳ μένειν ἀσφαλῶς ἡγεῖτο. ἀμφότερα οὖν οἶδε, καὶ αὐτὸν ὑμῖν ἐπιβουλεύοντα, καὶ ὑμᾶς αἰσθανομένους. εὖ φρονεῖν δ' ὑμᾶς ὑπολαμβάνων δικαίως μισεῖν αὐτὸν ἡγεῖται. πρὸς δὲ τούτοις τοσούτοις οὖσιν οἶδεν ἀκριβῶς ὅτι, οὐδ' ἂν ἁπάντων τῶν ἄλλων γένηται κύριος, οὐδέν ἐστ' αὐτῷ βεβαίως ἔχειν, ἕως 135
ἂν ὑμεῖς δημοκρατῆσθε, ἀλλ' ἐάν ποτε συμβῇ τι πταῖσμα —πολλὰ δ' ἂν γένοιτο ἀνθρώπῳ—, ἥξει πάντα τὰ νῦν βεβιασμένα, καὶ καταφεύξεται πρὸς ὑμᾶς· ἐστὲ γὰρ ὑμεῖς οὐκ αὐτοὶ πλεονεκτῆσαι καὶ κατασχεῖν ἀρχὴν εὖ πεφυ-

[1] τάδ'

Ὅτι οὐ στήσεται πάντας ἀνθρώπους ἀδικῶν] *Non stabit*, ἀντὶ τοῦ, οὐ παύσεται, ἀλλὰ διατελέσει ἀδικῶν. [*In farrag.* M. ὅτι οὐ στήσεται πάντας μὲν ἀνθρώπους, πάντα δ' ὑφ' αὑτῷ.] WOLF.

δ'. Βεβαίως γνῶναι ὅτι τῇ πόλει Φίλιππος] Ex oratione περὶ τῶν ἐν Χεῤῥονήσῳ hæc sunt repetita. Sic non dubitavit etiam Isocrates iisdem sententiis atque verbis pluribus in locis uti. IDEM.

Γνῶναι] Sub. χρὴ ex præcedenti. AUGER.

Τῇ πολιτείᾳ] Εἰδικῶς, τῇ δημοκρατίᾳ. WOLF.

Προεῖτο] Ἀόρ. β. εὐκτικὸς τοῦ προΐεμαι: etsi videtur penanflectendum προεῖτο, sicut θείμην, θεῖο, θεῖτο. IDEM.

κότες, ἀλλ' ἑτέροις λαβεῖν κωλῦσαι, καὶ τὸν ἔχοντ' ἀφε-
λέσθαι καὶ ὅλως ἐνοχλῆσαι τοῖς ἄρχειν βουλομένοις καὶ 136
πάντας ἀνθρώπους εἰς ἐλευθερίαν ἐξελέσθαι δεινοί. [1] οὐκ-
οῦν βούλεται τοῖς αὑτοῦ καιροῖς τὴν παρ' ὑμῶν ἐλευθερίαν
ἐφεδρεύειν, οὐ κακῶς οὐδ' ἀργῶς ταῦτα λογιζόμενος. πρῶ-
τον μὲν δὴ τοῦτο δεῖ, ἐχθρὸν ὑπειληφέναι τῆς πολιτείας
καὶ τῆς δημοκρατίας ἀδιάλλακτον ἐκεῖνον· δεύτερον δὲ
εἰδέναι σαφῶς ὅτι πάνθ', ὅσα πραγματεύεται καὶ κατα-
σκευάζεται νῦν, ἐπὶ τὴν ἡμετέραν πόλιν παρασκευάζεται.
οὐ γὰρ οὕτως εὐήθης ἐστὶν ὑμῶν οὐδεὶς, ὥσθ' ὑπολαμβάνειν
τὸν Φίλιππον τῶν μὲν ἐν Θρᾴκῃ κακῶν — τί γὰρ ἂν ἄλλο
τις εἴποι Δρογγίλον καὶ Καβύλην καὶ Μάστειραν, καὶ
ἃ νῦν φασὶν αὐτὸν ἔχειν; — τούτων μὲν ἐπιθυμεῖν καὶ
ὑπὲρ τοῦ ταῦτα λαβεῖν καὶ πόνους καὶ χειμῶνας καὶ
τοὺς ἐσχάτους κινδύνους ὑπομένειν, τῶν δ' Ἀθήνησι λιμέ-
νων καὶ νεωρίων καὶ τριηρῶν καὶ τῶν ἔργων τῶν ἀργυρείων
καὶ τοσούτων προσόδων καὶ [2] τόπου καὶ δόξης, ὧν μήτ'
ἐκείνῳ μήτ' ἄλλῳ γένοιτο μηδενὶ χειρωσαμένῳ τὴν πόλιν
τὴν ἡμετέραν κυριεῦσαι, οὐκ ἐπιθυμεῖν, ἀλλὰ ταῦτα μὲν
ὑμᾶς ἐάσειν ἔχειν, ὑπὲρ δὲ τῶν μελινῶν καὶ τῶν ὀλυρῶν
τῶν ἐν τοῖς Θρᾳκίοις σιροῖς ἐν τῷ βαράθρῳ χειμάζειν. οὐκ
ἔστι ταῦτα, ἀλλὰ κἀκεῖνα ὑπὲρ τοῦ τούτων γενέσθαι
136 κύριος καὶ τἄλλα πάντα πραγματεύεται.

[1] οὐκ οὖν [2] τόπων

Οὔκουν βούλεται τοῖς αὑτοῦ καιροῖς] Eandem sententiam in Oratione περὶ τῶν ἐν Χεῤῥονήσῳ sic extulit, οὔκουν βούλεται τοῖς ἑαυτοῦ καιροῖς τὴν παρ' ὑμῶν ἐλευθερίαν ἐφεδρεύειν, οὐδὲ πολλοῦ δεῖ· οὐ κακῶς οὐδ' ἀργῶς ταῦτα λογιζόμενος. Proinde hoc agit præcipue Philippus, ne status popularis libertate frui vobis liceat. Quam libertatem temporibus suis, occasionibusque rerum commode gerendarum imminere ille minime vult. id inquam ut velit longe abest. Bud. *Ex edit.* HERVAG.

Οὔκουν] Παροξυτόνως μὲν ἀρνητικόν· περισπωμένως δὲ καταφατικόν. WOLF.

Τοῖς αὑτοῦ καιροῖς τὴν παρ' ὑμῶν ἐλευθερίαν ἐφεδρεύειν] Ἔφεδροι, auctore Luciano, dicebantur athletæ, qui integri succedebant in Olympico certamine defatigatis. Hinc ducta est hæc metaphora significans, ὅτι οἱ Ἀθηναῖοι καταγωνίζεσθαι ἐπιχειρήσουσι Φίλιππον δυστυχήσαντα. IDEM.

Ὅτι πάνθ' ὅσα πραγματεύεται] Id est, *quæcumque struit, molitur.* Significat enim πραγματεύομαι præter notam significationem *satagere circa aliquid et occupari.* Cic. *pertractare* appellat, id est, *omnia tentare.* Sic alibi Demosthenes: ὁ δὲ τοῦτο ἐκ παντὸς τοῦ χρόνου μάλιστα ἐπραγματεύετο, id est, *omni ope efficere contendebat, laborabat, agebat ut efficeret. Ex edit.* HERVAG.

Τῶν μὲν ἐν Θρᾴκῃ κακῶν, etc. τούτων μὲν] Τὸ τούτων κατὰ πλεονασμὸν inculcatum ob parenthesin. WOLF.

Δρογγίλον καὶ Κάβύλην καὶ Μάστειραν] Vide Notas in orationem de Chersoneso, §. 11. STOCK.

Τριήρων] Lego τριηρῶν περισπωμένως τριηρέων, ex acuto enim et gravi fit circumflexus: nec puto nomen hoc excipi a regula. WOLF.

ε΄. Ταῦτα τοίνυν ἕκαστον εἰδότα καὶ γιγνώσκοντα παρ'
157 αὑτῷ δεῖ μὰ Δί' οὐ γράψαι κελεύειν πόλεμον τὸν τὰ βέλ-
τιστα ἐπὶ πᾶσι δικαίοις συμβουλεύοντα· τοῦτο μὲν γάρ
ἐστι λαβεῖν [1] ὅτῳ πολεμήσετε βουλομένων, οὐχ ἃ τῇ
πόλει συμφέρει πράττειν. ὁρᾶτε γάρ. εἰ δι' ἃ πρῶτα παρε-
σπόνδησε Φίλιππος ἢ δεύτερα ἢ τρίτα — πολλὰ γάρ ἐστιν
ἐφεξῆς — ἔγραψέ τις αὐτῷ πολεμεῖν, ὁ δ' ὁμοίως ὥσ-
περ νῦν, οὐ γράφοντος Ἀθηναίων οὐδενὸς πόλεμον, Καρδια-
νοῖς ἐβοήθει, οὐκ ἀνηρπασμένος ἂν ἦν ὁ ταῦτα γράψας,
καὶ [2] διὰ τοῦθ' ἅπαντες ᾐτιῶντο ἂν αὐτὸν Καρδιανοῖς βε-
βοηθηκέναι; μὴ τοίνυν ζητεῖτε ὅντινα, ἀνθ' ὧν Φίλιππος
ἐξαμαρτάνει, μισήσετε καὶ τοῖς παρ' ἐκείνου μισθαρνοῦσι
διασπάσασθαι παραβαλεῖτε· μηδ' αὐτοὶ χειροτονήσαντες
πόλεμον βούλεσθε παρ' ὑμῖν αὐτοῖς ἐρίζειν, εἰ δέον ἢ μὴ
δέον [3] ὑμᾶς τοῦτο πεποιηκέναι· ἀλλ' ὃν ἐκεῖνος πολεμεῖ τρό-
πον, τοῦτον ἀμύνεσθε, τοῖς μὲν ἀμυνομένοις ἤδη χρήματα
καὶ τἄλλα ὧν ἂν δέωνται διδόντες, αὐτοὶ δ' εἰσφέροντες,
ὦ ἄνδρες Ἀθηναῖοι, καὶ κατασκευαζόμενοι στράτευμα,

[1] ὅτῳ πολεμήσετε λαβεῖν βουλομένων [2] δι' αὐτό γε τοῦθ' [3] ἡμᾶς

ε΄. Τοῦτο μὲν γάρ ἐστιν ὅτῳ μὴ πολεμήσετε λαβεῖν οὐ βουλομένων] *Nam id quidem eorum est, qui, cum quo bellum non gerant, capere nolunt.* Felicianus τὸ μὴ et οὐ omittit. (Alterutra certe negatio, si non utraque, abundat.) *Nam id quidem eorum est, qui, cum quo bellum gerant, capere, volunt,* id est: Ea re non aliud quæritis, nisi ut auctorem belli Philippo inferendi pro hoste habeatis. Sin ὅτῳ πολεμήσετε λαβεῖν οὐ βουλομένων: *Eorum est, qui, cum quo bellum gerant, capere nolint,* id est, tergiversantium et detrectantium bellum, est, jubere decerni, pace jam violata, Philippo bellum esse faciendum, qui jamdudum bellum gerit; id est: *Si vobis curæ esset respublica, et non magis propensi essetis ad calumniandos oratores: intelligeretis, non decernendum, sed gerendum esse bellum.* τὸ ὅτῳ capi potest τελικῶς, ἀντὶ τοῦ, ἐφ' ᾧ, ἢ ἵνα μή. Ego verti: *Id enim eorum est, qui detrectandi belli causam quærunt: non qui ea, quæ sunt ex usu reipublicæ, agere decreverunt.* Quæ interpretatio si cui displicet, reponat: *est, cum quo bellum geratis, quærere:* quæ sententia magis consentit cum iis, quæ sequuntur. Wolf.

Ἔγραψε] Sub. ἂν potentiale. Auger.

Εἰ Καρδιανοῖς ἐβοήθει] Ὑποθετικῶς hæc accipienda sunt omnia. Colligit enim e præsenti Atheniensium consuetudine, quid tum facturi fuissent. Wolf. Vide Arg. Tour. in orationem de Chers. Stock.

Οὐκ ἀνηρπασμένος ἂν ἦν] Scilicet εἰς τὸ δεσμωτήριον, ἢ ἐκβληθεὶς τῆς ἐκκλησίας. Postea ἀνάρπαστος γέγονεν (pro quo alii legunt ἀνάσπαστος) utitur de eo satrapa, qui ad dicendam causam revocatur e provincia, aut fortasse captivus abducitur, et ad pœnam rapitur: quod et nomini et rei magis convenit. et apud Herodianum, τινὰς ἀναρπάστους ποιεῖν, *revocare e provincia.* Quod Suidas habet, οἱ ἀνάρπαστοι, οἱ ἀμύητοι, οἷς ὄργια καὶ τελεταὶ οὐκ ἐγένοντο, huic loco alienum est. Apud Plutarchum Ῥαμύλος ἀνηρπασμένος εἰς θεοὺς, *raptus ad Deos*, id est, ἀποθεωθεὶς, in bonam partem. Wolf.

Αὐτὸν] Nempe, Philippum. Auger.

Διασπάσασθαι (sic enim mālo, quam διασπάσεσθαι) παραβαλεῖτε] Ἵνα διασπάσωνται αὐτούς. Wolf.

Αὐτοὶ χειροτονήσαντες] Vult, ut ipsi Athenienses bellum decernant, idque ubi fecerint, ut ne semetipsos calumnientur, neque dubitent, quin recte fecerint. Idem.

Τοῖς μὲν ἀμυνομένοις ἤδη] Τοῖς ἐν Χεῤῥονήσῳ. Idem.

τριήρεις ταχείας, ἵππους, ἱππαγωγοὺς, καὶ τἄλλα ὅσα 158
εἰς πόλεμον. ἐπεὶ νῦν γε γέλως ἐστὶν ὡς χρώμεθα τοῖς
πράγμασι, καὶ Φίλιππον δ' αὐτὸν [1] οἶμαι οὐδὲν ἂν ἄλλο
μὰ τοὺς θεοὺς εὔξασθαι ποιεῖν τὴν πόλιν ἢ ταῦτα, ἃ
νῦν ποιεῖτε· ὑστερίζετε, ἀναλίσκετε, ὅτῳ παραδώσετε τὰ
πράγματα [2] ζητεῖτε, δυσχεραίνετε, ἀλλήλους αἰτιᾶσθε.
137 ἀφ' ὅτου δὲ ταῦτα γίνεται, ἐγὼ διδάξω, καὶ ὅπως παύσεται, λέξω.

ϛ'. Οὐδὲν πώποτε, ὦ ἄνδρες Ἀθηναῖοι, τῶν πραγμάτων ἐξ ἀρχῆς ἐνεστήσασθε οὐδὲ κατεσκευάσασθε ὀρθῶς, ἀλλὰ τὸ συμβαῖνον ἀεὶ διώκετε· εἶτ' ἐπειδὰν ὑστερίσητε, παύεσθε· ἕτερον πάλιν ἐὰν συμβῇ τι, παρασκευάζεσθε καὶ θορυβεῖσθε. τὸ δ' οὐχ οὕτως ἔχει· οὐκ ἔνεστι βοηθείαις χρωμένους οὐδὲν τῶν δεόντων [3] ποτὲ πρᾶξαι, ἀλλὰ κατασκευάσαντας δεῖ δύναμιν, καὶ τροφὴν ταύτῃ πορίσαντας καὶ ταμίας καὶ δημοσίους, καὶ, ὅπως ἔνι τὴν τῶν χρημάτων φυλακὴν ἀκριβεστάτην γενέσθαι, οὕτω ποιήσαντας, τὸν μὲν τῶν χρημάτων λόγον παρὰ τούτων λαμβάνειν, τὸν δὲ τῶν ἔργων παρὰ τοῦ στρατηγοῦ, καὶ μηδεμίαν πρόφασιν τοῦ πλεῖν ἄλλοσε ἢ πράττειν ἄλλο τι τῷ στρατηγῷ καταλείπειν. ἂν δ' οὕτω ποιήσητε καὶ τοῦτ' ἐθελήσητε ὡς ἀληθῶς, ἄγειν εἰρήνην δικαίαν καὶ μένειν ἐπὶ τῆς αὑτοῦ Φίλιππον ἀναγκάσετε, ἢ πολεμήσετε ἐξ ἴσου· καὶ ἴσως ἂν ἴσως, ὦ ἄνδρες Ἀθηναῖοι, ὥσπερ ὑμεῖς νῦν πυνθάνεσθε, τί ποιεῖ Φίλιππος καὶ ποῖ πορεύεται, οὕτως [4] ἂν ἐκεῖνος φροντίσαι, ποῖ ποτε ἡ τῆς πόλεως ἀπῆρκε δύναμις καὶ ποῦ φανήσεται.

ζ'. Εἰ δέ τῳ δοκεῖ ταῦτα καὶ δαπάνης πολλῆς καὶ πόνων πολλῶν καὶ πραγματείας εἶναι, καὶ μάλα ὀρθῶς

[1] οἴομαι [2] [ζητεῖτε·] [3] πώποτε [4] * αὖ

Ὅσα εἰς πόλεμον] Scilicet ἀναγκαῖά ἐστιν, ἢ ἀνήκει. Idem.

ϛ'. Τὸ δ' οὐχ οὕτως ἔχει] Quid si ἔδει; Scilicet γενέσθαι. Aut certe ἀντὶ τοῦ, οὐ προσήκει ταῦθ' οὕτω γίγνεσθαι. Idem. Sub. πρᾶγμα. Auger.

Βοηθείαις χρωμένους] Vide Not. in Phil. I. §. ιά. Stock.

Φυλακὴν] Custodienda pecunia est, id est, providendum, ne duces aut quæstores ærarium depeculentur. Wolf.

Οὕτω ποιήσαντες] Scilicet, ὑμᾶς δεῖ. Idem.

Μηδεμίαν πρόφασιν τοῦ πλεῖν ἄλλοσε] Not. in Phil. I. §. θ'. Stock.

Ἐπὶ τῆς αὑτοῦ] Sub. χώρας. Auger.

ζ'. Εἰ δέ τῳ δοκεῖ ταῦτα] Ἐκ τοῦ περὶ τῶν ἐν Χεῤῥονήσῳ λόγου δεῦρο μετενηνεγμένα. Wolf.

δοκεῖ. ἀλλ' ἐὰν λογίσηται τὰ τῇ πόλει μετὰ ταῦτα γενη-
159 σόμενα, ἐὰν ταῦτα μὴ ἐθέλῃ ποιεῖν, εὑρήσει λυσιτελοῦν τὸ ἑκόντας ποιεῖν τὰ δέοντα. εἰ μὲν γάρ ἐστί τις ἐγγυητὴς ὑμῖν θεῶν—οὐ γὰρ ἀνθρώπων γε οὐδεὶς ἂν γένοιτο ἀξιόχρεως τηλικούτου πράγματος—, ὡς ἐὰν ἄγηθ' ἡσυχίαν 138
καὶ ἅπαντα πρόησθε, οὐκ ἐπ' αὐτοὺς ὑμᾶς τελευτῶν ἐκεῖνος ἥξει, αἰσχρὸν μὲν νὴ τὸν Δία καὶ πάντας τοὺς θεοὺς καὶ ἀνάξιον ὑμῶν καὶ τῶν ὑπαρχόντων τῇ πόλει καὶ τῶν πεπραγμένων τοῖς προγόνοις, τῆς ἰδίας ῥᾳθυμίας ἕνεκα τοὺς ἄλλους Ἕλληνας ἅπαντας εἰς δουλείαν προέσθαι, καὶ ἔγωγ' αὐτὸς τεθνάναι μᾶλλον ἂν ἢ ταῦτ' εἰρηκέναι βουλοίμην· οὐ μὴν ἀλλ' εἴ τις ἄλλος λέγει καὶ ὑμᾶς πείθει, ἔστω, μὴ ἀμύνεσθε, ἅπαντα πρόεσθε. εἰ δὲ μηδενὶ τοῦτο δοκεῖ, τοὐναντίον δὲ πρόϊσμεν ἅπαντες, ὅτι ὅσῳ ἂν πλειόνων ἐάσωμεν ἐκεῖνον γενέσθαι κύριον, τοσούτῳ χαλεπωτέρῳ καὶ ἰσχυροτέρῳ χρησόμεθα ἐχθρῷ, [1] ποῖ ἀναδυόμεθα; ἢ τί μέλλομεν; ἢ πότε, ὦ ἄνδρες Ἀθηναῖοι, τὰ δέοντα ποιεῖν ἐθελήσομεν; ὅταν νὴ Δί' ἀνάγκη τις ᾖ. ἀλλ' ἣν μὲν ἄν τις ἐλευθέρων ἀνθρώπων ἀνάγκην εἴποι, οὐ μόνον ἤδη πάρεστιν ἀλλὰ καὶ πάλαι παρελήλυθε, τὴν δὲ τῶν δούλων ἀπεύχεσθαι δήπου μὴ γενέσθαι δεῖ. διαφέρει δὲ τί; ὅτι ἐστὶν ἐλευθέρῳ μὲν ἀνθρώπῳ μεγίστη ἀνάγκη ἡ ὑπὲρ τῶν γιγνομένων αἰσχύνη, καὶ μείζω ταύτης οὐκ οἶδα ἥν τινα ἂν εἴποι τις· δούλῳ δὲ πληγαὶ καὶ ὁ τοῦ σώματος αἰκισμός· ὃ μήτε γένοιτο οὔτε λέγειν ἄξιον.

η΄. Τὸ μὲν τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, πρὸς τὰ τοιαῦτα ὀκνηρῶς διακεῖσθαι, ἃ δεῖ τοῖς σώμασι καὶ τοῖς οὖσι λειτουργῆσαι ἕκαστον, ἐστὶ μὲν οὐκ ὀρθῶς ἔχον, οὐδὲ πολλοῦ δεῖ, οὐ μὴν ἀλλ' ἔχει γέ τινα πρόφασιν ὅμως· τὸ δὲ μηδ' ὅσα ἀκοῦσαι δεῖ μηδ' ὅσα βουλεύσασθαι προσήκει, μηδὲ ταῦτ' ἐθέλειν ἀκούειν, τοῦτ' ἤδη πᾶσαν ἐπιδέχεται κατη- 139
γορίαν. ὑμεῖς τοίνυν οὔτ' ἀκούειν, πρὶν ἂν ὥσπερ νῦν αὐτὰ παρῇ τὰ πράγματα, οὔτε βουλεύεσθαι περὶ οὐδενὸς εἰώθατε ἐφ' ἡσυχίας· ἀλλ' ὅταν μὲν ἐκεῖνος παρασκευάζηται ἐφ' ὑμᾶς, ἀμελήσαντες τοῦ ποιεῖν [2] ταὐτὸ καὶ ἀντιπαρασκευά-

[1] τί [2] τοῦτο

ζεσθαι ῥαθυμεῖτε, καὶ ἐάν τι λέγῃ τις, ἐκβάλλετε, ἐπει-
δὰν δὲ ἀπολωλὸς ἢ πολιορκούμενόν τι πύθησθε, τηνικαῦτ' 160
ἀκροᾶσθε καὶ παρασκευάζεσθε. ἦν δ' ἀκηκοέναι μὲν καὶ
βεβουλεῦσθαι τότε καιρὸς, ὅθ' ὑμεῖς οὐκ [1] ἠθέλετε· πράτ-
τειν δὲ καὶ χρῆσθαι τοῖς παρεσκευασμένοις νῦν, ἡνίκ' ἀκού-
ετε. τοιγαροῦν ἐκ τῶν τοιούτων ἐθῶν μόνοι τῶν πάντων
ἀνθρώπων ὑμεῖς τοὐναντίον τοῖς ἄλλοις ποιεῖτε· οἱ μὲν γὰρ
ἄλλοι πάντες ἄνθρωποι πρὸ τῶν πραγμάτων εἰώθασι
χρῆσθαι τῷ βουλεύεσθαι, ὑμεῖς δὲ μετὰ τὰ πράγματα.
ὃ δὴ λοιπόν ἐστι, καὶ πάλαι μὲν ἔδει, διαφεύγει δ' οὐδὲ
νῦν, τοῦτ' ἐρῶ.

θʹ. Οὐδενὸς τῶν [2] πάντων οὕτως ὡς χρημάτων δεῖ τῇ
πόλει πρὸς τὰ νῦν ἐπιόντα πράγματα. συμβέβηκε δ' εὐτυ-
χήματα ἀπὸ ταὐτομάτου, οἷς ἂν χρησώμεθα ὀρθῶς, ἴσως
ἂν γένοιτο τὰ δέοντα. πρῶτον μὲν γὰρ, οἷς βασιλεὺς πι-
στεύει, καὶ εὐεργέτας ὑπείληφεν αὑτοῦ, οὗτοι μισοῦσι καὶ
πολεμοῦσι Φιλίππῳ. ἔπειθ' ὁ πράττων καὶ συνειδὼς
ἅπανθ' ὅσα Φίλιππος κατὰ βασιλέως παρασκευάζεται,
οὗτος [3] ἀνάσπαστος γέγονε, καὶ πάσας τὰς πράξεις βασι-
λεὺς οὐχ ἡμῶν κατηγορούντων ἀκούσεται, οὓς ὑπὲρ τοῦ
συμφέροντος ἂν ἡγήσαιτο τοῦ ἰδίου λέγειν, ἀλλὰ τοῦ πρά-
140 ξαντος αὐτοῦ καὶ διοικοῦντος, ὥστ' εἶναι πιστὰς τὰς κα-
τηγορίας, καὶ λοιπὸν λόγον εἶναι τοῖς παρ' [4] ἡμῶν πρέσβε-

[1] ἠθελήσατε [2] ἁπάντων [3] ἀνάρπαστος [4] ὑμῶν

Τι λέγῃ] Ad τὶ sub. ἐπιτήδειον, vel aliud quid. AUGER.

Διαφέρει δὲ οὐδὲ νῦν] Intelligo: *nihil autem interest etiam nunc fieri*, i. e. potest etiam nunc fieri. IDEM.

θʹ. Οἷς βασιλεὺς πιστεύει] Thebanos innuit, qui Artaxerxi Ocho egregiam operam navarant in obsidione Pelusii, urbis Ægyptiacæ. Causas odii Thebanorum in Philippum jam didicimus in oratione præcedente. Echinum nempe iis eripuerat, quod haud æquo animo ferre poterant. *Ex edit.* STOCK.

Οὗτοι μισοῦσι καὶ πολεμοῦσι Φιλίππῳ] Observa diversæ constructionis verba. WOLF.

Ἔπειθ' ὁ πράττων καὶ συνειδὼς] Vide annotationes in Ulpianum. IDEM.

Οὗτος ἀνάρπαστος γέγονε] Spectat hoc Eunuchum Hermiam, Atarnæ Mysiæ urbis præfectum, quicum Philippus consilia communicaverat de Asia bello petenda. Hunc Mentor Rhodius, ad colloquium invitatum, in vincula conjecit, et ad Artaxerxem deduxit. *Ex edit.* STOCK.

Οὗτος ἀνάρπαστος γέγονε] Budæus legit, οὗτος ἀνάσπαστος γέγονε, hoc est, quæstori suo eunucho rex successorem misit. ἀνάσπαστος enim dicitur, *cui successor mittitur, qui revocatur e provincia.* et ita legit interpres, ταμίαν τὸν εὐνοῦχον ἀνάσπαστον ἐποιήσατο ὁ βασιλεὺς, μαθὼν αὐτὸν συμπράττειν Φιλίππῳ. In impressis legitur ἀνάρπαστον, non magno errore. Sunt enim ἀνάρπαστοι, *qui de medio tolluntur, et qui sic revocantur, e provinciis.* Herod. lib. 3. πλείστους γοῦν τῶν ἔθνη καὶ στρατόπεδα πεπιστευμένων, μετὰ ὑπατείας τιμὴν, ἢ δόξαν ἐπὶ τροπαίοις προσγενομένην ἐκ μικρᾶς καὶ εὐτελοῦς διαβολῆς ἀναρπάστους ἐποίει, hoc est, *rapi ad se jubebat abrogato imperio,* &c. *Ex edit.* HERVAG.

σιν, ὃν βασιλεὺς ἥδιστα ἂν [1] ἀκούσαι, ὡς τὸν ἀμφοτέρους
161 ἀδικοῦντα κοινῇ τιμωρήσασθαι δεῖ, καὶ ὅτι πολὺ τῷ βασιλεῖ φοβερώτερός ἐσθ᾽ ὁ Φίλιππος, ἂν προτέροις ἡμῖν ἐπίθηται· εἰ γὰρ ἐγκαταλειπόμενοί τι πεισόμεθα ἡμεῖς, ἀδεῶς ἐπ᾽ ἐκεῖνον ἤδη πορεύσεται. ὑπὲρ δὴ τούτων ἁπάντων οἴομαι δεῖν ὑμᾶς πρεσβείαν ἐκπέμπειν, ἥτις τῷ βασιλεῖ διαλέξεται, καὶ τὴν ἀβελτερίαν ἀποθέσθαι, δι᾽ ἣν πολλάκις ἠλαττώθητε, ὁ δὴ βάρβαρος καὶ κοινὸς ἅπασιν ἐχθρὸς, καὶ ἅπαντα τὰ τοιαῦτα. ἐγὼ γὰρ, ὅταν τιν᾽ [2] ἴδω τὸν μὲν ἐν Σούσοις καὶ ἐν Ἐκβατάνοις δεδοικότα καὶ κακόνουν εἶναι τῇ πόλει φάσκοντα, ὃς καὶ πρότερον συνεπηνώρθωσε τὰ τῆς πόλεως πράγματα καὶ νῦν ἐπηγγέλλετο — εἰ δὲ μὴ ἐδέχεσθ᾽ ὑμεῖς, ἀλλ᾽ ἀπεψηφίζεσθε, οὐ τά γε ἐκείνου αἴτια —, ὑπὲρ δὲ τοῦ ἐπὶ ταῖς θύραις ἐγγὺς οὑτωσὶ ἐν μέσῃ τῇ Ἑλλάδι αὐξανομένου λῃστοῦ τῶν Ἑλλήνων ἄλλο τι λέγοντα, θαυμάζω, καὶ δέδοικα τοῦτον, ὅστις ἂν ᾖ ποτ᾽, ἔγωγ᾽, ἐπειδὴ οὐχ οὗτος Φίλιππον.

ι. Ἔστι τοίνυν τι πρᾶγμα καὶ ἄλλο, ὃ λυμαίνεται τὴν

[1] ἀκούσαιτο

[2] ἴδω τινὰ τὸν

Ἔσθ᾽ ὁ Φ.] Non ἐστὶ, sed ἔσται. Auger.

Ἂν πρότερος] Lego ἂν προτέροις ἡμῖν. Wolf.

Ἀβελτηρίαν] Lego ἀβελτερίαν per ε in tertia syllaba: quia fit ab ἀβέλτερος, ὁ τὰ βελτίω μὴ αἱρούμενος δι᾽ ἀφροσύνην. Reprehendit Athenienses, qui dubitent, superstitione quadam, regi Persico esse supplices: cum (ut apud Thucydidem est) sit ἀνεπίφθονον παρὰ πᾶσιν ἀνθρώποις ὠφέλειάν τιν᾽ εὑρίσκειν δεομένους. et Terentius: *Abs quivis,* inquit, *homine, cum opus est, beneficium accipere gaudeas.* Idem.

Καὶ δὴ βάρβαρος] Hæc μιμητικῶς dicit. Est enim ἐξήγησις τῆς ἀβελτερίας. Quæ est ista ἀβελτερία? quod dicitis, eum esse Barbarum. Sed quid ad vos ejus barbaries, si vobis prodest? Hoc si cui displicet, dicat esse concessionem. Est sane barbarus, &c. sed prodesse potest. Idem.

Κοινὸς ἅπασιν ἐχθρὸς] Vide Panegyricum Isocratis. Idem.

Τὸν μὲν ἐν Σούσοις καὶ ἐν Ἐκβατάνοις] Persarum regem dicit, qui Susis hyemem, Ecbatanis æstatem agere solebat. Erat hæc Mediæ, illa Susianæ urbs præcipua. *Ex edit.* Stock.

Ἴδω τὸν μὲν] Leg. ἴδω τινὰ τὸν μέν. Wolf.

Ὃς καὶ πρότερον συνεπηνώρθωσε] Vide Evagoram Isocratis, et Philippicam, et Panegyricum, ubi Cononis fit mentio, qui Regi Persarum duxerit exercitum, et Xenophontis ά. Ἑλληνικῶν. Idem. Nempe, quando Conon, a Persis adjutus, Lacedæmoniorum classem apud Cnidum superaverit. *Ex edit.* Stock.

Καὶ νῦν ἐπηγγέλλετο] Scilicet συγκατορθώσειν τὰ πράγματα τῆς πόλεως. Id fortassis Demosthenes per satrapas curaverat, ut fieret: quos Darius illi, quantum pecuniæ postulasset, dare jussit: quo Græcis tumultibus Macedonem distineret, et Dinarchus objicit Demostheni, eum 300. talenta a Rege Persarum ad Thebanorum defensionem missa, cum sua factione partitum. Sed id, si verum est, posterius factum fuit. Wolf.

Εἰ δὲ μὴ ἐδέχεσθ᾽ ὑμεῖς] Eodem tempore quo Thebani regem adjuverant, Athenienses quoque et Argivi, suppetias ferre rogati, (magnifica quamvis promitterentur) detrectarunt; quod inconsulte factum significat Demosthenes. *Ex edit.* Stock.

ι. Ἔστι τοίνυν τι πρᾶγμα καὶ ἄλλο ὃ λυμαίνεται] Quod ad τὰ θεωρικὰ χρήματα attinet, consulas Arg. Tourellii in secundam Olynthiacam. Eubuli morte factum esset, ait Ulpianus, ut Demosthenes morem dividendi cum plebe vectigalis pu-

πόλιν ὑπὸ βλασφημίας ἀδίκου καὶ λόγων οὐ προσηκόντων 162
διαβεβλημένον, εἶτα τοῖς μηδὲν τῶν δικαίων ἐν τῇ πόλει
βουλομένοις ποιεῖν πρόφασιν παρέχει· καὶ πάντων ὅσα
ἐκλείπει δέον [1] παρά του γίγνεσθαι, ἐπὶ τοῦθ᾽ εὑρήσετε
τὴν αἰτίαν ἀναφερομένην. περὶ οὗ πάνυ μὲν φοβοῦμαι λέ-
γειν, οὐ μὴν ἀλλ᾽ ἐρῶ· [2] οἶμαι γὰρ ἕξειν καὶ ὑπὲρ τῶν
ἀπόρων τὰ δίκαια ἐπὶ τῷ συμφέροντι τῆς πόλεως εἰπεῖν
πρὸς τοὺς εὐπόρους καὶ ὑπὲρ τῶν κεκτημένων τὰς οὐσίας
141 πρὸς τοὺς καταδεεῖς, εἰ ἀνέλοιμεν ἐκ μέσου τὰς βλασφη-
μίας, ἃς ἐπὶ τῷ θεωρικῷ ποιοῦνταί τινες οὐχὶ δικαίως,
καὶ τὸν φόβον, ὡς οὐ στήσεται τοῦτο ἄνευ μεγάλου τινὸς
κακοῦ· οὗ οὐδὲν ἂν εἰς τὰ πράγματα μεῖζον εἰσενεγκαί-
μεθα, οὐδ᾽ ὅ τι κοινῇ μᾶλλον ἂν ὅλην ἐπιρρώσειε τὴν πό-
λιν. οὑτωσὶ δὲ σκοπεῖτε· ἐρῶ δ᾽ ὑπὲρ τῶν ἐν χρείᾳ δοκούν-
των εἶναι πρότερον. ἦν ποτ᾽ οὐ πάλαι παρ᾽ ἡμῖν, ὅτ᾽ οὐ
προσῄει τῇ πόλει τάλαντα ὑπὲρ τριάκοντα καὶ ἑκατόν·
καὶ οὐδεὶς ἦν τῶν τριηραρχεῖν δυναμένων οὐδὲ τῶν εἰσφέρειν,
ὅστις οὐκ ἠξίου τὰ καθήκοντα ἀφ᾽ ἑαυτοῦ ποιεῖν, ὅτι χρή-
ματα οὐ περιῆν, ἀλλὰ καὶ τριήρεις ἔπλεον καὶ χρήματα
ἐγίγνετο, καὶ πάντα ἐποιοῦμεν τὰ δέοντα. μετὰ ταῦτα ἡ
τύχη καλῶς ποιοῦσα πολλὰ πεποίηκε τὰ κοινά, καὶ τε- 163

[1] παρὰ τοῦτο γίγν.

[2] οἴομαι

blici jam commendet, quem in secunda et tertia Olynth. acerrime insectatur. Verum civis bonus populo interdum obsequatur necesse est, etiam in iis quæ ipse non probat. Quod hic aggreditur Demosthenes lubricum erat admodum; de quo maximæ divitum pauperumque inter se ortæ sunt inimicitiæ. Ægre ferebant pauperes, emolumenta, quæ sibi propria esse oporteat, etiam divitibus obvenire. Divites contra querebantur, reditus publicos temere effundi, suas facultates tributum conferendo atteri; quod, ut inviti, maligne præbebant. [*Aliam mutatæ sententiæ causam Demostheni tribuit Ulpianus, quam et ipse veriorem judicat: ut, si omnino retinenda sit pecuniæ theatralis distributio, perspectum habeant omnes, nihil esse deinceps reip. præsidii, excepta spe largitionis regiæ. S.] *Ibid.*

Δέον παρά του τοῦτο γίγνεσθαι] Scilicet τὸ ἐκλεῖπον, quanquam, cum supra dixerit, ὅσα ἐκλείπει, fortasse ταῦτα legendum. Wolf. Dedi παρὰ τοῦτο sine τοῦ. Δέον παρὰ τοῦτο γίγνεσθαι, *quum oporteret propter hoc fieri*, nempe, publicam rem, publicam utilitatem. Auger.

Οὗ οὐδὲν ἂν εἰς τὰ πράγματα] Οὗ, scilicet τοῦ ἀνελεῖν ἐκ μέσου τὰς βλασφημίας, καὶ τὸν φόβον, ὡς οὐ, &c. Si sustulerimus e medio calumnias, &c. et metum seditionis: nullum reipublicæ majus tributum pendere poterimus, neque facere quicquam, quod totius civitatis tranquillitatem magis constabiliat. εἰσενεγκαίμεθα fit ab εἰσφέρω. ἐπιῤῥώσειεν ab ἐπιῤῥώννυμι, *confirmo.* Wolf.

Οὗ οὐδὲν ἂν εἰς τὰ πράγματα μεῖζον εἰσενεγκαίμεθα] Si sustulerimus e medio calumnias et querelas, nullum majus in rempub. emolumentum conferre possumus. *Ex edit.* Stock.

Ὅστις οὐκ ἠξίου τὰ καθήκοντα ἀφ᾽ ἑαυτοῦ ποιεῖν] Ποιεῖν ἀφ᾽ ἑαυτοῦ, τουτέστι προθύμως καὶ ἑκών. Wolf.

Μετὰ ταῦτα ἡ τύχη καλῶς ποιοῦσα πολλὰ πεποίηκε τὰ κοινὰ] Id est, *merito fortuna auxit annuos reipub. redditus.* Est enim καλῶς ποιῶ sermo approbantis rei eventum, frequens apud auctores. Greg. εἰς

τρακόσια ἀντὶ τῶν ἑκατὸν ταλάντων προσέρχεται, οὐδενὸς οὐδὲν ζημιουμένου τῶν τὰς οὐσίας ἐχόντων, ἀλλὰ καὶ προσλαμβανόντων· οἱ γὰρ εὔποροι πάντες ἔρχονται μεθέξοντες τούτου, καὶ καλῶς ποιοῦσι. τί οὖν μαθόντες τοῦτο ὀνειδίζομεν ἀλλήλοις καὶ προφάσει χρώμεθα τοῦ μηδὲν τῶν δεόντων ποιεῖν, πλὴν εἰ μὴ τῇ παρὰ τῆς τύχης βοηθείᾳ γεγονυίᾳ τοῖς ἀπόροις φθονοῦμεν; οὓς οὔτ' ἂν αἰτιασαίμην ἔγωγε, οὔτ' ἀξιῶ. οὐδὲ γὰρ ἐν ταῖς ἰδίαις οἰκίαις ὁρῶ [1] τὸν ἐν ἡλικίᾳ πρὸς τοὺς πρεσβυτέρους οὕτω διακείμενον, οὐδ' οὕτως ἀγνώμονα οὐδ' [2] ἀτοπώτατον ὄντα οὐδένα, ὥστε, εἰ μὴ ποιήσουσιν ἅπαντες ὅσ' ἂν αὐτός, οὐ [3] φάσκοντα ποιήσειν οὐδὲν οὐδ' αὐτόν· καὶ γὰρ ἂν τοῖς τῆς κακώσεως εἴη νόμοις οὗτός [4] γε ἔνοχος· δεῖ γάρ, οἶμαι, τοῖς γονεῦσι τὸν 142
ὡρισμένον ἐξ ἀμφοτέρων ἔρανον, καὶ παρὰ τῆς φύσεως καὶ παρὰ τοῦ νόμου, δικαίως φέρειν καὶ ἑκόντα ὑποτελεῖν. ὥσπερ τοίνυν ἑνὸς ἡμῶν [5] ἑκάστου τίς ἐστι γονεύς, οὕτω συμπάσης τῆς πόλεως κοινοὺς δεῖ γονέας τοὺς [6] σύμπαντας ἡγεῖσθαι· καὶ προσήκει τούτους οὐχ ὅπως ὧν ἡ πόλις δίδωσιν ἀφελέσθαι τι, ἀλλ' εἰ καὶ μηδὲν ἦν τούτων, ἄλλοθεν σκοπεῖν ὅπως μηδενὸς ὄντες ἐνδεεῖς περιοφθήσονται. τοὺς μὲν τοίνυν εὐπόρους ταύτῃ χρωμένους τῇ γνώμῃ οὐ μόνον ἡγοῦμαι τὰ δίκαια ποιεῖν ἄν, ἀλλὰ καὶ τὰ λυσιτελῆ· τὸ γὰρ

[1] * τῶν [2] ἄτοπον τῶν ὄντων οὐδένα [3] φάσκειν [4] γε] τότε
[5] ἑκάστου εἷς τίς [6] * πένητας

βασίλειον, ὅπερ οὖν καλῶς ποιοῦν καὶ συνέδραμεν, *quod ut decuit et debuit concurrit.* Eandem habet vim εὖ ποιῶν. Idem in eadem, ὅπερ οὖν ἐκείνῳ συμβέβηκεν εὖ ποιοῦν. Plato ὀρθῶς δρᾶν dixit in Philebo. ἃ πολλάκις ἡμᾶς αὐτοὺς ἀναμιμνήσκομεν, ὀρθῶς δρῶντες, &c. *Ex edit.* HERVAG.

Μεθέξοντες τούτου] Malim τούτων, S. τῶν προσόδων. WOLF. Potest servari τούτου, scil. τοῦ περιόντος ἀργυρίου: Sed malim τούτων. AUGER.

Οἱ γὰρ εὔποροι πάντες ἔρχονται μεθέξοντες τούτου] Stipendium enim magistratus de publico accipiebant. *Ex edit.* STOCK.

Πλὴν εἰ μὴ τῇ παρὰ τῆς τύχης βοηθείᾳ γεγονυίᾳ τοῖς ἀπόροις φθονοῦμεν] Lego ἐπὶ τῇ παρὰ τῆς τύχης βοηθείᾳ. Alias φθονῶ σοι τούτου. WOLF. Ad τῇ βοηθείᾳ γεγ. subaudi ἐπὶ, vel lege τὴν βοηθείαν γεγονυῖαν, vel τῆς βοηθείας γεγονυίας, dicitur enim φθονῶ σοι τοῦτο, vel φθονῶ σοι τούτου, vel φθονῶ σοι ἐπὶ τούτῳ. AUGER.

Οὔτ' ἀξιῶ] Αἰτιατέον εἶναι, vel οὔτ' ἄλλους αἰτιάσασθαι αὐτοὺς ἀξιῶ. WOLF.

Ὥστε—οὐ φάσκοντα] Ἀντὶ τοῦ, φάσκειν. IDEM.

Τῆς κακώσεως] Solon lege jussit, ut liberi parentes egenos alerent; qui secus facerent, ἀτίμους esse. Actio de hac re δίκη κακώσεως appellata est. *Ex edit.* STOCK.

Τοὺς σύμπαντας] Arbitrabar primo admittendam esse Reiskii emendationem, tanquam veram et genuinam lectionem, et eo sensu gallice interpretatus sum; sed, re paulo attentius inspecta, tandem mihi visum fuit retinendum esse τοὺς σύμπαντας, siquidem hæ voces probum sensum efficiunt, quum vulgo pauperes maximam civitatum partem efficiant ac proinde οἱ σύμπαντες ad ipsos maxime pertineat. AUGER.

Τὸ γὰρ τῶν ἀναγκαίων] Hoc est: Unius ordinis offensio periculosa est toti civitati. WOLF.

τῶν ἀναγκαίων τινὰς ἀποστερεῖν κοινῇ κακόνους ἐστὶ ποιεῖν πολλοὺς ἀνθρώπους τοῖς πράγμασι.

ιά. Τοῖς δ' ἐν ἐνδείᾳ, δι' ὃ δυσχεραίνουσι τὸ πρᾶγμα οἱ 164
τὰς οὐσίας ἔχοντες καὶ κατηγοροῦσι δικαίως, τοῦτ' ἀφελεῖν ἂν συμβουλεύσαιμι. δίειμι δὲ, ὥσπερ ἄρτι, τὸν αὐτὸν τρόπον καὶ ὑπὲρ τῶν εὐπόρων, οὐ κατοκνήσας εἰπεῖν τἀληθῆ· ἐμοὶ γὰρ οὐδεὶς οὕτως ἄθλιος οὐδ' ὠμὸς εἶναι δοκεῖ τὴν γνώμην, οὔκουν Ἀθηναίων γε, οἶμαι, ἀλλ' οὐδὲ τῶν ἄλλων, ὥστε λυπεῖσθαι ταῦτα λαμβάνοντας ὁρῶν τοὺς ἀπόρους καὶ τῶν ἀναγκαίων ἐνδεεῖς ὄντας. ἀλλὰ ποῦ συντρίβεται τὸ πρᾶγμα, καὶ ποῦ δυσχεραίνεται; [1] ὅταν τὸ ἀπὸ τῶν κοινῶν ἔθος ἐπὶ τὰ ἴδια μεταβιβάζοντας ὁρῶσί τινας, καὶ μέγαν μὲν ὄντα παρ' ὑμῖν εὐθέως τὸν λέγοντα, ἀθάνατον δ' ἕνεκ' ἀσφαλείας, ἑτέραν δὲ τὴν κρύβδην ψῆφον τοῦ φανερῶς θορύβου. ταῦτ' ἀπιστίαν, ταῦτ' ὀργὴν ἔχει. δεῖ γὰρ, ὦ ἄνδρες Ἀθηναῖοι, δικαίως ἀλλήλοις τῆς πολιτείας κοι-
143 *νωνεῖν, τοὺς μὲν εὐπόρους εἰς μὲν τὸν βίον τὸν ἑαυτῶν ἀσφαλῶς ἔχειν νομίζοντας καὶ [2] ὑπὲρ τούτων μὴ δεδοικότας, εἰς δὲ τοὺς κινδύνους κοινὰ ὑπὲρ τῆς σωτηρίας τὰ ὄντα τῇ πατρίδι παρέχοντας· τοὺς δὲ λοιποὺς τὰ μὲν κοινὰ κοινὰ νομίζοντας καὶ μετέχοντας τὸ μέρος, τὰ δὲ ἑκάστου*

[1] * *ὅταν ἀπὸ τῶν κοινῶν τὸ ἔθος*

[2] *περὶ* * *τούτῳ*

ιά. Τοῖς δ' ἐν ἐνδείᾳ] Scilicet *οὖσι, τοῖς ἀπόροις*. IDEM.

Ἀλλὰ ποῦ συντρίβεται τὸ πρᾶγμα] Cum vectigalia ad ludorum apparatum non sufficerent, oratores ambitiosi falsorum criminum divites postulabant, quo bona eorum publicarentur; aut populo auctores fuerunt, ut iniquum iis tributum imperetur. Injuria affecti sycophantas in jus vocabant. Hi vero tantum gratiæ sibi conciliarant, ut plebeiorum judicum suffragiis secretis absolverentur, etsi palam eos plebs ipsa culparet. Ita suffragium secretum a publica voce discrepabat. *Er edit.* STOCK.

Εὐθέως τὸν λέγοντα] M. *τὸν τοῦτο λέγοντα*, S. *ὅτι δεῖ μεταβιβάζειν τὸ ἔθος*, qui auctor est publicandi bona divitum, æque ut vectigalia civitatis populo distribuuntur. *τὸν λέγοντα* etiam sine pronomine intelligi potest de certo quodam oratore, populi assentatore, et seditioso. Sed quid est *ἡ κρύβδην ψῆφος*; diripiendas locupletiorum opes, aut, condemnari a pauperibus solere divites, non propter culpam, sed ex invidia, et injusta alieni cupiditate. Nam sycophantæ in jus vocabant locupletes: hos condemnabant judices, homines plebeii et inopes, penes quos erant judicia. Vide Areopagiticum Isocratis. Quid *ὁ φανερῶς θόρυβος*; Querelæ, quod divites theatralem pecuniam pauperibus ereptum veniant. WOLF.

Ἀλλήλοις] Sumitur adverbialiter, *mutuo, invicem*. AUGER.

Εἰς τὸν βιόν τὸν ἑαυτῶν] Cicero 2. de Officiis: 'Ii, qui rempublicam tuebuntur, in primis operam dabunt, ut juris et judiciorum æquitate suum quisque teneat: et neque tenuiores propter imbecillitatem circumveniantur, neque locupletibus ad sua, vel tenenda, vel recuperanda, obsit invidia.' At apud Terentium sæpe judices propter invidiam adimunt diviti, et propter misericordiam addunt pauperi. WOLF.

Καὶ περὶ τούτων μὴ δεδοικότας] Non solicitos esse suæ rei custodia. IDEM.

Τὰ μὲν κοινὰ] Cicero 1. Offic. 'Justitiæ primum munus est, ut ne cui quis noceat,

ἴδια τοῦ κεκτημένου. οὕτω καὶ μικρὰ πόλις μεγάλη γίγνεται, καὶ μεγάλη σώζεται.

165 ιβʹ. Ὡς μὲν οὖν εἴποι τις ἄν, ἃ παρ' ἑκατέρων εἶναι δεῖ, ταῦτ' ἴσως ἐστίν· ὡς δὲ καὶ γένοιτ' ἂν ἐννόμως, διορθώσασθαι δεῖ. τῶν δὲ παρόντων πραγμάτων καὶ τῆς ταραχῆς πολλὰ πόῤῥωθέν ἐστι τὰ αἴτια· ἃ εἰ βουλομένοις ὑμῖν ἀκούειν ἐστὶν, ἐθέλω λέγειν. ἐξέστητε, ὦ ἄνδρες Ἀθηναῖοι, τῆς ὑποθέσεως ἐφ' ἧς ὑμᾶς οἱ πρόγονοι κατέλιπον· καὶ τὸ μὲν προΐστασθαι τῶν Ἑλλήνων καὶ δύναμιν συνεστηκυῖαν ἔχοντας πᾶσι τοῖς ἀδικουμένοις βοηθεῖν περίεργον ἐπείσθητε εἶναι καὶ μάταιον ἀνάλωμα ὑπὸ τῶν ταῦτα πολιτευομένων, τὸ δ' ἐν ἡσυχίᾳ διάγειν καὶ μηδὲν τῶν δεόντων πράττειν, ἀλλὰ προϊεμένους καθ' ἓν ἕκαστον πάντα ἑτέρους ἐᾶσαι λαβεῖν, θαυμαστὴν εὐδαιμονίαν καὶ πολλὴν ἀσφάλειαν ἔχειν οἴεσθε. ἐκ δὲ τούτων παρελθὼν ἐπὶ τὴν τάξιν, ἐφ' ἧς ὑμῖν τετάχθαι προσῆκεν, ἕτερος, οὗτος εὐδαίμων καὶ μέγας καὶ πολλῶν κύριος γέγονεν, εἰκότως· πρᾶγμα γὰρ ἔντιμον καὶ μέγα καὶ λαμπρὸν, καὶ περὶ οὗ πάντα τὸν χρόνον αἱ μέγισται τῶν πόλεων πρὸς αὑτὰς διεφέροντο, Λακεδαιμονίων μὲν ἠτυχηκότων, Θηβαίων δὲ ἀσχόλων διὰ τὸν Φωκικὸν πόλεμον γενομένων, ἡμῶν δὲ ἀμελούντων, ἔρημον ἀνείλετο. τοιγάρτοι τὸ μὲν φοβεῖσθαι 144
τοῖς ἄλλοις, τὸ δὲ συμμάχους πολλοὺς καὶ δύναμιν μεγάλην ἔχειν ἐκείνῳ περιγέγονε, καὶ τοσαῦτα πράγματα καὶ τοιαῦτα ἤδη περιέστηκε τοὺς Ἕλληνας ἅπαντας, ὥστε μηδ' ὅ τι χρὴ συμβουλεύειν εὔπορον εἶναι.

ιγʹ. Ὄντων δ', ὦ ἄνδρες Ἀθηναῖοι, τῶν παρόντων πραγμάτων πᾶσιν, ὡς ἐγὼ κρίνω, φοβερῶν, οὐδένες ἐν μείζονι κινδύνῳ τῶν πάντων εἰσὶν ὑμῶν, οὐ μόνον τῷ μάλιστα ὑμῖν ἐπιβουλεύειν Φίλιππον, ἀλλὰ καὶ τῷ πάντων ἀργότατα

nisi lacessitus injuria. Deinde, ut communibus pro communibus utatur, privatis autem ut suis.' Idem.

ιβʹ. Ἐξέστητε, ὦ ἄνδρες Ἀθηναῖοι, τῆς ὑποθέσεως ἐφ' ἧς ὑμᾶς οἱ πρόγονοι κατέλιπον] Id est, *descivistis et degenerastis ab instituto majorum*, et propositio politico, tuendi principatus scilicet inter Græcos, virtutibus bellicis. Significat enim ὑπόθεσις, προαίρεσιν, hoc est, *propositum et institutum*, et σκοπόν. Arist. Poli. 6. ὑπόθεσις μὲν οὖν τῆς δημοκρατικῆς πολιτείας, ἐλευθερία, id est, *scopus*, quem etiam ipse ὅρον appellat. *Ex edit.* Hervag.

Προϊεμένους καθ' ἓν ἕκαστον] Videtur esse παράλληλον, sed tamen τὸ καθ' ἓν potest ἐπιῤῥηματικῶς exponi. Wolf.

Ἔρημον ἀνείλετο] Scilicet ὥσπερ δίκην, per adversarii absentiam victoria potitus est. metaphora sumta a judiciis. Idem.

ιγʹ. Ἀλλὰ καὶ τῷ πάντων ἀργότατα αὐτοὶ διακεῖσθαι] Græca constructio nominativi

αὐτοὶ διακεῖσθαι. εἰ τοίνυν τὸ τῶν ὠνίων πλῆθος ὁρῶντες
καὶ τὴν εὐετηρίαν τὴν κατὰ τὴν ἀγορὰν, τούτοις κεκήλη-
σθε, ὡς ἐν οὐδενὶ δεινῷ τῆς πόλεως οὔσης, οὔτε προσηκόντως 166
οὔτ᾽ ὀρθῶς τὸ πρᾶγμα κρίνετε· ἀγορὰν μὲν γὰρ ἄν τις
καὶ πανήγυριν ἐκ τούτων ἢ φαύλως ἢ καλῶς κατεσκευ-
άσθαι κρίνοι· πόλιν δ᾽ ἣν ὑπείληφεν, ὃς ἂν τῶν Ἑλλήνων
ἄρχειν ἀεὶ [1] βούληται, μόνην ἂν ἐναντιωθῆναι καὶ τῆς
πάντων ἐλευθερίας προστῆναι, οὐ μὰ Δί᾽ ἐκ τῶν ὠνίων,
εἰ καλῶς ἔχει, δοκιμάζειν δεῖ, ἀλλ᾽ εἰ συμμάχων εὐνοίᾳ
πιστεύει καὶ τοῖς ὅπλοις ἰσχύει. ταῦθ᾽ ὑπὲρ τῆς πόλεως
δεῖ σκοπεῖν· ἃ σφαλερῶς ὑμῖν καὶ οὐδαμῶς ἅπαντα καλῶς
ἔχει. γνοίητε δ᾽ ἂν, εἰ σκέψαισθε ἐκείνως. πότε μάλιστα
ἐν ταραχῇ τὰ τῶν Ἑλλήνων γέγονε πράγματα; οὐδένα
γὰρ χρόνον ἄλλον ἢ τὸν νυνὶ παρόντα οὐδ᾽ ἂν εἷς εἴποι. τὸν
μὲν γὰρ ἄλλον ἅπαντα εἰς δύο ταῦτα διῄρητο τὰ τῶν
Ἑλλήνων, Λακεδαιμονίους καὶ [2] ἡμᾶς· τῶν δ᾽ ἄλλων Ἑλ-
λήνων οἱ μὲν [3] ἡμῖν, οἱ δὲ ἐκείνοις ὑπήκουον. βασιλεὺς δὲ
145 καθ᾽ αὑτὸν μὲν ἅπασιν ὁμοίως ἄπιστος ἦν· τοὺς δὲ κρα-
τουμένους τῷ πολέμῳ προσλαμβάνων, ἄχρις οὗ τοῖς ἑτέροις
ἐξ ἴσου ποιήσαι, διεπιστεύετο· ἔπειτ᾽ οὐχ ἧττον αὐτὸν ἐμί-
σουν οὓς σώσειε τῶν ὑπαρχόντων ἐχθρῶν ἐξ ἀρχῆς. νῦν δὲ
πρῶτον μὲν βασιλεὺς ἅπασι τοῖς Ἕλλησιν οἰκείως ἔχει,

[1] βούλεται [2] ὑμᾶς [3] ὑμῖν

cum infinitivo. Sic apud Sophoclem in argumento Trachiniarum: φάσκων τοῦτο τὸ γέρας εἰληφέναι παρὰ θεῶν διὰ τὸ δίκαιος εἶναι. IDEM.

Πόλιν δ᾽ ἣν ὑπείληφεν] Ordo hic est: οὐ μὰ Δία δοκιμάζειν δεῖ ἐκ τῶν ὠνίων, εἰ ταῦτα καλῶς ἔχει, πόλιν, ἣν ἐκεῖνος, ὃς ἂν ἀεὶ βούληται ἄρχειν τῶν Ἑλλήνων, ὑπείληφεν μόνην ἂν ἐναντιωθῆναι etc. τὸ ἀεὶ peculiarem vim hic habet, et refertur ad omnia ea tempora, quibus exsistunt oppressores libertatis. [*In farrag.* M. ὡς, ac potius ἣν ὑπολάβοι τις ἂν ὡς τῶν Ἑλλ.] IDEM.

Βασιλεὺς δὲ] Ὁ τῶν Περσῶν. Nam ad Philippum hæc minime pertinent. IDEM.

Ἄχρις οὗ τοῖς ἑτέροις ἐξίσου ποιήσαι, διεπιστεύετο] *Tantisper ei fides habebatur, donec victos victoribus exæquasset.* Persici reges beneficia in se collata in commentarios referebant, ut nulla temporis longinquitas gratiæ statueret modum. Sed Græci certe nimis ingratos, ut hoc loco Demosthenes et in Panegyrico Isocrates meminit, et ex historiis apparet, se illis præbuerunt: etsi insidiose (ut verum fatear) illorum fuit liberalitas, nec alia fortasse remuneratione digna. IDEM.

Ἔπειτ᾽ οὐχ ἧττον αὐτὸν ἐμίσουν] Lacedæmonii, simul ac Darii Nothi ope Athenas devicissent, in regis ditionem arma inferre, Asiamque minorem vastare cœperunt. Artaxerxes Mnemon quoque Athenienses adjuverat, cum se jugo Spartanorum eximerent. Quod cum factum fuit, Athenienses Evagoræ rebelli opem tulerunt, qui magnam Cypri partem Persæ eripuerat. *Ex edit.* STOCK.

Ἅπασι τοῖς Ἕλλησιν οἰκείως ἔχει] Thebani et Argivi de rege bene meriti fuerant; qui et Græcos omnes inter se concordiam alere voluit, quo melius Philippi opibus indies crescentibus obstarent. *Ibid.*

Ἀφεστᾶσι δ᾽ ἔνιοι] Πόθεν; τῶν ἀντιποιουμένων τοῦ πρωτεύειν. WOLF.

καὶ πάντων ἥκιστα ἡμῖν, ἄν τι μὴ νῦν ἐπανορθωσώμεθα·
ἔπειτα προστασίαι πολλαὶ καὶ πανταχόθεν γίγνονται,
καὶ τοῦ πρωτεύειν ἀντιποιοῦνται μὲν ἅπαντες, ἀφεστᾶσι
167 δ᾽ ἔνιοι καὶ φθονοῦσι καὶ ἀπιστοῦσιν ἑαυτοῖς, οὐχ ὡς ἔδει,
καὶ γεγόνασι καθ᾽ αὑτοὺς ἕκαστοι, Ἀργεῖοι, Θηβαῖοι, Κο-
ρίνθιοι, Λακεδαιμόνιοι, Ἀρκάδες, ἡμεῖς. ἀλλ᾽ ὅμως εἰς τοσ-
αῦτα μέρη καὶ τοσαύτας δυναστείας διῃρημένων τῶν Ἑλ-
ληνικῶν πραγμάτων, εἰ δεῖ τἀληθῆ μετὰ παῤῥησίας εἰπεῖν,
τὰ παρ᾽ οὐδέσι τούτων ἀρχεῖα καὶ βουλευτήρια ἐρημότερα
ἄν τις ἴδοι τῶν Ἑλληνικῶν πραγμάτων ἢ τὰ παρ᾽ [1] ἡμῖν,
εἰκότως· οὔτε γὰρ φιλῶν οὔτε πιστεύων οὔτε φοβούμενος
οὐδεὶς [1] ἡμῖν διαλέγεται. αἴτιον δὲ τούτων οὐχ ἕν, ὦ ἄνδρες
Ἀθηναῖοι,—ῥᾴδιον γὰρ ἂν ἦν [2] ὑμῖν μεταθεῖναι—, ἀλλὰ
πολλὰ καὶ παντοδαπὰ ἐκ παντὸς ἡμαρτημένα τοῦ χρόνου,
ὧν τὸ καθ᾽ ἕκαστον ἐάσας ἕν, εἰς ὃ πάντα γε συντείνει,
λέξω, δεηθεὶς ὑμῶν, ἂν λέγω τἀληθῆ μετὰ παῤῥησίας,
μηδὲν ἀχθεσθῆναί μοι.

ιδ΄. Ἐκπέπραται τὰ συμφέροντα ἐφ᾽ ἑκάστου τῶν και-
ρῶν, καὶ μετειλήφατε ὑμεῖς μὲν τὴν σχολὴν καὶ τὴν ἡσυ-
χίαν, ὑφ᾽ ὧν κεκηλημένοι τοῖς ἀδικοῦσιν οὐ πικρῶς ἔχετε·
ἕτεροι δὲ τὰς τιμάς ἔχουσι. καὶ [3] τὰ μὲν περὶ τἆλλα
οὐκ ἄξιον ἐξετάσαι νῦν· ἀλλ᾽ ἐπειδάν τι τῶν πρὸς Φίλιπ- 146
πον ἐμπέσῃ, εὐθὺς ἀναστάς τις λέγει ὡς οὐ δεῖ ληρεῖν
οὐδὲ γράφειν πόλεμον, παραθεὶς εὐθέως ἑξῆς τὸ τὴν εἰρήνην
ἄγειν ὡς ἀγαθὸν καὶ τὸ τρέφειν δύναμιν μεγάλην ὡς χα-
λεπὸν, καὶ διαρπάζειν τινὲς τὰ χρήματα βού-
λονται, καὶ ἄλλους λόγους ὡς οἴονται ἀληθεστάτους λέ-
γουσιν. ἀλλὰ δεῖ δήπου τὴν μὲν εἰρήνην ἄγειν οὐχ ὑμᾶς
πείθειν, οἵ γε πεπεισμένοι κάθησθε, ἀλλὰ τὸν τὰ τοῦ

[1] ὑμῖν [2] ἡμῖν [3] τὰ μὲν ἄλλα οὐκ

ιδ΄. Ἐκπέπραται] Ὑπὸ τῶν προδοτῶν ἀφείθησαν οἱ παραπεπτωκότες καιροί. Perfidia proditorum singulæ occasiones rei bene gerendæ, et parandarum utilitatum sunt amissæ. Idem.

Ἕτεροι δὲ τὰς τιμὰς ἔχουσι] *Alii honoribus sunt potiti*, id est, Philippus eam auctoritatem et potentiam in se transtulit, quibus vos olim floruistis. Idem.

Καὶ τὰ μὲν περὶ τἆλλα] Scilicet ὄντα, hoc est, τὰ ἄλλα. Idem.

Ὡς οἴονται] *Ut putant*, scilicet οἱ πολλοὶ non incommode subintelligitur, si sententiam spectes. Alioqui de oratoribus, ratione constructionis, acciperetur. ὡς οἴονται, scilicet οἱ φιλιππίζοντες τῶν λεγόντων. et οἴονται pro δοκοῦσι. nec enim ignorant nebulones, quid mentiantur. Quid vero, si pro οἴονται legendum sit, ὡς οἷόν τε; *quam fieri potest verissimas*. Sunt enim permulta, ut pacis commoda, sic belli mala. Idem.

πολέμου πράττοντα· ἂν γὰρ ἐκεῖνος πεισθῇ, τά γε ἀφ' ὑμῶν ὑπάρχει· νομίζειν [1] δ' εἶναι χαλεπὰ οὐχ ὅσα ἂν εἰς σωτηρίαν δαπανῶμεν, ἀλλ' ἃ πεισόμεθ', ἂν ταῦτα μὴ ἐθέλωμεν ποιεῖν, καὶ τὸ διαρπασθήσεται τὰ χρή- 168
ματα τῷ φυλακὴν εὑρεῖν δι' ἧς σωθήσεται κωλύειν, οὐχὶ τῷ τοῦ συμφέροντος ἀποστῆναι. καίτοι ἔγωγε ἀγανακτῶ καὶ αὐτὸ τοῦτο, εἰ τὰ μὲν χρήματα λυπεῖ τινὰς ὑμῶν εἰ διαρπασθήσεται, ἃ καὶ φυλάττειν καὶ κολάζειν τοὺς ἁρπάζοντας ἐφ' ὑμῖν ἐστί· τὴν δὲ Ἑλλάδα [2] πᾶσαν ἐφεξῆς οὑτωσὶ Φίλιππος ἁρπάζων οὐ λυπεῖ, καὶ ταῦτ' ἐφ' ὑμᾶς ἁρπάζων.

ιέ. Τί ποτ' οὖν, ὦ ἄνδρες Ἀθηναῖοι, τὸν μὲν οὕτω φανερῶς ἀδικοῦντα καὶ πόλεις καταλαμβάνοντα οὐδεὶς πώποτε τοῦτον εἶπεν ὡς ἀδικεῖ καὶ πόλεμον ποιεῖ· τοὺς δὲ μὴ ἐπιτρέπειν μηδὲ προΐεσθαι ταῦτα συμβουλεύοντας, τούτους πόλεμον ποιεῖν φασίν; ὅτι τὴν αἰτίαν τῶν ἐκ τοῦ πολέμου συμβησομένων δυσχερῶν — ἀνάγκη γάρ, ἀνάγκη πολλὰ λυπηρὰ ἐκ τοῦ πολέμου γίγνεσθαι — τοῖς ὑπὲρ ὑμῶν τὰ βέλτιστα λέγειν οἰομένοις ἅπαντες ἀναθεῖναι βούλον-
147 ται. ἡγοῦνται γάρ, ἐὰν μὲν ὑμεῖς ὁμοθυμαδὸν ἐκ μιᾶς γνώμης Φίλιππον ἀμύνησθε, κἀκείνου κρατήσειν ὑμᾶς καὶ αὑτοῖς οὐκέτ' ἔσεσθαι μισθαρνεῖν· ἂν δ' ἀπὸ τῶν πρώτων θορύβων αἰτιασάμενοί τινας πρὸς τὸ κρίνειν τράπησθε, αὐτοὶ μὲν τούτων κατηγοροῦντες ἀμφότερα ἕξειν, καὶ παρ'

[1] δὲ δεῖ χαλεπὰ

[2] ἅπασαν

Κωλύσειν] Puto legendum κωλῦσαι, vel κωλύειν, et ἀφεστάναι pro ἀφεστηκέναι. Sic autem construes: δεῖ δὲ κωλύειν τὸ διαρπασθήσεσθαι τὰ χρήματα τῷ εὑρεῖν φυλακὴν, οὐ τῷ ἀφεστάναι τοῦ συμφέροντος. *Prohibenda est autem direptio pecuniarum, invenienda custodia, non deserenda utilitate*, id est: Si sunt, qui ærarium depeculari belli occasione studeant, non ideo non est gerendum bellum utile et necessarium: sed opera danda est, et ea ineunda ratio, qua peculatorum rapacitati occurratur. Observetur τὸ διαρπασθήσεσθαι futuro tempore loco nominis τὴν μέλλουσαν ἢ προσδοκωμένην διαρπαγήν. Idem.

ιέ. Τὸν — ἀδικοῦντα — τοῦτον] Emphatica repetitio, et ἀντίπτωσις, pro εἶπεν, ὡς οὗτος ἀδικεῖ. Idem.

Τοῖς ὑπὲρ ὑμῶν τὰ βέλτιστα λέγειν οἰομένοις] Malim αἱρουμένοις. Felicianus legit εἰθισμένοις, ut et Manutius. Idem.

Ἀπὸ τῶν πρώτων θορύβων] *A primis tumultibus*, id est, cum primum tumultus aliquis fuerit ortus: vel cum primum ipsi tumultum concitarint, et nos calumniati fuerint. Idem.

Ἀμφότερα ἕξειν] Quæ sequuntur, ἐξηγητικῶς accipio, ἡγοῦνται δηλονότι εὐδοκιμήσειν. Si quis τὸ εὐδοκιμήσειν, καὶ τὸ λήψεσθαι mavult ὀνοματικῶς exponere, τὴν εὐδοκίμησιν, ἢ εὐδοξίαν μᾶλλον καὶ τὴν λῆψιν, non impedio. Sæpe enim fit, ut, nec verbis, nec sententiis, repugnantibus, idem locus varie possit exponi, diversa constructionis ratione, sensu eodem. Idem.

ὑμῖν εὐδοκιμήσειν καὶ παρ᾽ ἐκείνου χρήματα λήψεσθαι,
ὑμᾶς δ᾽ ὑπὲρ ὧν δεῖ παρὰ τούτων δίκην λαβεῖν, παρὰ
τῶν ὑπὲρ ὑμῶν εἰρηκότων λήψεσθαι. αἱ μὲν ἐλπίδες αἱ
τούτων αὗται, καὶ τὸ κατασκεύασμα τὸ τῶν αἰτιῶν,
169 ὡς ἄρα βούλονταί τινες πόλεμον ποιῆσαι. ἐγὼ [1] δ᾽ οἶδα
ἀκριβῶς ὅτι, οὐ γράψαντος Ἀθηναίων οὐδενὸς πόλεμον,
καὶ ἄλλα πολλὰ Φίλιππος ἔχει τῶν τῆς πόλεως καὶ νῦν
εἰς Καρδίαν πέπομφε βοήθειαν. εἰ μέντοι βουλόμεθ᾽ ἡμεῖς
μὴ προσποιεῖσθαι πολεμεῖν ἡμῖν ἐκεῖνον, ἀνοητότατος πάν-
των ἂν εἴη, εἰ τοῦτ᾽ ἐξελέγχοι· ὅταν γὰρ οἱ ἀδικούμενοι
ἀρνῶνται, τί τῷ ἀδικοῦντι προσήκει; ἀλλ᾽ ἐπειδὰν ἐφ᾽
ἡμᾶς αὐτοὺς ἴῃ, τί φήσομεν τότε; ἐκεῖνος μὲν γὰρ οὐ πο-
λεμεῖν, ὥσπερ οὐδὲ Ὠρείταις, τῶν στρατιωτῶν ὄντων ἐν
τῇ χώρᾳ, οὐδὲ Φεραίοις πρότερον, πρὶν ἢ πρὸς τὰ τείχη
προσβαλεῖν αὐτῶν, οὐδὲ Ὀλυνθίοις ἐξ ἀρχῆς, ἕως ἂν ἐν
αὐτῇ τῇ χώρᾳ τὸ στράτευμα παρῆν ἔχων. ἢ καὶ τότε τοὺς
ἀμύνεσθαι κελεύοντας πόλεμον ποιεῖν φήσομεν; οὐκοῦν
ὑπόλοιπον δουλεύειν· οὐ γὰρ ἄλλο γε οὐδὲν ἔνι. καὶ μὴν
[2] οὐχ ὑπὲρ τῶν ἴσων ὑμῖν τε καί τισι τῶν ἄλλων ἀνθρώπων
ἔσθ᾽ ὁ κίνδυνος· οὐ γὰρ ὑφ᾽ αὑτῷ ποιήσασθαι τὴν πόλιν
βούλεται Φίλιππος [3] ὑμῶν, οὔ, ἀλλ᾽ ὅλως ἀνελεῖν. οἶδε γὰρ
ἀκριβῶς, ὅτι δουλεύειν μὲν ὑμεῖς οὔτ᾽ ἐθελήσετε οὔτ᾽, ἂν 148
ἐθέλητε, [4] ἐπιστήσεσθε· ἄρχειν γὰρ εἰώθατε· πράγματα δὲ
παρασχεῖν αὐτῷ, ἂν καιρὸν λάβητε, πλείω τῶν ἄλλων ἀν-
θρώπων ἁπάντων δυνήσεσθε. διὰ ταῦτα ὑμῶν οὐχὶ φείσε-
ται, εἴπερ ἐγκρατὴς γενήσεται.

ιϛ΄. Ὡς οὖν ὑπὲρ τῶν ἐσχάτων ἐσομένου τοῦ ἀγῶνος

[1] δ᾽ εὖ οἶδα, ὅτι [2] οὐδὲ [3] ἡμῶν [4] ἐπίστασθε

Ἐγὼ δὲ εὖ οἶδα ἀκριβῶς] F. καὶ ἀκριβῶς, aut alterutrum abundare videtur. [*In farrag.* F. ἐκεῖνό γ᾽ οἶδ᾽ ἀκριβῶς.] IDEM.

Προσήκει] Sub. ποιεῖν. AUGER.

Ἐκεῖνος μὲν γὰρ οὐ πολεμεῖν] Scilicet φήσει, ὥσπερ οὐδ᾽ Ὠρείταις, scilicet ἔφησε πολεμεῖν. De Philippi dissimulatione hæc omnia sunt intelligenda. WOLF. Subaudi φήσει, quod Reiskius velit adjici. Oratio de Chersoneso ubi hæc eadem repetuntur, ita legit, οὐ πολεμεῖν ἡμῖν ἐρεῖ. AUGER.

Οὐκοῦν ὑπόλοιπον δουλεύειν] Respondet ipse sibi Atheniensium nomine: Nihil certe deterius est metuendum. Id responsum Demosthenes refutans: Imo, inquit, excidium nobis imminet. Potest tamen οὐ γὰρ ἄλλο γε οὐδὲν ἔνι sub persona Demosthenis dictum videri: Si non resistemus, superati redigemur in servitutem: ut deinde addat sive per correctionem, sive per amplificationem: καὶ μὴν οἶδεν, ὅτι δουλεύειν μὲν ὑμεῖς οὔτε ἐθελήσετε. Scilicet ἂν ἐπίστησθε. Sic Cicero: 'neque vellem, si possem, neque possem, si vellem.' WOLF.

ὑμῖν, οὕτω προσήκει γιγνώσκειν, καὶ τοὺς πεπρακότας αὑτοὺς ἐκείνῳ φανερῶς μισεῖν καὶ ἀποτυμπανίσαι· οὐ γάρ ἐστιν, οὐκ ἔστι τῶν ἔξω τῆς πόλεως ἐχθρῶν κρατῆσαι, πρὶν ἂν τοὺς ἐν αὐτῇ τῇ πόλει κολάσητε ἐχθρούς, ἀλλ᾽ ἀνάγκη τούτοις ὥσπερ προβόλοις προσπταίοντας ὑστερίζειν ἐκείνων. ἐπεὶ πόθεν οἴεσθε νῦν αὐτὸν ὑβρίζειν εἰς ὑμᾶς—οὐδὲν γὰρ [1] ἄλλο ἔμοιγε δοκεῖ ποιεῖν ἢ τοῦτο—καὶ τοὺς μὲν ἄλλους εὖ ποιοῦντα, εἰ μηδὲν ἄλλο, ἐξαπατᾶν, ὑμῖν δὲ ἀπειλεῖν ἤδη. οἷον Θετταλοὺς πολλὰ δοὺς ὑπηγάγετο εἰς τὴν νῦν παροῦσαν δουλείαν· οὐδ᾽ ἂν εἰπεῖν δύναιτο οὐδείς, ὅσα τοὺς ταλαιπώρους Ὀλυνθίους, πρότερον δοὺς Ποτίδαιαν, ἐξηπάτησε, καὶ πολλὰ ἕτερα· Θηβαίους [2] τὰ νῦν ὑπάγεται, τὴν Βοιωτίαν αὐτοῖς παραδοὺς καὶ ἀπαλλάξας πολέμου πολλοῦ καὶ χαλεποῦ· ὥστε καρπωσάμενοί τινα ἕκαστοι τούτων πλεονεξίαν, οἱ μὲν ἤδη πεπόνθασιν ἃ δὴ πάντες ἴσασιν, οἱ δ᾽ ὅ τι ἄν ποτε συμβῇ πείσονται. ὑμεῖς δὲ ὧν μὲν ἀπεστέρησθε, σιωπῶ· ἀλλ᾽ ἐν αὐτῷ τῷ τὴν εἰρήνην ποιήσασθαι πόσα ἐξηπάτησθε; πόσων ἀπεστέρησθε; οὐχὶ Φωκέας; οὐ Πύλας; οὐχὶ τὰ ἐπὶ Θρᾴκης, Δορίσκον, Σέρριον, τὸν Κερσοβλέπτην αὐτόν; οὐ νῦν Καρδίαν ἔχει καὶ
149 ὁμολογεῖ; τί ποτ᾽ οὖν ἐκείνως τοῖς ἄλλοις καὶ ὑμῖν οὐ τὸν αὐτὸν τρόπον προσφέρεται; ὅτι ἐν μόνῃ τῶν πασῶν πόλεων τῇ ἡμετέρᾳ ἄδεια ὑπὲρ τῶν ἐχθρῶν λέγειν δέδοται, καὶ λαβόντα χρήματα αὐτὸν ἀσφαλές ἐστι λέγειν παρ᾽ ὑμῖν, κἂν ἀφῃρημένοι τὰ ὑμέτερα αὐτῶν ἦτε. οὐκ ἦν ἀσφαλὲς λέγειν ἐν Ὀλύνθῳ τὰ Φιλίππου, μὴ συνευπεπονθότων τῶν πολλῶν Ὀλυνθίων τῷ Ποτίδαιαν καρποῦσθαι· οὐκ ἦν ἀσφαλὲς λέγειν ἐν Θετταλίᾳ τὰ Φιλίππου, μὴ συνευπεπονθότος τοῦ πλήθους τῶν Θετταλῶν τῷ τοὺς τυράννους ἐκβαλεῖν Φίλιππον αὐτοῖς καὶ τὴν Πυλαίαν ἀποδοῦναι· οὐκ ἦν ἐν Θήβαις ἀσφαλές, πρὶν ἢ τὴν Βοιωτίαν ἀπέδωκε καὶ τοὺς Φωκέας ἀνεῖλεν. ἀλλ᾽ Ἀθήνησιν οὐ μόνον Ἀμφίπολιν

[1] ἔμοιγε ἄλλο [2] ταννῦν

ιϛ'. Φανερῶς] Referri potest ad *μισεῖν*, sed ego malim ad *πεπρακότας* referri. IDEM.

Ὥσπερ προβόλοις] Fit a *προβάλλω*. Significat in genere *impedimentum*, sive sit scopulus in mari, sive vallum in terra. IDEM.

Τὰ νῦν] Sicut *τὸ νῦν ἔχον*, idem quod *νῦν*. IDEM.

καὶ τὴν Καρδιανῶν χώραν ἀπεστερηκότος Φιλίππου, ἀλλὰ
καὶ κατασκευάζοντος ἡμῖν ἐπιτείχισμα τὴν Εὔβοιαν καὶ
νῦν ἐπὶ Βυζάντιον παριόντος, ἀσφαλές ἐστι λέγειν ὑπὲρ
Φιλίππου. καὶ γάρ τοι τούτων μὲν ἐκ πτωχῶν ἔνιοι ταχὺ
πλούσιοι γεγόνασι, καὶ ἐξ ἀνωνύμων καὶ ἀδόξων ἔνδοξοι
καὶ γνώριμοι· ὑμεῖς δὲ τοὐναντίον ἐκ μὲν ἐνδόξων ἄδοξοι, ἐκ
171 δ' εὐπόρων ἄποροι. πόλεως γὰρ ἔγωγε πλοῦτον ἡγοῦμαι
συμμάχους, πίστιν, εὔνοιαν, ὧν ἁπάντων ἐστὲ ὑμεῖς ἄποροι·
ἐκ δὲ τοῦ τούτων ὀλιγώρως ὑμᾶς ἔχειν καὶ ἐᾶν τοῦτον τὸν
τρόπον τὰ πράγματα φέρεσθαι, ὁ μὲν εὐδαίμων καὶ μέγας
καὶ φοβερός ἐστι πᾶσι τοῖς Ἕλλησι καὶ βαρβάροις, ὑμεῖς
δ' ἔρημοι καὶ ταπεινοί, τῇ μὲν κατὰ τὴν ἀγορὰν εὐετηρίᾳ
λαμπροί, τῇ δ' ὧν προσῆκε παρασκευῇ καταγέλαστοι.

ιζ'. Οὐ τὸν αὐτὸν δὲ τρόπον περί τε ὑμῶν καὶ περὶ 150
αὑτῶν ἐνίους τῶν λεγόντων ὁρῶ βουλευομένους· ὑμᾶς μὲν
γὰρ ἡσυχίαν ἄγειν φασὶ δεῖν, κἄν τις ὑμᾶς ἀδικῇ, αὐτοὶ
δ' οὐ δύνανται παρ' ὑμῖν ἡσυχίαν ἄγειν οὐδενὸς αὐτοὺς
ἀδικοῦντος. καίτοι λοιδορίας χωρὶς εἴ τις ἔροιτό σε, Εἰπέ
μοι, τί δὴ γιγνώσκων ἀκριβῶς, Ἀριστόδημε, — οὐδεὶς γὰρ
τὰ τοιαῦτα ἀγνοεῖ —, τὸν μὲν τῶν ἰδιωτῶν βίον ἀσφαλῆ
καὶ ἀπράγμονα καὶ ἀκίνδυνον ὄντα, τὸν δὲ τῶν πολιτευο-
μένων φιλαίτιον καὶ σφαλερὸν καὶ καθ' ἑκάστην ἡμέραν
ἀγώνων καὶ κακῶν μεστόν, οὐ τὸν ἡσύχιον καὶ ἀπράγμονα,
ἀλλὰ τὸν ἐν τοῖς κινδύνοις, αἱρῇ; τί ἂν εἴποις; εἰ γάρ, ὃ
βέλτιστον εἰπεῖν ἂν ἔχοις, τοῦτό σοι [1] δοίημεν ἀληθὲς λέ-
γειν, ὡς ὑπὲρ φιλοτιμίας καὶ δόξης πάντα ταῦτα ποιεῖς,
θαυμάζω τί δήποτε σαυτῷ μὲν ὑπὲρ τούτων ἅπαντα
ποιητέον εἶναι νομίζεις καὶ πονητέον καὶ κινδυνευτέον, τῇ
πόλει δὲ προέσθαι ταῦτα διὰ ῥᾳθυμίαν συμβουλεύεις; οὐ
γὰρ ἐκεῖνό γ' ἂν εἴποις, ὡς σὲ μὲν ἐν τῇ πόλει δεῖ τινὰ
φαίνεσθαι, τὴν πόλιν δ' ἐν τοῖς Ἕλλησι μηδενὸς ἀξίαν εἶναι.
καὶ μὴν οὐδ' ἐκεῖνό γε ὁρῶ, ὡς τῇ πόλει μὲν ἀσφαλὲς τὸ

[1] συγχωρήσαιμεν

ιζ'. Ἀριστόδημε] Histrio fuit, unusque ex decem legatis in Macedoniam missis. De hoc ipso, quem nunc probris lacessit, corona donando, ex legatione regressus decretum tulit Demosthenes. *Ex edit.* Stock.

Τῇ πόλει δὲ προέσθαι ταῦτα] Τὴν φιλοτιμίαν καὶ δόξαν. Wolf.

τὰ αὐτῆς πράττειν, σοὶ δὲ ἐπικίνδυνον, εἰ μηδὲν τῶν ἄλ-
λων πλεῖον περιεργάσῃ· ἀλλὰ τοὐναντίον σοὶ μὲν ἐξ ὧν
ἐργάζῃ καὶ περιεργάζῃ τοὺς ἐσχάτους ὄντας κινδύνους, τῇ
πόλει δὲ ἐκ τῆς ἡσυχίας. ἀλλὰ νὴ Δία παππῷα καὶ πα-
τρῷα δόξα σοι ὑπάρχει, ἣν αἰσχρόν ἐστιν ἐν σοὶ καταλῦ-
σαι· τῇ πόλει δ' ὑπῆρξεν ἀνώνυμα καὶ φαῦλα τὰ τῶν προ-
γόνων. ἀλλ' οὐδὲ τοῦθ' οὕτως ἔχει· σοὶ μὲν γὰρ [1] ἦν κλέ- 172
151 πτης ὁ πατήρ, εἴπερ ἦν ὅμοιός σοι, τῇ πόλει δ' ἡμῶν, ὡς
πάντες ἴσασιν, οἱ Ἕλληνες δὶς ἐκ τῶν μεγίστων κινδύνων
ὑπὸ τῶν προγόνων ἡμῶν σεσωσμένοι. ἀλλὰ γὰρ οὐκ ἴσως
οὐδὲ πολιτικῶς ἔνιοι τὰ καθ' ἑαυτοὺς καὶ τὰ κατὰ τὴν
πόλιν πολιτεύονται· πῶς γάρ ἐστιν ἴσον τούτων μέν τινας
ἐκ τοῦ δεσμωτηρίου [2] ἥκοντας ἑαυτοὺς ἀγνοεῖν, τὴν πόλιν
δ', ἣ προειστήκει τῶν ἄλλων Ἑλλήνων τέως καὶ τὸ πρωτεῖον
εἶχε, νῦν ἐν ἀδοξίᾳ πάσῃ καὶ ταπεινότητι καθεστάναι;

ιη. Πολλὰ τοίνυν ἔχων ἔτι καὶ περὶ πολλῶν εἰπεῖν, παύσομαι· καὶ γὰρ οὐ λόγων ἐνδείᾳ μοι δοκεῖ τὰ πράγματα οὔτε νῦν οὔτ' ἄλλοτε πώποτε φαύλως ἔχειν, ἀλλ' ὅταν πάντ' ἀκούσαντες ὑμεῖς τὰ δέοντα, καὶ ὁμογνώμονες ὡς ὀρθῶς λέγεται γενόμενοι, τῶν λυμαίνεσθαι καὶ διαστρέφειν ταῦτα βουλομένων ἐξ ἴσου κάθησθε ἀκροώμενοι, οὐκ ἀγνοοῦντες αὐτοὺς — ἴστε γὰρ εὐθὺς ἰδόντες ἀκριβῶς, τίς μισθοῦ λέγει καὶ [3] τίς ὑπὲρ Φιλίππου πολιτεύεται, καὶ τίς ὡς ἀληθῶς ὑπὲρ τῶν βελτίστων —, ἀλλ' ἵν' αἰτιασάμενοι τούτους καὶ τὸ πρᾶγμα εἰς γέλωτα καὶ λοιδορίαν

[1] [ἦν] [2] προϊόντας [3] Deest τίς.

Εἰ μηδὲν τῶν ἄλλων πλέον περιεργάσῃ] *Præter cæteros, plus quam alii.* Idem.

Ἐν σοὶ καταλῦσαι] Scilicet σεαυτὸν, ἢ ἀντὶ τοῦ, καταλυθῆναι. Idem.

Σοὶ μὲν, εἴπερ ὅμοιός σοι] Hermogenes κύκλον appellat hanc figuram. Idem.

Τῇ πόλει δὲ ἡμῶν] Scilicet ὑπάρχει πατρῴα καὶ παππῴα δόξα. Nisi placeat: τῇ πόλει οἱ Ἕλληνες ὑπάρχουσι σεσωσμένοι ὑπὸ τῶν προγόνων, ὡς πάντες ἴσασι. Idem. Subintellige, οὕτως ἦν. *Civitas nostra*, quod ad majores attinet, ita se habuit, *quomodo omnes norunt.* Stock. Subaudi ex præcedentibus ἦσαν, et totum hunc locum sic intellige: Tibi fuit pater fur et latro, civitati autem nostræ fuerunt (patres), ut (quales) sciunt omnes Græci ex maximis &c. Auger.

Δὶς —— σεσωσμένοι] Prius ad Marathona, iterum ad Salamina. Tertiam vicem memorat Isocrates; nempe, quando cæteros Græcos jugo Spartanorum liberavere. Sed hoc tacet Demosthenes, ne Lacedæmonios per id tempus civitatis socios incusare videretur. *Ex edit.* Stock.

Οὐδὲ πολιτικῶς] Δημοκρατικῶς. ἐν γὰρ ταῖς δημοκρατίαις αἱ ἰσότητες μάλιστα ἰσχύουσι. Wolf.

Ἑαυτοὺς ἀγνοεῖν] Id est, splendorem assecutos, veteres suas sordes ignorare. vitium τοῖς νεοπλούτοις commune. Idem.

ιη. Ἀλλ' ὅταν] Ante ὅταν subaudi ὅτι ut sensus et phrasis clara fiant. Auger.

Ἀλλ' ἵν' αἰτιασάμενοι τούτους] Τοὺς ὑπὲρ τῶν βελτίστων ὡς ἀληθῶς λέγοντας. Wolf.

ἐμβαλόντες μηδὲν αὐτοὶ τῶν δεόντων ποιῆτε. ταῦτ᾽ ἐστὶ τἀληθῆ μετὰ πάσης παῤῥησίας, ἁπλῶς εὐνοίᾳ, τὰ βέλτιστα εἰρημένα, οὐ κολακείας καὶ βλάβης καὶ ἀπάτης λόγος μεστὸς, ἀργύριον μὲν τῷ λέγοντι ποιήσων, τὰ δὲ πράγματα τῆς πόλεως τοῖς ἐχθροῖς ἐγχειριῶν. ἢ οὖν παυστέον τούτων τῶν ἐθῶν, ἢ μηδένα ἄλλον αἰτιατέον τοῦ πάντα φαύλως ἔχειν ἢ ὑμᾶς αὐτούς.

Ποιήσων] Quid si, πορίσων, ἢ, ποριῶν; *In farrag.* IDEM.

ΛΙΒΑΝΙΟΥ ΥΠΟΘΕΣΙΣ ΛΟΓΟΥ ΤΟΥ ΠΡΟΣ ΤΗΝ ΦΙΛΙΠΠΟΥ ΕΠΙΣΤΟΛΗΝ.

Pag. ed. Reisk. 152 — Pag. ed. aliq. cit. 181

Ὁ ΦΙΛΙΠΠΟΣ πρὸς τοὺς Ἀθηναίους πέπομφεν ἐπιστολὴν, κατηγορῶν αὐτῶν, καὶ πόλεμον προκηρύττων ἄντικρυς. οὐκ ἔτι οὖν ὁ ῥήτωρ πείθει τοὺς Ἀθηναίους πολεμεῖν — ἀνάγκη γὰρ —, ἀλλὰ θαρσύνει πρὸς τὸν κίνδυνον, εὐκαθαίρετον λέγων τὸν Μακεδόνα.

ΔΗΜΟΣΘΕΝΟΥΣ

Ο ΠΡΟΣ ΤΗΝ ΦΙΛΙΠΠΟΥ ΕΠΙΣΤΟΛΗΝ ΛΟΓΟΣ.

α΄. ὍΤΙ μὲν, ὦ ἄνδρες Ἀθηναῖοι, Φίλιππος οὐκ ἐποιήσατο τὴν εἰρήνην πρὸς ὑμᾶς, ἀλλ' ἀνεβάλετο τὸν πόλεμον, πᾶσιν ὑμῖν φανερὸν γέγονεν· ἐπειδὴ γὰρ Φαρσαλίοις Ἅλον παρέδωκε καὶ τὰ περὶ Φωκέας διῳκήσατο καὶ τὴν Θρᾴκην κατεστρέψατο πᾶσαν, αἰτίας οὐκ οὔσας πλασάμενος καὶ προφάσεις ἀδίκους ἐξευρὼν, τῷ μὲν ἔργῳ πάλαι πολεμεῖ πρὸς τὴν πόλιν, τῷ δὲ λόγῳ νῦν ὁμολογεῖ διὰ τῆς ἐπιστολῆς ἧς

ΛΟΓΟΣ] Oratio hæc non videtur apposita Epistolæ Philippi p. 250. pen. ed. R. or. pro Coron. licet istud ibi videatur Ulpiano. Mihi fides hujus orationis valde suspecta est propter locos communes, quibus referta est. Imo tota pæne consarcinata est ex Philippicis et Olynthiacis. [Not. marg. porro in regione p. 23. v. 23. ed. R. idem Nostras celeberrimus adscripserat hoc : 'In oratione ad Philippi epistolam [§. ϛ'., ut puto, voluit V. D. collocasse] iisdem utitur argumentis et pæne verbis ad confirmandum populum contra Philippum, atque in hac oratione. Mihi videntur profecto cum Epistola Philippi tum oratio adversaria multis aliis de causis indignæ esse ea tempestate atque antiquitate, quas præ se ferunt.'] Taylor.

Φαρσαλίοις] Pharsalios, Thessaliæ oppidum, pugna Pompeii et Cæsaris nobilitatum. Halos fortasse una ex illis Thessaliæ urbibus, quarum meminisse Strabo non operæ pretium esse censuit. Sed Stephanus : Ἄλος πόλις Ἀχαΐας καὶ Φθιώτιδος, ἀπὸ τῆς συμβάσης Ἀθάμαντι ἄλης. Sed Demosthenici codices Ἅλον aspirant, ut a *salinis* id oppidum dici potius, quam ab *errore*, videatur. Wolf.

Ἅλον] Halus, urbs Thessaliæ, juxta fluvium Amphrysum; quam a Parmenione expugnatam, Philippus Pharsaliis dederat. *Ex edit.* Stock.

Τὰ περὶ Φωκέας] Phocense bellum, quod et sacrum dicitur, vel ex Justino nemini est ignotum. Wolf.

ἔπεμψεν. ὅτι δὲ χρὴ μήτε ὀῤῥωδεῖν [1]ὑμᾶς τὴν ἐκείνου δύναμιν μήτε ἀγεννῶς ἀντιταχθῆναι πρὸς αὐτὸν, ἀλλὰ καὶ
182 σώμασι καὶ χρήμασι καὶ ναυσὶ καὶ πᾶσιν ὡς ἁπλῶς εἰ-
πεῖν ἀφειδῶς ὁρμῆσαι πρὸς τὸν πόλεμον, ἐγὼ πειράσομαι 153
διδάσκειν.

ϛʹ. Πρῶτον μὲν γὰρ εἰκὸς, ὦ ἄνδρες Ἀθηναῖοι, τοὺς θεοὺς μεγίστους [2]ὑμῖν ὑπάρχειν συμμάχους καὶ βοηθοὺς, ὧν ἐκεῖνος τὰς πίστεις ὑπερβὰς καὶ τοὺς ὅρκους ὑπεριδὼν λέλυκεν ἀδίκως τὴν εἰρήνην. ἔπειθ᾽, οἷς πρότερον ηὐξήθη, φενακίζων ἀεί τινας καὶ μεγάλα ἐπαγγελλόμενος εὐεργετήσειν, πάντα ταῦτα διεξελήλυθεν ἤδη, καὶ γινώσκεται μὲν ὑπὸ τῶν Περινθίων καὶ Βυζαντίων καὶ τῶν ἐκείνοις συμμαχούντων, ὡς ἐπιθυμεῖ προσενεχθῆναι τούτοις τὸν αὐτὸν τρόπον ὅνπερ Ὀλυνθίοις πρότερον· οὐκ ἀγνοεῖται δὲ ὑπὸ Θετταλῶν δεσπόζειν ἀλλ᾽ οὐχ ἡγεῖσθαι τῶν συμμάχων προαιρούμενος· ὑποπτεύεται δὲ ὑπὸ Θηβαίων Νίκαιαν μὲν φρουρᾷ κατέχων, εἰς δὲ τὴν Ἀμφικτυονίαν εἰσδεδυκὼς, τὰς δὲ πρεσβείας τὰς ἐκ Πελοποννήσου πρὸς [3]αὑτὸν ἄγων καὶ τὴν ἐκείνων συμμαχίαν παραιρούμενος· ὥστε τῶν αὐτῷ πρὸ τοῦ φίλων ὄντων τοὺς μὲν νῦν πολεμεῖν ἀκαταλλάκτως, τοὺς δὲ μηκέτι προθύμους εἶναι συναγωνιστὰς, ἅπαντας

[1] ἡμᾶς [2] ἡμῖν [3] αὐτὸν

βʹ. *Περινθίων καὶ Βυζαντίων*] Perinthus clara urbs in Propontide, olim Thraciæ metropolis, postea Heraclea dicta. Byzantium clarissima Thraciæ civitas, quæ hodie Constantinopolis, anno abhinc 95. Turcicæ ditionis facta. Idem.

Καὶ τῶν ἐκείνοις συμμαχούντων] Chii, Rhodii, aliique populi cum Byzantiis Perinthiisque adversus Philippum arma consociaverant. *Ex edit.* Stock.

Ὅνπερ Ὀλυνθίοις] Notum Olynthiorum excidium, de quo dictum illud memorabile fertur, Philippum non tam facile conditurum talem urbem, qualem evertisset. Wolf.

Νίκαιαν] Urbs prope Thermopylas *τῶν Ἐπικνημιδίων Λοκρῶν* hic intelligatur, non Bithynica. Idem.

Νίκαιαν] Ostendimus in Phil. II. 4. Philippum Nicæam, quæ in Pylarum faucibus jacebat, dono Thebanis dedisse. Cum tamen sua nimium interesset Thermopylarum transitum custodire, quæcumque munitiones iis locorum angustiis imminebant, suorum denique militum præsidio custodire voluit. *Lucches.* Stock.

Ἀμφικτυονίαν] Amphictyones, qui circum Delphos habitabant et ad Pylæam conveniebant, *πυλαγόραι καὶ ἱερομνήμονες* dicti, id est, Pylææ præsides et legati. Pylæa vero est congressus Amphictyonum, in Pylis, quæ et Thermopylæ, fieri solitus, Hesychio auctore. Vide Strabonem lib. 8. et 9. copiosius hæc explicantem. *Ἀμφικτυονίαν* hic non tam locum, in quo convenire fuerint soliti, quam ipsam dignitatem Amphictyonum *τὴν Πυλαίαν* intelligo, de qua vide orationem *περὶ εἰρήνης.* Wolf.

Πρεσβείας τὰς ἐκ Πελοποννήσου πρὸς αὐτὸν ἄγων] Eo tempore, ut videtur, quo Argivorum et Messeniorum controversiis se immiscuit. Vide Arg. Tourrellii in Phil. II. *Ex edit.* Stock.

Τὴν ἐκείνων συμμαχίαν] Arcades fortasse intelligit, quanquam etiam alii ex Peloponnensibus cum Thebanis conjuncti fuere. Wolf.

δὲ ὑφορᾶσθαι καὶ διαβεβλῆσθαι πρὸς αὐτόν. ἔτι τοίνυν
— οὐδὲ γάρ τοῦτ᾽ ἔστι μικρὸν — οἱ κατὰ τὴν Ἀσίαν σα- 183
τράπαι καθεστῶτες ἔναγχος μὲν ξένους μισθοφόρους εἰσπέμ-
ψαντες ἐκώλυσαν ἐκπολιορκηθῆναι Πέρινθον· νυνὶ δὲ τῆς
ἔχθρας αὐτοῖς ἐνεστώσης καὶ τοῦ κινδύνου πλησίον ὄντος,
εἰ χειρωθήσεται Βυζάντιον, οὐ μόνον αὐτοὶ προθύμως συμ-
πολεμήσουσιν, ἀλλὰ καὶ βασιλέα τῶν Περσῶν χρήματα
χορηγεῖν ἡμῖν προτρέψονται, ὃς τοσοῦτον μὲν κέκτηται
πλοῦτον ὅσον οὐδ᾽ οἱ λοιποὶ πάντες, τηλικαύτην δ᾽ ἔχει
ῥώμην πρὸς τὰς ἐνθάδε πράξεις, ὥστε καὶ πρότερον ἡνίκα
154 Λακεδαιμονίοις ἐπολεμοῦμεν, ὁποτέροις πρόσθοιτο, τούτους
ἐποίει κρατεῖν τῶν ἑτέρων, καὶ νῦν μεθ᾽ ἡμῶν γενόμενος
ῥᾳδίως καταπολεμήσει τὴν Φιλίππου δύναμιν.

γ΄. Πρὸς τούτοις τοίνυν τηλικούτοις οὖσιν, οὐκ ἐρῶ μὲν
ὡς οὐ διὰ τὴν εἰρήνην πολλὰ προείληφεν ἡμῶν χωρία καὶ
λιμένας καὶ τοιαῦθ᾽ ἕτερα χρήσιμα πρὸς πόλεμον· ὁρῶ δὲ
ὡς, ὅταν μὲν ὑπ᾽ εὐνοίας τὰ πράγματα συνέχηται καὶ ταὐ-
τὰ πᾶσι συμφέρῃ τοῖς μετέχουσι τῶν πολέμων, μένει τὰ
συσταθέντα βεβαίως, ὅταν δὲ ἐξ ἐπιβουλῆς καὶ πλεονε-
ξίας ἀπάτῃ καὶ βίᾳ κατέχηται, καθάπερ ὑπὸ τούτου νῦν,
μικρὰ πρόφασις καὶ τὸ τυχὸν πταῖσμα ταχέως ἅπαντα
διέσεισε καὶ διέλυσε. καὶ πολλάκις εὑρίσκω λογιζόμενος οὐ
μόνον, ὦ ἄνδρες Ἀθηναῖοι, τὰ συμμαχικὰ τῷ Φιλίππῳ
πρὸς ὑποψίαν ἥκοντα καὶ δυσμένειαν, ἀλλὰ καὶ τὰ τῆς
ἰδίας ἀρχῆς οὐ συνηρμοσμένα καλῶς οὐδ᾽ οἰκείως οὐδ᾽ ὡς
οἴεταί τις. ὅλως μὲν γὰρ ἡ Μακεδονικὴ δύναμις ἐν μὲν
προσθήκης μέρει ῥοπὴν ἔχει τινὰ καὶ χρῆσιν, αὐτὴ δὲ καθ᾽

Ὑφορᾶσθαι καὶ διαβεβλῆσθαι πρὸς αὐτὸν] 2. Philip. μέλλειν πρὸς τοὺς Θηβαίους αὐτὸν ὑπόπτως ἔχειν. et paulo post: τὰ συμμαχικὰ τῷ Φιλίππῳ πρὸς ὑποψίαν ἥκοντα καὶ δυσμένειαν, hoc est, ὑφορᾶσθαι Φίλιππον καὶ δυσμενῆ ἔσεσθαι αὐτῷ. Idem. Intellige, *suspecto et criminoso modo habere se erga ipsum*. Auger.

Νυνὶ δὲ τῆς ἔχθρας αὐτοῖς ἐνεστώσης] Prædictio hæc eventu rata fuit. Quippe Alexander, in literis ad Darium scriptis, memorat auxilia quæ satrapæ Perinthiis miserant, tanquam dissidii causam præcipuam. *Ex edit.* Stock.

Ὁποτέροις πρόσθοιτο, τούτους ἐποίει κρατεῖν τῶν ἑτέρων] Quod hic dicit Orator, ex historia satis liquet. In bello enim Pelop. Spartani, a Persis adjuti, Athenas devicerunt. Conon deinde, eorundem ope, res afflictas Atheniensium restituit. Postremo, Artaxerxes omnes Græcos ab armis discedere jussit; qui secus faceret, se pro hoste habiturum minatus. Ita domesticis Græcorum discordiis, Persarum rex pacis ac belli arbiter factus est. *Ibid.*

γ΄. Οὐκ ἐρῶ μὲν, ὡς οὐ διὰ τὴν εἰρήνην] Concessio est, οὐκ ἀρνήσομαι. Occupavit ille quidem multa: sed minime ei profutura. Ea, quæ sequuntur, repetita pleraque sunt e secunda (prima) Olynthiaca. Wolf.

Ὁρῶ] F. ἐρῶ. Taylor.

αὐτὴν ἀσθενής ἐστι καὶ πρὸς τηλικοῦτον ὄγκον πραγμά-
184 των εὐκαταφρόνητος· ἔτι δὲ αὐτὴν οὗτος αὐτὸς τοῖς πολέ-
μοις καὶ ταῖς στρατείαις καὶ πᾶσιν οἷς ἄν τις [1] αὐτὸν μέ-
γαν εἶναι νομίσειε, σφαλερωτέραν αὐτῷ πεποίηκε. μὴ γὰρ
οἴεσθε, ὦ ἄνδρες Ἀθηναῖοι, τοῖς αὐτοῖς [2] χαίρειν Φίλιππόν
τε καὶ τοὺς ἀρχομένους· ἀλλ᾽ ἐννοεῖσθε ὡς ὁ μὲν ἐπιθυμεῖ
δόξης, οἱ δὲ ἀσφαλείας, καὶ αὐτῷ μὲν οὐκ ἔστι τυχεῖν
ταύτης ἀκινδύνως, οἱ δ᾽ οὐδὲν δέονται καταλιπόντες οἴκοι
τέκνα, γονεῖς, γυναῖκας, φθείρεσθαι καὶ καθ᾽ ἑκάστην
ἡμέραν κινδυνεύειν ὑπὲρ αὐτοῦ. [3] ὥστε τοὺς μὲν πολλοὺς τῶν 155
Μακεδόνων ἐκ τούτων ἄν τις ἴδοι, πῶς διάκεινται πρὸς τὸν
Φίλιππον· τοὺς δὲ περὶ αὐτὸν ὄντας ἑταίρους καὶ τοὺς τῶν
ξένων ἡγεμόνας εὑρήσετε δόξαν μὲν ἔχοντας ἐπ᾽ ἀνδρίᾳ,
περιδεῶς δὲ μᾶλλον τῶν ἀδόξων ζῶντας. τοῖς μὲν γὰρ ὁ
πρὸς τοὺς πολεμίους μόνον ὑπάρχει κίνδυνος, οἱ δὲ τοὺς
κόλακας καὶ τοὺς διαβάλλοντας [4] αὑτοὺς μᾶλλον ἢ τὰς
μάχας δεδίασι· κἀκεῖνοι μὲν μετὰ πάντων ἀγωνίζονται
πρὸς τοὺς ἀντιταχθέντας, τοῖς δὲ καὶ τῶν ἐν τοῖς πολέ-
μοις κακῶν οὐκ ἐλάχιστον μέρος μέτεστι, καὶ χωρὶς ἰδίᾳ
φοβεῖσθαι τὸν τρόπον τὸν τοῦ βασιλέως συμβέβηκεν. ἔτι
δὲ τῶν μὲν πολλῶν ἐπειδὰν ἁμάρτῃ τις, ζημίαν κατὰ τὴν
ἀξίαν εἴληφεν· οἱ δ᾽ [5] ὅταν μέγιστα κατορθώσωσι, τότε
μάλιστα σκορακίζονται καὶ προπηλακίζονται παρὰ τὸ
προσῆκον. καὶ τούτοις οὐδ᾽ ἂν εἷς εὖ φρονῶν ἀπιστήσειεν·
οὕτω γὰρ αὐτὸν φιλότιμον εἶναί φασιν οἱ συνδιατρίψαντες,
ὥστε βουλόμενον τὰ κάλλιστα τῶν ἔργων [6] πάνθ᾽ αὑτοῦ
δοκεῖν εἶναι μᾶλλον ἄχθεσθαι τῶν στρατηγῶν καὶ τῶν
ἡγεμόνων τοῖς ἄξιον ἐπαίνου τι πράξασιν ἢ τοῖς ὅλως ἀπο-
τυχοῦσι.

δ΄. Πῶς οὖν, εἴπερ ἐστὶ ταῦτα τοιαῦτα, πιστῶς ἤδη πολὺν χρόνον αὐτῷ παραμένουσιν; ὅτι νῦν μέν, ὦ ἄνδρες Ἀθηναῖοι, τὸ κατορθοῦν αὐτὸν ἐπισκοτεῖ πᾶσι τοῖς τοιούτοις· αἱ γὰρ εὐπραξίαι δειναὶ συγκρύψαι καὶ συσκιάσαι τὰς ἁμαρτίας εἰσὶ τῶν ἀνθρώπων· εἰ δέ τι πταίσει, τότ᾽

[1] Deest αὐτόν. [2] Φίλιππόν τε χαίρειν [3] ὥστε καί, τοὺς [4] αὐτοὺς [5] * ὅταν τὰ μέγιστα [6] ἅπαντ᾽ αὐτοῦ

Ταύτης] Nempe, τῆς δόξης. Auger.

Οὐκ ἐλάχιστον] Malim οὔτ᾽, quia sequi-

ἀκριβῶς διακαλυφθήσεται πάντα ταῦτα. συμβαίνει γὰρ, 185
ὥσπερ ἐν τοῖς σώμασιν ἡμῶν. ὅταν μὲν ἐῤῥωμένος ᾖ τις,
οὐδὲν ἐπαισθάνεται τῶν καθ' ἕκαστα σαθρῶν, ἐπὰν δὲ
156 ἀῤῥωστήσῃ πάντα κινεῖται, κἂν ῥῆγμα κἂν στρέμμα κἂν
ἄλλο τι τῶν ὑπαρχόντων ᾖ μὴ τελέως ὑγιαῖνον· οὕτω καὶ
τῶν βασιλειῶν καὶ πασῶν τῶν δυναστειῶν, ἕως μὲν ἂν ἐν
τοῖς πολέμοις κατορθῶσιν, ἀφανῆ τὰ κακὰ τοῖς πολλοῖς
ἐστὶν, ἐπὰν δέ τι πταίσωσιν, ὃ νῦν εἰκὸς παθεῖν ἐκεῖνον
μεῖζον φορτίον ἢ καθ' αὑτὸν ἀράμενον, γίγνεται φανερὰ τὰ
δυσχερῆ πάντα τοῖς ἅπασιν.

έ. Εἰ δέ τις ὑμῶν, ὦ ἄνδρες Ἀθηναῖοι, τὸν Φίλιππον
ὁρῶν εὐτυχοῦντα ταύτῃ φοβερὸν εἶναι νομίζει καὶ δυσπολέ-
μητον, σώφρονος μὲν ἀνδρὸς χρῆται προνοίᾳ· μεγάλη γὰρ
ῥοπὴ, μᾶλλον δὲ τὸ ὅλον ἡ τύχη ἐστὶ πρὸς ἅπαντα τὰ
τῶν ἀνθρώπων πράγματα. κατὰ πολλοὺς μέντοι τρόπους,
ἕλοιτ' ἄν τις οὐχ ἧττον τὴν ἡμετέραν εὐτυχίαν ἢ τὴν ἐκεί-
νου. παρά τε γὰρ τῶν προγόνων ἐκ πλείονος χρόνου παρει-
λήφαμεν τὴν ἡγεμονίαν οὐ τούτου μόνον, ἀλλὰ, συνελόντι
φράσαι, πάντων τῶν ἐν Μακεδονίᾳ βασιλευσάντων· κἀκεῖ-
νοι μὲν Ἀθηναίοις φόρους ἤνεγκαν, ἡ δ' ἡμετέρα πόλις
οὐδενὶ πώποτε τῶν ἁπάντων ἀνθρώπων. ἔτι δὲ τοσούτῳ
πλείους ἀφορμὰς αὐτοῦ πρὸς τὴν παρὰ τῶν θεῶν εὔνοιαν
ἔχομεν, ὅσῳ διατελοῦμεν εὐσεβέστερα καὶ δικαιότερα πράτ-
τοντες. τί ποτ' οὖν ἐκεῖνος ἐν τῷ προτέρῳ πολέμῳ πλείω
κατώρθωσεν ἡμῶν; ὅτι, ὦ ἄνδρες Ἀθηναῖοι, — παῤῥησιά-
σομαι γὰρ πρὸς ὑμᾶς —, ὁ μὲν αὐτὸς στρατεύεται καὶ
ταλαιπωρεῖ καὶ τοῖς κινδύνοις πάρεστιν, οὔτε καιρὸν πα-
ριεὶς οὔτε ὥραν ἔτους παραλείπων οὐδεμίαν· ἡμεῖς δὲ —
εἰρήσεται γὰρ τἀληθὲς — οὐδὲν ποιοῦντες ἐνθάδε καθήμε-
θα, μέλλοντες ἀεὶ καὶ ψηφιζόμενοι καὶ πυνθανόμενοι κατὰ
157 τὴν ἀγορὰν εἴ τι λέγεται νεώτερον. καίτοι τί γένοιτ' ἂν
νεώτερον ἢ Μακεδὼν ἀνὴρ καταφρονῶν Ἀθηναίων καὶ τολ-

tur καί. Wolf.

έ. Φίλιππον ὁρῶν εὐτυχοῦντα] Sallustius in Catilinario: 'Sed profecto fortuna in omni re dominatur: ea res cunctas ex libidine magis, quam ex vero, celebrat obscuratque.' Cicero 2. Offic. 'Magnam vim esse in fortuna in utramque partem, vel secundas ad res, vel adversas, quis ignorat? Nam et cum prospero flatu ejus utimur, ad optatos exitus pervehimur, et, cum reflavit, affligimur.' Idem.

Τούτου — τῶν ἐν Μακεδονίᾳ βασιλευσάντων] Hi genitivi reguntur a πλείονος. Auger.

186 μῶν ἐπιστολὰς πέμπειν τοιαύτας οἵας ἠκούσατε μικρῷ πρότερον; καὶ τῷ μὲν ὑπάρχουσι μισθοφόροι στρατιῶται, καὶ νὴ Δία πρὸς τούτοις τῶν παρ' ἡμῖν ῥητόρων τινὲς, οἳ τὰς παρ' ἐκείνου δωρεὰς οἴκαδε λαμβάνειν νομίζοντες οὐκ αἰσχύνονται Φιλίππῳ ζῶντες, οὐδ' αἰσθάνονται πάντα καὶ τὰ τῆς πόλεως καὶ τὰ σφῶν αὐτῶν μικροῦ λήμματος πωλοῦντες. ἡμεῖς δὲ οὔτε τῶν ἐκείνου πραγμάτων οὐδὲν στασιάζειν παρασκευάζομεν, οὔτε ξενοτροφεῖν ἐθέλομεν, οὔτε αὐτοὶ στρατεύεσθαι τολμῶμεν. οὔκουν ἐστὶν οὐδὲν θαυμαστὸν, εἴ τι πεπλεονέκτηκεν ἡμῶν κατὰ τὸν πρότερον πόλεμον, ἀλλὰ μᾶλλον εἰ μηδὲν ποιοῦντες ἡμεῖς ὧν προσήκει τοὺς πολεμοῦντας νομίζομεν κρατήσειν τοῦ πάντα πράττοντος ἃ δεῖ τοὺς πλεονεκτήσειν μέλλοντας.

ϛ'. Ὧν, ὦ ἄνδρες Ἀθηναῖοι, χρὴ λαβόντας ἔννοιαν, καὶ λογισαμένους ὡς οὐδ' ἐφ' ἡμῖν ἐστὶ τὸ φάσκειν ἄγειν εἰρήνην — ἤδη γὰρ ἐκεῖνος καὶ προηγόρευκε τὸν πόλεμον καὶ τοῖς ἔργοις ἐξενήνοχε — μηδενὸς μὲν φείδεσθαι μήτε τῶν κοινῶν μήτε τῶν ἰδίων· στρατεύεσθαι δὲ, ἐάν που καιρὸς ᾖ, προθύμως ἅπαντας· χρῆσθαι δὲ στρατηγοῖς ἀμείνοσιν ἢ πρότερον. μὴ γὰρ [1] ὑπολάβῃ τις ὑμῶν, δι' ὧν ἐκ χρηστῶν ἐγένετο τὰ πράγματα χείρω τὰ τῆς πόλεως, διὰ τούτων αὐτὰ πάλιν ἀναλήψεσθαι καὶ γενήσεσθαι βελτίω· μηδὲ νομίσητε, ῥαθυμούντων ὑμῶν, ὥσπερ πρότερον, ἑτέρους ὑπὲρ τῶν ὑμετέρων ἀγωνιεῖσθαι προθύμως· ἀλλ' ἐννοεῖσθε ὡς αἰσχρόν ἐστι τοὺς μὲν πατέρας ὑμῶν πολλοὺς πόνους καὶ 158
κινδύνους μεγάλους ὑποστῆναι Λακεδαιμονίοις πολεμοῦντας, ὑμᾶς δὲ μηδ' ὑπὲρ ὧν ἐκεῖνοι δικαίως κτησάμενοι παρέδοσαν ὑμῖν ἐθέλειν ἐῤῥωμένως ἀμύνεσθαι, ἀλλὰ τὸν μὲν ἐκ Μακεδονίας ὁρμώμενον οὕτως εἶναι φιλοκίνδυνον, ὥσθ' ὑπὲρ τοῦ μείζω ποιῆσαι τὴν ἀρχὴν κατατετρῶσθαι πᾶν τὸ σῶμα τοῖς πολεμίοις μαχόμενον, Ἀθηναίους δὲ, οἷς πάτριόν ἐστι μηδενὸς ὑπακούειν, ἁπάντων δὲ κρατεῖν ἐν τοῖς πολέμοις,

[1] ὑπολάβοι

ϛ'. Κατατετρῶσθαι πᾶν τὸ σῶμα] Vide Nostrum *de Corona*, §. 21. et quæ in eum locum annotavimus. Stock.

Μηδενὸς ὑπακούειν] Malim vel μηδενὶ, vel ἀκούειν simplex verbum. Nam ὑπακούειν genitivo jungi, videtur insolentius: etsi auctorum exempla non desunt, suspecta tamen: et Suidas cum dativo construi monet. Paulo supra, (v. 11.) pro ἃς προσήκει, rectius legi videtur ὧν προσήκει:

τούτους διὰ μαλακίαν ἢ ῥᾳθυμίαν ἐγκαταλιπεῖν τά τε τῶν 187
προγόνων ἔργα καὶ τὰ συμφέροντα τῆς πατρίδος.

ζ'. Ἵνα δὲ μὴ μακρολογῶ, φημὶ χρῆναι πάντας ἡμᾶς παρασκευάζεσθαι μὲν πρὸς τὸν πόλεμον, παρακαλεῖν δὲ τοὺς ἄλλους Ἕλληνας, μὴ λόγοις ἀλλὰ καὶ τοῖς ἔργοις, πρὸς τὴν ὑπὲρ ἡμῶν συμμαχίαν· ὡς ἅπας μέν ἐστι λόγος μάταιος πράξεων ἄμοιρος γενόμενος, τοσούτῳ δὲ μάλιστα ὁ παρὰ τῆς ἡμετέρας πόλεως, ὅσῳ δοκοῦμεν αὐτῷ προχειρότατα χρῆσθαι τῶν ἄλλων Ἑλλήνων.

et tamen sic quoque videtur cohærere durius cum τοὺς πολεμοῦντας. sed verbum ποιεῖν subintelligitur. Wolf.

ΕΠΙΣΤΟΛΗ ΦΙΛΙΠΠΟΥ.

Pag. ed. aliq. cit. | Pag. ed. Reisk.

173 ## ΦΙΛΙΠΠΟΣ ΑΘΗΝΑΙΩΝ ΤΗΙ ΒΟΥΛΗΙ ΚΑΙ ΤΩΙ ΔΗΜΩΙ ΧΑΙΡΕΙΝ. 158

α΄. Ἐπειδὴ πολλάκις μου πρέσβεις ἀποστείλαντος, ἵν'
ἐμμείνωμεν τοῖς ὅρκοις καὶ ταῖς ὁμολογίαις, οὐδεμίαν ἐποι-
εῖσθε ἐπιστροφὴν, ᾤμην δεῖν πέμψαι πρὸς ὑμᾶς ὑπὲρ ὧν
ἀδικεῖσθαι νομίζω. μὴ θαυμάσητε δὲ τὸ μῆκος τῆς ἐπι-
στολῆς· πολλῶν γὰρ ὑπαρχόντων ἐγκλημάτων, ἀναγκαῖόν
ἐστιν ὑπὲρ ἁπάντων δηλῶσαι καθαρῶς. 159
β΄. Πρῶτον μὲν γὰρ Νικίου τοῦ κήρυκος ἁρπασθέντος
ἐκ τῆς χώρας τῆς ἐμῆς, οὐ τοῖς παρανομοῦσιν ἐπετιμήσα-
τε [1]ὅτι τὴν δίκην, ἀλλὰ τὸν ἀδικούμενον εἴρξατε δέκα μῆ-
νας· ἃς δ' ἔφερε παρ' ἡμῶν ἐπιστολὰς, ἀνέγνωτε ἐπὶ τοῦ
βήματος. ἔπειτα Θασίων ὑποδεχομένων τὰς Βυζαντίων
τριήρεις καὶ τῶν λῃστῶν τοὺς βουλομένους οὐδὲν ἐφροντίζετε,
τῶν συνθηκῶν διαῤῥήδην λεγουσῶν πολεμίους εἶναι τοὺς
ταῦτα ποιοῦντας. ἔτι τοίνυν περὶ τοὺς αὐτοὺς χρόνους
Διοπείθης ἐμβαλὼν εἰς τὴν χώραν Κρωβύλην μὲν καὶ τὴν
Τιρίστασιν ἐξηνδραποδίσατο, τὴν δὲ προσεχῆ Θράκην
174 ἐπόρθησε, τέλος δὲ εἰς τοῦτο ἦλθε παρανομίας, ὥστε

[1] [ὅτι τὴν δίκην]

β΄. Νικίου τοῦ κήρυκος] Nicias (ut videtur) correptus fuit a Diopithe, dum a Thracia Macedoniam proficisceretur. *Ex edit.* Stock.

Ἁρπασθέντος] Malim cum Reiskio ἀναρπασθέντος. Auger.

Οὐ τοῖς παρανομοῦσιν ἐπετιμήσατε ὅτι τὴν δίκην, ἀλλὰ] Felicianus et Manutius, ὅτι παρὰ τὴν δίκην, scilicet ἐβιάσαντο, *ut sontes ob jus violatum castigaveritis.* Sed quid si? ὅπερ ἦν δίκαιον, *id quod æquum fuisset.* Wolf.

Οὐ τοῖς παρανομοῦσιν ἐπετιμήσατε ὅτι τὴν δίκην] In MSS. duobus Parisinis deest ὅτι: quod ego interjecta notula scriberem ὅ, τι, *ullo modo, in re qualibet*; et δίκην ἐπιτιμᾷν, *pœnam magni æstimare, gravem infligere pœnam*, verto. Nisi forte sincerior sit lectio Aldi et Feliciani: οὐ τοῖς παρανομοῦσιν ἐπετιμήσατε ὅτι παρὰ τὴν δίκην, *nequaquam sontes pro jure (prout æquum erat) punivistis.* Stock.

Ἐπιστολὰς ἀνέγνωτε] Athenienses tabellas Philippi resolverunt, quo consilia ejus explorarent. Verum tanta fuit eorum urbanitas, ut literas, uxori Olympiadi inscriptas, intactas dimiserint. *Ex edit.* Stock.

Ἐμβαλὼν εἰς τὴν χώραν] S. τὴν ἐμὴν, τὴν Μακεδονίαν: etsi fortasse Κραβύλη καὶ Τιρίστασις Thraciæ fuerunt oppida, cujus partem non exiguam tenuit Philippus. Wolf.

Κραβύλην——Τιρίστασιν] Crobyle penitus ignota. Tiristasis, juxta Plinium, oppidum est Chersonesi. *Ex edit.* Stock.

Τιρίστασιν] In margine [sc. Lutetianæ] adscriptum inepte, οἶμαι τὴν περίστασιν λέγει, cum haud dubie sit loci nomen. *In farrag.* Wolf.

Ἀμφίλοχον ὑπὲρ τῶν αἰχμαλώτων ἐλθόντα πρεσβευτὴν συλλαβὼν καὶ τὰς ἐσχάτας ἀνάγκας ἐπιθεὶς ἀπελύτρωσε ταλάντων ἐννέα. καὶ ταῦτα τῷ δήμῳ εὖ δοκοῦντα ἐποίησε. καίτοι τὸ παρανομεῖν εἰς κήρυκα καὶ πρέσβεις τοῖς ἄλλοις τε πᾶσιν ἀσεβὲς εἶναι δοκεῖ, καὶ μάλιστα ὑμῖν· Μεγαρέων γοῦν Ἀνθεμόκριτον ἀνελόντων, εἰς τοῦτο ἐλήλυθεν ὁ δῆμος, ὥστε μυστηρίων μὲν εἴργειν αὐτοὺς, [1] ὑπομνήματα δὲ τῆς ἀδικίας στῆσαι ἀνδριάντα πρὸ τῶν πυλῶν. καίτοι πῶς οὐ δεινὸν, ἐφ᾽ οἷς παθόντες οὕτως ἐμισήσατε τοὺς δράσαντας, νῦν αὐτοὺς φαίνεσθαι ποιοῦντας;

γ᾽. Καλλίας τοίνυν ὁ παρ᾽ ὑμῶν στρατηγὸς τὰς μὲν πόλεις τὰς ἐν τῷ Παγασίτῃ κόλπῳ κατοικουμένας ἔλαβεν ἁπάσας, ὑμῖν μὲν ἐνόρκους ἐμοὶ δὲ συμμαχίδας οὔσας, τοὺς δ᾽ εἰς Μακεδονίαν πλέοντας ἐπώλει πάντας πολε-
160 μίους κρίνων· καὶ διὰ ταῦθ᾽ ὑμεῖς ἐπῃνεῖτ᾽ αὐτὸν ἐν τοῖς ψηφίσμασιν. ὥστε ἔγωγε ἀπορῶ τί ποτ᾽ ἔσται καινότερον, ἐὰν ὁμολογήσητέ μοι πολεμεῖν· καὶ γὰρ ὅτε φανερῶς διεφερόμεθα, λῃστὰς ἐξεπέμπετε, καὶ τοὺς πλέοντας ὡς ἡμᾶς ἐπωλεῖτε, τοῖς ἐναντίοις ἐβοηθεῖτε, τὴν χώραν μου κακῶς ἐποιεῖτε. χωρὶς [2] τοίνυν εἰς τοῦτο παρανομίας ἀφῖχθε καὶ δυσμενείας, ὥστε καὶ πρὸς τὸν Πέρσην πρέσβεις ἀπεστάλκατε πείσοντας αὐτὸν ἐμοὶ πολεμεῖν· ὃ μάλιστα ἄν τις θαυμάσειε. πρὸ μὲν γὰρ τοῦ λαβεῖν αὐτὸν

[1] * ὑπόμνημα [2] τοίνυν τούτων εἰς

Καὶ ταῦτα τῷ δήμῳ εὖ δοκοῦντα] Scilicet πεπρᾶχθαι, ἐποίησεν, ἢ συνδοκοῦντα. Wolf.

Ἀνθεμόκριτον] Narrat Pausanias, Anthemocritum præconem missum fuisse ad Megarenses, qui Atheniensium nomine vetaret eos agrum sacrum colere. Megarenses, spreto jure gentium, nuntium interfecerunt. Athenienses itaque interdixerunt eos foris et portubus suis, et jurejurando obstrinxerunt imperatores suos ad agrum Megarensem bis quotannis vastandum. Vide supra Not. ad Olynth. II. 8. *Ex edit.* Stock.

Εἰς τοῦτο ἐλήλυθεν] F. εἰς τοῦτ᾽ ὀργῆς ἐλήλυθεν. Tanta iracundia populus exarsit. Wolf.

Εἰ ἐφ᾽ οἷς παθόντες — αὐτοὺς φαίνεσθαι ποιοῦντας;] In antiquo sic emendatum reperi: νῦν αὐτὰ φαίνεσθε ποιοῦντες; Atque ita legendum esse antecedentia verba satis confirmant. *Qui vero hoc grave esse non possit, quod ea quorum gratia alios sic hodie habuistis, nunc ipsi facere videmini.* Quinetiam particula εἰ sic legi cogit. Obsopœus. Aut τὸ εἰ abundat, aut pro αὐτοὺς φαίνεσθαι legendum, εἰ αὐτοὶ φαίνεσθε. Wolf.

γ᾽. Πρὸς τὸν Πέρσην πρέσβεις] Sub hoc tempus, Asiæ minoris satrapæ auxilium miserant Perintho, a Philippo oppugnatæ; quod etsi Atheniensium impulsu factum fuisse non tradat Diodorus, docet tamen Pausanias, copiis Persicis tum præfuisse Apollodorum Atheniensem. *Ex edit.* Stock.

Πρὸ μὲν γὰρ τοῦ λαβεῖν αὐτὸν Αἴγυπτον καὶ Φοινίκην] Artaxerxes Ochus, iracundia commotus, quod Artabazo rebelli suppetias tulerat Chares, (vide Not. ad Phil. I. 9.) et Atheniensibus per legatos palam minitatus, minas statim ingenti apparatu bellico insecutus est. Quo rumore per-

175 Αἴγυπτον καὶ Φοινίκην ἐψηφίσασθε, ἂν ἐκεῖνός τι [1] νεωτερίζῃ, παρακαλεῖν ὁμοίως ἐμὲ καὶ τοὺς ἄλλους Ἕλληνας ἅπαντας ἐπ' αὐτόν· νῦν δὲ τοσοῦτον ὑμῖν περίεστι τοῦ πρὸς ἐμὲ μίσους, ὥστε πρὸς ἐκεῖνον διαλέγεσθαι περὶ τῆς ἐπισυμμαχίας. καίτοι τὸ παλαιὸν οἱ πατέρες ὑμῶν, ὡς ἐγὼ πυνθάνομαι, τοῖς Πεισιστρατίδαις ἐπετίμων ὡς ἐπάγουσι τὸν Πέρσην ἐπὶ τοὺς Ἕλληνας· ὑμεῖς δ' οὐκ αἰσχύνεσθε ταῦτα ποιοῦντες, ἃ διετελεῖτε τοῖς τυράννοις ἐγκαλοῦντες.

δ'. Ἀλλὰ πρὸς τοῖς ἄλλοις καὶ γράφετε ἐν τοῖς ψηφίσμασιν ἐμοὶ προστάττοντες Τήρην καὶ Κερσοβλέπτην ἐᾷν Θρᾴκης ἄρχειν, ὡς ὄντας Ἀθηναίους. ἐγὼ δὲ τούτους οὔτε τῶν περὶ τῆς εἰρήνης συνθηκῶν οἶδα μετασχόντας ὑμῖν οὔτ' ἐν ταῖς στήλαις ἀναγεγραμμένους οὔτ' Ἀθηναίους ὄντας· ἀλλὰ Τήρην μὲν μετ' ἐμοῦ στρατευόμενον ἐφ' ὑμᾶς, Κερσοβλέπτην δὲ τοῖς παρ' ἐμοῦ πρεσβευταῖς ἰδίᾳ μὲν τοὺς ὅρκους ὀμόσαι προθυμούμενον, κωλυθέντα δ' ὑπὸ τῶν ὑμετέρων στρατηγῶν ἀποφαινόντων αὐτὸν Ἀθηναίων ἐχθρόν. καίτοι, πῶς ἐστὶ τοῦτ' ἴσον ἢ δίκαιον, ὅταν μὲν ὑμῖν συμφέρῃ, πολέμιον εἶναι φάσκειν αὐτὸν τῆς πόλεως, ὅταν δ' ἐμὲ 161
συκοφαντεῖν βούλησθε, πολίτην ἀποδείκνυσθαι τὸν αὐτὸν [2] ὑφ' ὑμῶν; καὶ Σιτάλκου μὲν ἀποθανόντος, ᾧ μετέδοτε τῆς πολιτείας, εὐθὺς ποιήσασθαι πρὸς τὸν ἀποκτείναντα φιλίαν, ὑπὲρ δὲ Κερσοβλέπτου πόλεμον αἱρεῖσθαι πρὸς

[1] νεωτερίσῃ [2] [ὑφ']

culsi Athenienses, reliquorum Græcorum opem petierunt, eaque de re orationem habuit Demosthenes, *de Classibus* inscriptam. Tumultus autem ille brevi deferbuit. Rex enim Persarum, victo expulsoque Artabazo, in Phœniciam et Ægyptum, provincias rebelles, vires convertit; quas postea, Mentoris Rhodii opera, in ditionem suam redegit. STOCK.

Περὶ τῆς ἐπισυμμαχίας] Συμμαχία societas est et inferendi et propulsandi belli: ἐπιμαχία propulsandi tantum, ut explicat Thucydidis interpres. hic vero legendum περὶ τῆς ἐπ' ἐμὲ συμμαχίας. WOLF.

Ἐπισυμμαχία] Est fœdus fœderatos obligans ad mutuum sibi ferendum auxilium. AUGER.

δ'. Τήρην καὶ Κερσοβλέπτην] De his Thraciæ regibus vide orationem contra Aristocratem et primam Olynthiacam. WOLF.

Τήρην καὶ Κερσοβλέπτην] De Tere prorsus silet historia. Quod ad Cersobleptem attinet, opprimi eum a Philippo sinebant Athenienses, consilio Demosthenis; donec ejus perniciem cum suo conjunctam esse periculo sentirent. Tum decreta, quæ hic memorantur, facta sunt. *Ex edit.* STOCK.

Σιτάλκου μὲν ἀποθανόντος] Sitalces, Cersobleptæ avus, propter merita in remp. in bello Pelop. civitate donatus. Eo in pugna cum Triballis interfecto, Seuthes fratris filius, exclusis ejus liberis, regno potitus est: unde cædis auctor habitus fuit. Philippus dubium crimen, tanquam exploratum et compertum, affert. *Ibid.*

ἡμᾶς; καὶ ταῦτα σαφῶς εἰδότας ὅτι τῶν λαμβανόντων τὰς δωρεὰς τὰς τοιαύτας οὐδεὶς οὔτε τῶν νόμων οὔτε τῶν ψηφι-
σμάτων οὐδὲν φροντίζει τῶν ὑμετέρων. οὐ μὴν ἀλλ᾽ εἰ δεῖ 176
πάντα τἆλλα παραλιπόντα συντόμως εἰπεῖν, ὑμεῖς ἔδοτε πολιτείαν Εὐαγόρᾳ τῷ Κυπρίῳ καὶ Διονυσίῳ τῷ Συρακουσίῳ καὶ τοῖς ἐκγόνοις τοῖς ἐκείνων. ἐὰν οὖν πείσητε τοὺς ἐκβαλόντας ἑκατέρους αὐτῶν ἀποδοῦναι πάλιν τὰς ἀρχὰς τοῖς ἐκπεσοῦσι, κομίζεσθε καὶ παρ᾽ ἐμοῦ τὴν Θρᾴκην, ὅσης Τήρης καὶ Κερσοβλέπτης ἦρχεν. εἰ δὲ τοῖς μὲν ἐκείνων κρατήσασι μηδ᾽ ἐγκαλεῖν ἀξιοῦτε μηδὲν, ἐμὲ δ᾽ ἐνοχλεῖτε, πῶς οὐ δικαίως ὑμᾶς ἀμυνοίμην ἄν; περὶ μὲν οὖν τούτων πολλὰ λέγειν ἔχων ἔτι δίκαια, παραλιπεῖν προαιροῦμαι.

έ. Καρδιανοῖς δέ φημι βοηθεῖν γεγονὼς αὐτοῖς πρὸ τῆς εἰρήνης σύμμαχος, οὐκ ἐθελόντων δ᾽ ὑμῶν ἐλθεῖν εἰς κρίσιν, πολλάκις μὲν ἐμοῦ δεηθέντος, οὐκ ὀλιγάκις δ᾽ ἐκείνων· ὥςτε πῶς οὐκ ἂν εἴην πάντων φαυλότατος, εἰ καταλιπὼν τοὺς συμμάχους μᾶλλον ὑμῶν φροντίζοιμι τῶν πάντα μοι τρόπον ἐνοχλούντων, ἢ τῶν βεβαίως μοι φίλων ἀεὶ μενόντων; εἰ τοίνυν δεῖ μηδὲ τοῦτο παραλιπεῖν, εἰς τοσοῦτον ἐληλύθατε πλεονεξίας, ὥςτε πρότερον μὲν ἐνεκαλεῖτέ μοι τὰ
162 προειρημένα μόνον, τὰ δ᾽ ὑπογυιότατα Πεπαῤῥηθίων φασκόντων δεινὰ πεπονθέναι, προσετάξατε τῷ στρατηγῷ δίκην παρ᾽ ἐμοῦ λαβεῖν ὑπὲρ ἐκείνων, οὓς ἐγὼ μὲν ἐτιμωρησάμην ἐνδεεστέρως ἢ προσῆκεν, ἐκεῖνοι δὲ εἰρήνης οὔσης
καταλαβόντες Ἁλόννησον οὔτε τὸ χωρίον οὔτε τοὺς φρουροὺς 177

Εὐαγόρᾳ τῷ Κυπρίῳ] Evagoras Cononi opem tulerat in Athenis liberandis: quamobrem civitate donatus est. Interfectus fuit a Nicocle. Filius ejus deinde Evagoras minor regnum excepit, quo tandem a Persis privatus est. *Ibid.*

Διονυσίῳ τῷ Συρακουσίῳ] Vide Diodorum Siculum, et Plutarchum in vitis Dionis et Timoleontis. *Ibid.*

Τοὺς ἐκβαλόντας ἑκατέρους] Dionysium juniorem a Dione pulsum constat: de Nicocle (Nam Evagoram in regno suo esse mortuum, Isocrati credo) mihi non liquet. Ælianus quidem eum una cum Stratone, cum quo luxu certarit, male periisse scribit. WOLF.

έ. Καταλαβόντες Ἁλόννησον] Halonesus, Cycladum una, fuit olim Atheniensium: sed cum parvi momenti esset, neglectam reliquerant. A piratis occupata, stationem præbebat ipsorum navibus, atque opportunitatem in maritimam Macedoniæ oram invadendi. Quamobrem illos vi Philippus ejecit; urbis et insulæ potitus est. Rem ægre Athenienses tulerunt: quippe quibus Macedonis incrementa suspecta forent, et illinc immineret Sciatho et Peparetho, duabus insulis reipublicæ. Armis eam repetere, quam sponte a Philippo oblatam accipere maluerunt, si huic, quam expendimus, epistolæ fides haberi debeat. [Quin et Æschines testis est populo suasisse Demosthenem donum repudiare, si diceret Philippus se διδόναι, non ἀποδιδόναι· in Ctesiph. §. 30.] Negotium Peparethiis datum, qui eorundem Atheniensium societatem et militum præsidium jam olim amplexati fuerant; feli-

ἀπεδίδοσαν, πέμψαντος ὑπὲρ αὐτῶν ἐμοῦ πολλάκις. ὑμεῖς δ', ὧν μὲν ἠδίκησαν ἐμὲ Πεπαρήθιοι, τούτων μὲν οὐδὲν ἐπεσκήψασθε, τὴν δὲ τιμωρίαν, ἀκριβῶς εἰδότες ὅτι τὴν νῆσον οὔτ' ἐκείνους οὔτε ὑμᾶς ἀφειλόμην, ἀλλὰ τὸν λῃστὴν Σώστρατον. εἰ μὲν οὖν αὐτοί φατε παραδοῦναι Σωστράτῳ, λῃστὰς ὁμολογεῖτε καταπέμπειν· εἰ δὲ ἀκόντων ὑμῶν ἐκεῖνος [1]ἐκράτει, τί δεινὸν πεπόνθατε, λαβόντες ἐμοῦ καὶ τὸν τόπον τοῖς πλέουσιν ἀσφαλῆ παρέχοντος; τοσαύτην δέ μου ποιουμένου πρόνοιαν τῆς ὑμετέρας πόλεως, καὶ διδόντος αὐτῇ τὴν νῆσον, οἱ ῥήτορες λαμβάνειν μὲν οὐκ εἴων, ἀπολαβεῖν δὲ συνεβούλευον, ὅπως ὑπομείνας μὲν τὸ προστασσόμενον τὴν ἀλλοτρίαν ἔχειν ὁμολογῶ, μὴ προειμένος δὲ τὸ χωρίον ὕποπτος γένωμαι τῷ πλήθει. γνοὺς ἐγὼ ταῦτα προὐκαλούμην κριθῆναι περὶ τούτων πρὸς ὑμᾶς, ἵν', εἰ μὲν ἐμὴ γνωσθῇ, παρ' ἐμοῦ δοθῇ τὸ χωρίον ὑμῖν· ἐὰν δὲ ὑμετέρα κριθῇ, τότε ἀποδῶ τῷ δήμῳ. ταῦτα δέ μου πολλάκις ἀξιοῦντος, ὑμεῖς μὲν οὐ προσείχετε, Πεπαρήθιοι δὲ τὴν νῆσον κατέλαβον. τί οὖν ἐχρῆν με ποιεῖν; οὐ δίκην λαβεῖν παρὰ τῶν ὑπερβεβηκότων τοὺς ὅρκους; οὐ τιμωρήσασθαι τοὺς οὕτως ὑπερηφάνως ἀσελγαίνοντας; καὶ γάρ, εἰ Πεπαρηθίων ἦν ἡ νῆσος, τί προσῆκεν ἀπαιτεῖν Ἀθηναίους; εἰ δὲ ὑμετέρα, πῶς οὐκ ἐκείνοις ὀργίζεσθε κατα- 163
λαβοῦσι τὴν ἀλλοτρίαν;

ϛ'. Εἰς τοῦτο δὲ προβεβήκαμεν ἔχθρας, ὥστε βουλόμενος ταῖς ναυσὶν εἰς τὸν Ἑλλήσποντον παραβαλεῖν ἠναγκάσθην αὐτὰς παραπέμψαι διὰ Χερρονήσου τῇ στρατιᾷ, τῶν μὲν κληρούχων κατὰ τὸ Πολυκράτους δόγμα πολεμούντων

[1] κατεκράτει

citer quoque gestum est. Philippus injuriam ulturus, Peparethum vastat, magnisque cladibus afficit. Idque merito se fecisse his literis gloriatur. *Lucches.* Stock.

Τοὺς φρουροὺς] Obsopœus: τοὺς φῶρας, τουτέστι τοὺς λῃστάς. Idem ἐπεσκέψασθε pro ἐπεσκήψασθε. F. τούτοις μὲν οὐδὲν ἐπεσκήψασθε. Sed φρουροὺς rectius legi existimo. Nam Philippus, Sostrato expulso, utique præsidium insulæ imposuerat: quod Peparethii in suam potestatem redactum detinuerunt. Wolf.

Πεπαρήθιοι] Strabo lib. 9. Contra Magnesiam quidem frequentes incumbunt insulæ. Nobiliores sunt Sciathus et Peparethus, et Irus [Imbrus] et Scyrus, cum ejusdem nominis urbibus. Idem.

Τὴν δὲ τιμωρίαν ἀκριβῶς εἰδότες, καίτοι] Fel. τὴν δὲ τιμωρίαν, ἀκριβῶς εἰδότες, ὅτι. Ego malim sic: ἐπεσκήψασθε, ἀκριβῶς εἰδότες· τὴν δὲ τιμωρίαν διεβάλετε vel διεσύρατε, vel νῦν συκοφαντεῖτε. Videtur enim et inversus esse ordo verborum, et deesse verbum aliquod. [*In farrag.* F. τὴν δὲ τιμωρίαν διαβεβλήκατε· ἀκριβῶς εἰδότες, ὅτι τὴν νῆσον.] Idem.

ϛ'. Κατὰ τὸ Πολυκράτους δόγμα] Mul-

ἡμῖν, ὑμῶν δὲ τοιαῦτα ψηφιζομένων, τοῦ δὲ στρατηγοῦ 178
Βυζαντίους τε παρακαλοῦντος καὶ διαγγέλλοντος πρὸς
ἅπαντας ὅτι πολεμεῖν αὐτῷ προστάττετε, ἂν καιρὸν
λάβῃ. τοιαῦτα δὲ πάσχων ὅμως τῆς πόλεως καὶ τῶν τριη-
ρῶν καὶ τῆς χώρας ἀπεσχόμην, ἱκανὸς ὢν τὰ πλεῖστα
λαβεῖν ἢ πάντα, καὶ διατετέλεκα προκαλούμενος ὑμᾶς εἰς
κρίσιν ἐλθεῖν ὑπὲρ ὧν αἰτιώμεθα ἀλλήλους. καίτοι σκοπεῖ-
σθε πότερον κάλλιόν ἐστιν ὅπλοις ἢ λόγοις διακρίνεσθαι,
καὶ πότερον αὐτοὺς εἶναι βραβευτὰς ἢ πεῖσαί τινας ἑτέ-
ρους· καὶ λογίζεσθ᾽ ὡς ἄλογόν ἐστιν Ἀθηναίους Θασίους
μὲν καὶ Μαρωνείτας ἀναγκάσαι περὶ Στρύμης διακριθῆναι
λόγοις, αὐτοὺς δὲ πρὸς ἐμὲ μὴ διαλύσασθαι περὶ ὧν ἀμφισ-
βητοῦμεν τὸν τρόπον τοῦτον, ἄλλως τε καὶ γιγνώσκοντας
ὅτι νικηθέντες μὲν οὐδὲν ἀποβαλεῖτε, κρατήσαντες δὲ λή-
ψεσθε τὰ νῦν ὑφ᾽ ἡμῖν ὄντα.

ζ΄. Πάντων δέ μοι δοκεῖ παραλογώτατον εἶναι, διότι
πέμψαντος ἐμοῦ πρέσβεις ἀπὸ τῆς συμμαχίας πάσης, ἵν᾽
ὦσι μάρτυρες, καὶ βουλομένου ποιήσασθαι πρὸς ὑμᾶς δι-
καίας ὁμολογίας ὑπὲρ τῶν Ἑλλήνων, οὐδὲ τοὺς περὶ τούτων
λόγους ἐδέξασθε παρὰ τῶν πρεσβευόντων, ἐξὸν ὑμῖν ἢ τῶν
κινδύνων ἀπαλλάξαι τοὺς δυσχερὲς ὑποπτεύοντάς τι καθ᾽
164 ἡμῶν, ἢ φανερῶς ἐξελέγξαι με φαυλότατον ὄντα τῶν ἁπάν-
των. τῷ μὲν οὖν δήμῳ ταῦτα συνέφερε, τοῖς δὲ λέγουσιν
οὐκ ἐλυσιτέλει. φασὶ γὰρ οἱ τῆς πολιτείας τῆς παρ᾽ ὑμῖν 179

tum apud cives suos gratia et auctoritate valuit Polycrates, et sæpius Philippi commodis inservivit; etsi jam secus fecerit: sive quo suspicionem dilueret, sive quo fidem suam denuo pluris venderet. *Ex edit.* Stock.

Τοῦ δὲ στρατηγοῦ] Is erat Diopithes. Cæterum omnia, quæ ad hanc epistolam conferant illustrandam, videas apud Leland. Vit. Phil. IV. 2. Stock.

Καὶ διαγγέλλειν πρὸς ἅπαντας ὅτι πάλιν] Recte Felicianus: καὶ διαγγέλλοντος πρὸς ἅπαντας, ὅτι πολεμεῖν. Wolf.

Θασίους καὶ Μαρωνείτας ἀναγκάσαι περὶ Στρύμης] Thasus insula Ægæi maris. Maroneum vinum apud Homerum celebratur. Stryme urbs Thraciæ, auctore Stephano. Idem.

Θασίους μὲν καὶ Μαρωνείτας] Maronea et Stryme Thraciæ urbes. Thasus, Ægæi maris insula prope Thraciam: quare nil mirum, si cum in opposito litore aliquid sub imperio habere vellet, de Stryme cum Maronitis disceptaret. Hanc vero controversiam circa Timothei tempora habitam fuisse, nullus dubito. Tunc enim respublica longe lateque per ea loca dominabatur, ac plurimum sociis urbibus ejus judicio stare opus erat. *Lucches.* Stock.

ζ΄. Πέμψαντος ἐμοῦ πρέσβεις] Legationem eam post obsessas urbes Perinthum et Byzantium missam fuisse censet Lucchesinius; cum Philippus ad Persicum bellum totius Græciæ nomine sucipiendum adspiraret, atque adeo nollet pacem dirimere, cuperetque honestis, ut loquebatur, conditionibus dissidia componere. Hinc Athenas suos cum sociorum legatis oratores misit, ut inde facilius Atheniensium voluntates permoverentur.—Stock.

Τῆς παρ᾽ ὑμῖν πολιτείας ἔμποροι] *Vestræ*

[1]ἔμπειροι τὴν μὲν εἰρήνην πόλεμον αὐτοῖς εἶναι, τὸν δὲ πόλε-
μον εἰρήνην· ἢ γὰρ συναγωνιζομένους τοῖς στρατηγοῖς ἢ
συκοφαντοῦντας ἀεί τι λαμβάνειν παρ᾽ αὐτῶν, ἔτι δὲ τῶν
πολιτῶν τοῖς γνωριμωτάτοις καὶ τῶν ἔξωθεν τοῖς ἐνδοξοτά-
τοις λοιδορουμένους ἐπὶ τοῦ βήματος περιποιεῖσθαι παρὰ
τοῦ πλήθους δόξαν ὡς εἰσὶ δημοτικοί. ῥάδιον μὲν οὖν ἐστί
μοι παῦσαι τῆς βλασφημίας αὐτοὺς μικρὰ πάνυ προεμένῳ,
καὶ ποιῆσαι λέγειν ἐπαίνους ὑπὲρ ἡμῶν. ἀλλ᾽ αἰσχυνοίμην
ἂν, εἰ τὴν πρὸς [2]ὑμᾶς εὔνοιαν παρὰ τούτων φαινοίμην
ὠνούμενος, οἳ πρὸς τοῖς ἄλλοις εἰς τοῦτο τόλμης ἥκουσιν,
ὥστε καὶ περὶ Ἀμφιπόλεως πρὸς ἡμᾶς ἀμφισβητεῖν ἐπι-
χειροῦσιν, ὑπὲρ ἧς τῶν ἀντιποιουμένων αὐτῆς [3]οἶμαι πολὺ
δικαιότερα λέγειν αὐτός. εἴτε γὰρ τῶν ἐξ ἀρχῆς κρατησάν-
των γίγνεται, πῶς οὐ δικαίως ἡμεῖς αὐτὴν ἔχομεν, Ἀλεξάν-
δρου τοῦ προγόνου πρώτου κατασχόντος τὸν τόπον, ὅθεν καὶ
τῶν αἰχμαλώτων Μήδων ἀπαρχὴν ἀνδριάντα χρυσοῦν ἀνέ-
στησεν εἰς Δελφούς; εἴτε τούτων μὲν ἀμφισβητήσειέ τις,
ἀξιοῖ δὲ γίγνεσθαι τῶν ὕστερον γενομένων κυρίων, ὑπάρχει
μοι καὶ τοῦτο τὸ δίκαιον· ἐκπολιορκήσας γὰρ τοὺς ὑμᾶς
μὲν ἐκβαλόντας, ὑπὸ Λακεδαιμονίων δὲ κατοικισθέντας,
ἔλαβον τὸ χωρίον. καίτοι πάντες οἰκοῦμεν τὰς πόλεις,
ἢ τῶν προγόνων παραδόντων, ἢ κατὰ πόλεμον κύριοι κατα-
180 στάντες. ὑμεῖς δὲ οὔτε πρῶτοι λαβόντες οὔτε νῦν ἔχοντες,
ἐλάχιστον δὲ χρόνον ἐν τοῖς τόποις ἐμμείναντες, ἀντιποιεῖ- 165

[1] ἔμποροι [2] * ἡμᾶς [3] οἴομαι πολὺ δικαιότερα ἂν λέγειν

reipublicæ mercatores, nundinatores, caupones. Legendum utique, ἔμπειροι, *gnari.* οἱ γὰρ λέγοντες οἱ τῆς πολιτείας ἔμποροί εἰσιν, οὐχὶ δὲ οἱ ἀπαγγέλλοντες Φιλίππῳ. Oratores, quod turpissimum esse scribit Cicero, quæstui habent rempublicam. Wolf.

Τῆς πολιτείας τῆς παρ᾽ ὑμῖν ἔμποροι] Sic editi fere omnes: quæ si vera lectio sit, in commate sequenti pro αὐτοῖς scribendum videtur αὑτοῖς. *Dicunt ii, qui in rep. vestra administranda mercatum exercent, pacem ipsis bellum esse,* &c. Sed melius multo Wolfius, duorum Codd. MSS. auctoritate munitus, pro ἔμποροι dedit ἔμπειροι· quem in convertendo sequuntur Tourrellius et Lucchesinius. Stock.

Τὴν μὲν εἰρήνην πόλεμον αὐτοῖς εἶναι] Vide annotationes in Philippicam Isocratis. Wolf.

Ἀλεξάνδρου τοῦ προγόνου πρώτου κατασχόντος] Plures in eum locum, qui primo Novem Viæ nuncupabatur, colonias deductas fuisse memorat Thucydides, l. 4. ac postmodum a finitimis populis (et ab ipso fortasse Alexandro, Philippi regis avo) ejectas. Amphipolis autem ipsa annis 30 post bellum Persicum, et mortuo jam Alexandro isto, fundata fuit ab Niciæ filio Agnone. Stock.

Ὅθεν καὶ αἰχμαλώτων] Sic legendum: ὅθεν κ. αἰχ. Μήδων ὧν ἀπαρχὴν ἀνδριάντα χρυσοῦν ἀνέστησεν, *statuam auream erexit.* Onsopæus.

Ὑμᾶς μὲν ἐκβαλόντας] Brasidas Lacedæmoniorum dux Amphipolim eripuerat Atheniensibus. Exinde libera mansit, donec in Philippi ditionem venit. *Exedit* Stock.

σθε τῆς πόλεως, καὶ ταῦτα πίστιν ὑπὲρ ἡμῶν αὐτοὶ βεβαιοτάτην ἐπιθέντες· πολλάκις γὰρ ἐμοῦ γράφοντος ἐν ταῖς ἐπιστολαῖς ὑπὲρ αὐτῆς, ἐγνώκατε δικαίως ἔχειν ἡμᾶς, τότε μὲν ποιησάμενοι τὴν εἰρήνην, ἔχοντος ἐμοῦ τὴν πόλιν, [1] κᾆτα συμμαχίαν ἐπὶ ταῖς αὐταῖς ὁμολογίαις. καίτοι πῶς ἂν ἑτέρα γένοιτο βεβαιοτέρα ταύτης κτῆσις, τῆς τὸ μὲν ἐξ ἀρχῆς καταλειφθείσης ἡμῖν ὑπὸ τῶν προγόνων, πάλιν δὲ κατὰ πόλεμον ἐμῆς γεγενημένης, τρίτον δὲ συγχωρηθείσης ὑφ' ὑμῶν τῶν εἰθισμένων ἀμφισβητεῖν καὶ τῶν οὐδὲν ὑμῖν προσηκόντων;

η. Ἃ μὲν οὖν ἐγκαλῶ, ταῦτ' ἐστίν· ὡς δὲ προϋπαρχόντων καὶ διὰ τὴν ἐμὴν εὐλάβειαν μᾶλλον ἤδη τοῖς πράγμασιν ἐπιτιθεμένων καὶ καθ' ὅσον ἂν δύνησθε κακοποιούντων, ὑμᾶς ἀμυνοῦμαι μετὰ τοῦ δικαίου, καὶ μάρτυρας τοὺς θεοὺς ποιησάμενος διαλήψομαι περὶ τῶν καθ' ὑμᾶς.

[1] κατὰ

Ὑπὲρ αὐτῆς, ἐγνωκότες] Lege ἐγνώκατε, et mox, τότε μὲν ποιησάμενοι, ἔχοντος δ' ἐμοῦ. WOLF.

Τότε] *Tunc*, nempe, tunc quum ego ad vos scriberem epistolas, et vos cognosceretis me juste possidere Amphipolim. AUGER.

Ἔχοντος ἐμοῦ τὴν πόλιν κατὰ συμμαχίαν ἐπὶ ταῖς αὐταῖς ὁμολογίαις] Exhibui verba, quomodo ipsa repræsentant Editores Paris. et Veneti: nec tamen video, qui sensus ex iis commode elici possit, nisi ad hunc modum liceat convertere: *habente me civitatem* sociæ urbis nomine *in ipsis illis fœderibus.* Wolfius suo periculo dedit, καὶ τὴν συμμαχίαν. Verum propius abest a recepta lectione ea, quam e Luteciano codice idem ille Wolfius excerpsit, κᾆτα συμμαχίαν, *et* deinde *societatem.* STOCK.

η. Προϋπαρχόντων] Ad hoc participium et ad ea quæ sequuntur, subaudi ὑμῶν. AUGER.

Διαλήψομαι περὶ τῶν καθ' ὑμᾶς] S. πραγμάτων, ἢ διαφορῶν. *Distinguam* vel *dijudicabo res vestras*, hoc est, transigam controversiam et litem decidam. Conferant studiosi quædam loca Panegyrici Isocratis, et Archidami, cum hac epistola, ubi illic de jure principatus et Messenæ, hic Amphipoleos agitur. WOLF. Ad verbum: *disceptabo de controversis erga vos.* AUGER.

ΔΗΜΟΣΘΕΝΟΥΣ

ΣΥΜΒΟΥΛΕΥΤΙΚΟΙ.

ΛΙΒΑΝΙΟΥ ΥΠΟΘΕΣΙΣ ΤΟΥ ΠΕΡΙ ΣΥΝΤΑΞΕΩΣ ΛΟΓΟΥ.

Pag. ed. Reisk. — Pag. ed. aliq. cit.

165 Ὁ ΛΟΓΟΣ οὗτος οὐκέτι Φιλιππικός ἐστιν, ἀλλὰ ἁπλῶς συμβουλευτικός· ἐκκλησίαν γὰρ 228
166 ἀγόντων τῶν Ἀθηναίων περὶ τῶν θεωρικῶν χρημάτων, παρελθὼν ὁ Δημοσθένης πείθει συνταχθῆναι αὐτοὺς καὶ τὸ ἀρχαῖον ἀναλαβεῖν ἀξίωμα στρατευομένους καὶ τῶν Ἑλλήνων προκινδυνεύοντας, καὶ συγκρίνει τὰ νῦν τοῖς ἐπὶ τῶν προγόνων πολὺ φαυλότερα καὶ ταπεινότερα τῶν παλαιῶν δεικνύς.

ΔΗΜΟΣΘΕΝΟΥΣ

Ο ΠΕΡΙ ΣΥΝΤΑΞΕΩΣ ΛΟΓΟΣ.

α΄. ΠΕΡΙ μὲν τοῦ παρόντος ἀργυρίου καὶ ὧν ἕνεκα τὴν
ἐκκλησίαν ποιεῖτε, ὦ ἄνδρες Ἀθηναῖοι, οὐδέτερόν μοι δοκεῖ
τῶν χαλεπῶν εἶναι, οὔτ᾽ ἐπιτιμήσαντα τοῖς νέμουσι καὶ 229

ΠΕΡΙ ΣΥΝΤΑΞΕΩΣ] Σύνταξις, apud Isocratem *tributum*, τὰς συντάξεις διδόναι: quo nomine Græci, profligato Xerxe, eam pecuniam vocabant, quam pro defensione Græciæ a Barbaris pendebant Atheniensibus, repudiato nomine τῶν εἰσφορῶν καὶ φόρων. Grammaticis est, *apta consecutio verborum.* alias *quicquid ordine fit et apte* σύνταξις dicitur. Ego inscriptionem eo minus *de ordinanda republica* vertere sum veritus, quod 3. (2.) Olynthiaca de his ipsis theatralibus pecuniis agens, τὴν ἀταξίαν (inquit) ἀνελὼν, εἰς τάξιν ἤγαγον τὴν πόλιν, τὴν αὐτὴν τοῦ λαβεῖν, τοῦ στρατεύεσθαι, τοῦ δικάζειν, τοῦ ποιεῖν τοῦθ᾽ ὅτι καθ᾽ ἡλικίαν ἕκαστος ἔχει καὶ ὅτου καιρὸς εἴη, τάξιν ποιήσας: quod certe non est aliud, quam *ordinare rempublicam.* Budæus *descriptionem in classes civium tributa conferentium* interpretatur. Wolf. Demosthenes cum ante tempus actionum Philippicarum videret populum Atheniensem omni ordine solutum, theatris tantum et spectaculis intentum, pecunias publicas partiri, nec pacis nec belli tempora instituta que dignoscentem, orationem habuit, quæ περὶ συντάξεως dicitur, id est, *de ordinatione ac constitutione civitatis.* Cujus orationis scopus is fuit, ut populus Atheniensis in certos ordines redigeretur, id est, in milites, qui hoplitæ, id est, armati vel gravis armaturæ, dicebantur, et in equites, et in alios, qui extra hos ordines erant. Bud. de Asse lib. 5. atque huc nonnihil faciunt, quæ in Orationem de Symmoriis annotata sunt. Porro a verbo συντάττομαι, id est, *ejusdem ordinis sum et notæ et classis, atque eadem dignitate præditus,* σύνταξις hujusmodi *descriptionem et in classes distributionem* significat, quemadmodum et σύνταγμα, ut idem Demosthenes, paulo post, πόλιν τοσούτους ὁπλίτας ἔχουσαν, καὶ τριήρεις, καὶ ἱππέας, καὶ χρημάτων πρόσοδον, συντετάχθαι καὶ παρεσκευάσθαι, &c. *Ex edit.* Hervag.

α΄. Περὶ μὲν τοῦ παρόντος ἀργυρίου] *Præsens pecunia*, est ἕτοιμον ἀργύριον, *bar Geld* [*ready money*]. *De hac pecunia.* Wolf.

Τοῖς νέμουσι καὶ διδοῦσι] Puto συνωνυμίαν ἢ παράλληλον εἶναι. Si esset τοῖς νεμομένοις, hoc de populo intelligerem: τοῖς διδοῦσι de tribunis plebis. Idem.

διδοῦσι τὰ κοινὰ εὐδοκιμῆσαι παρὰ τοῖς βλάπτεσθαι διὰ τούτων ἡγουμένοις τὴν πόλιν, οὔτε συνειπόντα καὶ παραινέσαντα ὡς δεῖ λαμβάνειν χαρίσασθαι τοῖς σφόδρα ἐν χρείᾳ τοῦ λαβεῖν οὖσιν· οὐδέτεροι γὰρ πρὸς τὸ τῇ πόλει συμφέρον σκοποῦντες οὔτ' ἐπαινοῦσιν οὔτε δυσχεραίνουσι τὸ πρᾶγμα, ἀλλ' ὡς ἑκάτεροι χρείας καὶ περιουσίας ἔχουσιν. ἐγὼ δὲ τοῦτο μὲν οὔτ' ἂν εἰσηγησαίμην, οὔτ' ἀντείποιμι ὡς οὐ δεῖ λαμβάνειν. παραινῶ μέντοι σκοπεῖν καὶ λογίζεσθαι πρὸς ὑμᾶς αὐτούς, ὅτι τἀργύριον μέν ἐστι τοῦτο περὶ οὗ βουλεύεσθε μικρόν, τὸ δὲ ἔθος μέγα ὃ γίγνεται μετὰ τούτου. εἰ μὲν οὖν μετὰ τοῦ πράττειν ἃ προσήκει καὶ τὸ λαμβάνειν κατασκευάσεσθε, οὐ μόνον οὐ βλάψετε, ἀλλὰ καὶ τὰ μέγιστα ὠφελήσετε τὴν πόλιν καὶ ὑμᾶς αὐτούς· εἰ δὲ τοῦ μὲν λαμβάνειν [1]καὶ ἑορτὴ καὶ πᾶσα ἀρκέσει πρόφασις, τοῦ δ' ἃ πρὸς τούτοις δεῖ ποιεῖν μηδὲ 167
τοὺς λόγους ἀκούειν ἐθελήσετε, ὁρᾶτε μήποθ', ἃ νῦν ὀρθῶς ἡγεῖσθε πράττειν, σφόδρα ἡμαρτηκέναι νομίσητε.

β'. Ἐγὼ δέ φημι δεῖν — καί μοι μὴ θορυβήσητε ἐφ' ᾧ μέλλω λέγειν, ἀλλ' ἀκούσαντες κρίνατε —, ὥσπερ τῷ λαβεῖν ἐκκλησίαν ἀπεδώκαμεν, οὕτω καὶ περὶ τοῦ συνταχθῆναι καὶ παρασκευασθῆναι τὰ πρὸς τὸν πόλεμον ἐκκλησίαν ἀποδοῦναι, καὶ παρασχεῖν ἕκαστον αὐτὸν μὴ μόνον ταῦτ' ἀκούειν ἐθέλοντα ἀλλὰ καὶ πράττειν βουλόμενον· ἵνα, ὦ ἄνδρες Ἀθηναῖοι, τῶν ἀγαθῶν τὰς ἐλπίδας δι' ὑμῶν αὐτῶν ἔχητε, καὶ μὴ τὸν δεῖνα μηδὲ τὸν δεῖνα πυνθάνησθε τί πράττει. καὶ τὰ μὲν προσιόντα τῇ πόλει πάντα, καὶ ἃ νῦν ἐκ τῶν ἰδίων παραναλίσκετε εἰς οὐδὲν δέον καὶ ὅσ' ἐκ τῶν συμμάχων ὑπάρχει, λαμβάνειν ὑμᾶς φημὶ χρῆναι τὸ
230 ἴσον ἕκαστον, τοὺς μὲν ἐν ἡλικίᾳ στρατιωτικόν, τοὺς δ'

[1] καὶ ἡ ἑορτὴ

Σκοποῦντες] Scilicet τὰ πράγματα. Idem.

Ὡς — χρείας — ἔχουσι] Sicut οὕτω γνώμης ἔχω. supra, τινὰ ἐν χρείᾳ εἶναι τοῦ λαβεῖν, id est, χρείαν ἔχειν δεῖσθαι. Idem.

Τὸ δὲ ἔθος μέγα] Sic Plato: *ut delictum parvum sit, at parva non est peccandi consuetudo.* Idem.

β'. Ἐκκλησίαν ἀπεδώκαμεν] Observentur modi loquendi, ἐκκλησίαν ἀποδοῦναι, ποιεῖν ἢ ποιεῖσθαι, συνάγειν, συλλέγειν, γίνεσθαι, εἰς ἐκκλησίαν ἀναβῆναι. Idem.

Μηδὲ τὸν δεῖνα πυνθάνησθε τί πράττει] Antiptosis Græca, pro, μηδὲ πυνθάνησθε, τί ὁ δεῖνα πράττει. Sic Terentius sæpe. Idem.

Τὰ μὲν προσιόντα] Τὰς προσόδους, τὰ προσοδευόμενα χρήματα. Idem.

Τοὺς δ' ὑπὲρ τὸν κατάλογον] Emeritos, rude donatos, qui annum ætatis 45. ex-

ὑπὲρ τὸν κατάλογον ἐξεταστικὸν ἢ ὅπως ἄν τις ὀνομάσαι
τοῦτο· στρατεύεσθαι δ' αὐτοὺς καὶ μηδενὶ τούτου παρα-
χωρεῖν, ἀλλὰ τὴν δύναμιν τῆς πόλεως οἰκείαν εἶναι καὶ κατ-
εσκευασμένην ἀπὸ τούτων, [1]ἵν' εὐπορῆτε καὶ τὰ δέοντα
ποιῆτε· καὶ τὸν στρατηγὸν ἡγεῖσθαι ταύτης, ἵν' ὑμῖν, ὦ
ἄνδρες Ἀθηναῖοι, μὴ [2]τοιαῦτα οἷάπερ νυνὶ συμβαίνῃ. τοὺς
στρατηγοὺς κρίνετε· καὶ περίεστιν ὑμῖν ἐκ τῶν πραγμά-
των ὁ δεῖνα τοῦ δεῖνος τὸν δεῖνα εἰσήγγειλεν,
ἄλλο δ' οὐδέν.

γ'. Ἀλλὰ τί ὑμῖν γένηται; πρῶτον μὲν οἱ σύμμαχοι
μὴ φρουραῖς ἀλλὰ τῷ τὰ αὐτὰ συμφέρειν ὑμῖν τε κἀκεί-
νοις ὦσιν οἰκεῖοι. ἐπειθ' οἱ στρατηγοὶ μὴ ξένους ἔχοντες
τοὺς μὲν συμμάχους ἄγωσι καὶ φέρωσι, τοὺς δὲ πολεμίους
168 μηδ' ὁρῶσιν, ἀφ' ὧν αἱ μὲν ὠφέλειαι τούτων εἰσὶν ἴδιαι, τὰ
δὲ μίση καὶ τὰ ἐγκλήματα ἐφ' ὅλην ἔρχεται τὴν πόλιν·
ἀλλὰ πολίτας τοὺς ἀκολουθοῦντας ἔχοντες τοὺς ἐχθροὺς,
ἃ νῦν τοὺς [3][συμμάχους καὶ] φίλους, ποιῶσι. χωρὶς δὲ
τούτων πολλὰ τῶν πραγμάτων τὴν ὑμετέραν ποθεῖ παρου-
σίαν, [4]καὶ ἄνευ τοῦ πρὸς τοὺς οἰκείους πολέμους οἰκείᾳ
χρῆσθαι δυνάμει συμφέρειν, καὶ πρὸς τὰ ἄλλα πράγματα
ἀναγκαῖόν ἐστιν. εἰ μὲν γὰρ ἡσυχίαν ἔχειν ὑμῖν ἀπέχρη 231

[1] ἵν' ἅμα τ' εὐπορῆτε [2] ταῦτα ἅπερ [3] Absunt unci. [4] ἄνευ γὰρ τοῦ

cesserunt, οἱ ἐν ἡλικίᾳ sunt *juvenes, quorum militaris est ætas.* Unde Ovid.

‘Quæ bello est habilis, Veneri quoque convenit ætas.
Turpe senex miles, turpe senilis amor.’
Idem.

Τοὺς δ' ὑπὲρ τὸν κατάλογον] *Ii qui excesserunt ætatem in qua cives in catalogo militantium inscribuntur.* Auger.

Ἐξεταστικὸν] Quasi dicas *inquisitivum*, ἐξετασμὸν Hesychius κρίσιν καὶ ἐρώτησιν interpretatur, id est, *judicium et quæstionem.* Tertiæ (secundæ) Olynthiacæ peroratio, quam modo citavimus, locum hunc declarat. Sic igitur τὸ ἐξεταστικὸν verti, ac si δικαστικὸν esset: quamvis plura complectatur, omnia nimirum publica munera, quæ in toga possunt administrari. Wolf.

Ἀπὸ τούτων] i. e. ἀπὸ πολιτῶν. Auger.

Μὴ ταῦτα &c.] Hunc locum sic lego et distinguo: μὴ ταῦτα, ἅπερ νυνὶ, συμβαίνῃ, τοὺς στρατηγοὺς κρίνετε, καὶ . . . . Idem.

Συμβαίνει] Malim συμβαίνῃ. Quod sequitur τοὺς στρατηγοὺς κρίνητε, est ἐξηγητικόν. Ante καὶ περίεστιν colon ponendum. Ego enim ἵνα συμβαίνει καὶ περίεστιν pro ἵνα συμβαίνῃ καὶ περιῇ scribere non ausim. Potest etiam ἐλλειπτικῶς accipi. ἵν' ὑμῖν μὴ ταῦτα, scilicet γένηται, (sequitur enim ἀλλὰ τί ὑμῖν γένηται;) ἅπερ νυνὶ συμβαίνει· ἵνα τοὺς στρατηγοὺς κρίνητε. Wolf.

Ὁ δεῖνα τοῦ δεῖνος τὸν δεῖνα] *Ille nescio quis, filius nescio cujus, illum nescio quem.* ὁ δεὶς vel ὁ δεῖνα loco proprii nominis ponitur, quod exprimere aut nolumus, aut non possumus. Latinis erit hoc intellectu facilius, si propria substituas, exempli gratia: Αἰσχίνης ὁ Ἀτρομήτου Κοθωκύδης γραφὴν παρανόμων ἀπήνεγκε κατὰ Δημοσθένους τοῦ Δημοσθένους Παιανιέως, hoc est, *Æschines Atrometi filius Cothocydes violatarum legum reum fecit Demosthenem Demosthenis filium Pæaniensem.* Idem.

γ'. Πολέμου οἰκείᾳ χρῆσθαι δυνάμει συμφέρει] Lege πολέμους, et συμφέρειν, in accusativo, et infinitivo. Vel, καὶ ἄνευ τοῦ ὅτι συμφέρει. Idem.

καὶ μηδὲν τῶν Ἑλληνικῶν περιεργάζεσθαι ὅπως ἔχει, ἄλλος ἂν ἦν [1]λόγος· νῦν δὲ πρωτεύειν μὲν ἀξιοῦτε καὶ τὰ δίκαια ὁρίζειν τοῖς ἄλλοις, τὴν δὲ ταῦτα ἐποπτεύσουσαν καὶ φυλάξουσαν δύναμιν οὔτε κατεσκευάσθε οὔτε [2]κατασκευάζεσθε, ἀλλ' ἐπὶ πολλῆς μὲν ἡσυχίας καὶ ἐρημίας ὑμῶν ὁ Μιτυληναίων δῆμος καταλέλυται, ἐπὶ πολλῆς δ' ἡσυχίας ὁ Ῥοδίων, ἐχθρός γε ὢν ἡμῖν, φαίη τις ἄν· ἀλλὰ μείζω χρὴ νομίζειν, ὦ ἄνδρες Ἀθηναῖοι, τὴν πρὸς τὰς ὀλιγαρχίας ὑπὲρ αὐτῆς τῆς προαιρέσεως ἔχθραν ἢ τὴν πρὸς τοὺς δήμους ὑπὲρ ὧν ποτ' ἂν ᾖ.

δ'. Ἀλλ', ἵν' ἐκεῖσε ἐπανέλθω, φημὶ δεῖν ὑμᾶς συντετάχθαι, καὶ τὴν αὐτὴν τοῦ τε λαβεῖν καὶ τοῦ ποιεῖν ἃ προσήκει σύνταξιν εἶναι. διελέχθην δ' ὑμῖν περὶ τούτων καὶ πρότερον, καὶ διεξῆλθον ὡς ἂν συνταχθείητε, οἵ θ' ὁπλῖται καὶ οἱ ἱππεῖς καὶ ὅσοι τούτων ἐκτός ἐστε, καὶ εὐπορία τις ἂν ἅπασι γένοιτο κοινή. ὃ δέ μοι πλείστην ἀθυμίαν ἁπάντων παρέσχηκεν, ἐρῶ πρὸς ὑμᾶς καὶ οὐκ ἀποκρύψομαι· ὅτι, πολλῶν καὶ καλῶν καὶ μεγάλων ὄντων τούτων ἁπάντων, τῶν μὲν ἄλλων οὐδενὸς οὐδεὶς μέμνηται, 169
τοῖν δυοῖν δ' ὀβολοῖν ἅπαντες. καίτοι τοὺς μὲν οὐκ ἔστι πλείονος ἢ δυοῖν ὀβολοῖν ἀξίους εἶναι, τὰ δ' ἄλλα, ἃ μετὰ τούτων [3][ὧν] εἶπον, τῶν βασιλέως ἄξιά ἐστι χρημάτων,

[1] λόγος οὗτος. νυνὶ δὲ

[2] παρασκευάζεσθε

[3] Deest ὧν.

Ἐρημίας ὑμῶν] Ἐγκαταλειφθεὶς ὑφ' ὑμῶν, *desertus a vobis.* hoc malo, quam ἠρεμίας: ut quadret πρὸς τὸ ἐποπτεύειν καὶ φυλάττειν. Idem. D'Orvillius e contra in Animadv. in Char. Aphrod. l. iii. c. x. p. 342. ἠρεμίας supponi vult. Hesych. ἡσυχία· γαλήνη, ἠρεμία.

Ὁ Μιτυληναίων δῆμος] Hinc Isocratis epistola τοῖς Μιτυληναίων ἄρχουσιν, οὐχὶ δὲ τῇ βουλῇ καὶ τῷ δήμῳ inscribitur. Wolf.

Ῥοδίων] Subaudi, δῆμος καταλέλυται. Auger.

Ὑπὲρ αὐτῆς τῆς προαιρέσεως] *Propter institutum ipsum*, nempe oligarchiæ, quæ ad evertendam Democratiam quam amplexi sunt Athenienses, intendit. Converti gallico *d'apres notre systême.* Scilicet cum Democratiam amemus, debemus odisse oligarchiam quæ ex instituto eversionem Democratiæ cogitat. Idem.

δ'. Καὶ διεξῆλθον, ὡς ἂν συνταχθείητε οἵ θ' ὁπλῖται] Prima Philippica hac de re agitur. Wolf.

Τούτων ἁπάντων] Scilicet περὶ ὧν πρότερον ὑμῖν διελέχθην καὶ διεξῆλθον. Idem.

Καίτοι τοὺς μὲν] Scilicet δύω ὀβολούς. Nec enim de certo hominum genere intelligendum: etsi omnino verum est, homines ignavos ne quidem esse pretii duorum obolorum: sed deportandos potius in desertas insulas, si reipublicæ non modo conferre nihil, sed ærarium etiam diripere studeant. Idque sapienter animadvertit Antipater: qui, captis Athenis, 23000. turbulentorum et mendicorum hominum in colonias deductis, urbeque locupletioribus tradita, reipublicæ statum effecit tranquilliorem. Idem.

Ἃ μετὰ τούτων ὧν εἶπον] Lege aut τὰ μετὰ τούτων, ὧν εἶπον, aut ἃ μετὰ τούτων εἶπον. Idem.

Μετὰ τούτων] *Cum his*, i. e. eo tempore cum loquerer de his, nempe de largitionibus publicis. Auger.

πόλιν τοσούτους ὁπλίτας ἔχουσαν καὶ τριήρεις καὶ ἱπ- 232
πέας καὶ χρημάτων πρόσοδον συντετάχθαι καὶ παρεσκευάσθαι. τί οὖν, φαίη τις ἂν, ταῦτα νῦν λέγω; ὅτι φημὶ δεῖν ὑμᾶς, ἐπειδὴ τὸ μὲν ἅπαντας μισθοφορεῖν δυσχεραίνουσί τινες, τὸ δὲ συνταχθῆναι καὶ παρασκευασθῆναι παρὰ πάντων χρήσιμον εἶναι δοκιμάζεται, ἐντεῦθεν ἄρξασθαι τοῦ πράγματος καὶ προθεῖναι περὶ τούτων τῷ βουλομένῳ γνώμην ἀποφήνασθαι. ὡς οὕτως ἔχει. ἐὰν μὲν ὑμεῖς νῦν πεισθῆτε τούτων καιρὸν εἶναι νομίσαντες, ὅταν εἰς χρείαν αὐτῶν ἔλθητε, ἕτοιμα ὑπάρξει· ἐὰν δ' ἀκαιρίαν ἡγησάμενοι παρίδητε, ὅταν δέῃ χρῆσθαι, τότ' ἀναγκασθήσεσθε παρασκευάζεσθαι.

έ. Ἤδη δέ τις εἶπεν, ὦ ἄνδρες Ἀθηναῖοί, που λέγων, οὐχ ὑμῶν τῶν πολλῶν, ἀλλὰ τῶν διαῤῥηγνυμένων εἰ ταῦτα γενήσεται, τί δ' ἡμῖν ἀπὸ τῶν Δημοσθένους λόγων ἀγαθὸν γέγονεν; ὃς παρελθὼν [1]ἡμῶν, ὅταν αὐτῷ δόξῃ, ἐνέπλησε τὰ ὦτα λόγων καὶ διέσυρε τὰ παρόντα καὶ, τοὺς προγόνους [2]ἐπαινέσας καὶ μετεωρίσας καὶ φυσήσας [3]ἡμᾶς, κατέβη. ἐγὼ δ', εἰ μὲν ὑμᾶς δυναίμην ὧν λέγω τι πεῖσαι, τηλικαῦτ' ἂν [4]οἶμαι τὴν πόλιν πρᾶξαι ἀγαθὰ, ὥστ', εἰ λέγειν νῦν ἐπιχειρήσαιμι, πολλοὺς ἂν ἀπιστῆσαι ὡς μείζοσιν ἢ δυνατοῖς. οὐ μὴν οὐδὲ τοῦτο μικρὸν ὠφελεῖν οἴομαι, εἰ τὰ βέλτιστα ἀκούειν ὑμᾶς συνεθίζω. δεῖ γὰρ, ὦ ἄνδρες Ἀθη-
170 *ναῖοι, τὸν βουλόμενόν τι ποιῆσαι τὴν πόλιν ὑμῶν ἀγαθὸν τὰ ὦτα πρῶτον ὑμῶν ἰάσασθαι· διέφθαρται γάρ· οὕτω πολλὰ καὶ ψευδῆ καὶ πάντα μᾶλλον ἢ τὰ βέλτιστα ἀκούειν συνείθισθε. οἷον—ὅπως δὲ μὴ θορυβήσῃ μοι μηδεὶς, πρὶν ἂν ἅπαντα εἴπω—ἀνέῳξάν τινες πρώην δήπου τὸν*

[1] *ὑμῶν* [2] *ἐπῄνεσε* [3] *ὑμᾶς* [4] *οἴομαι*

Ἐπειδὴ τὸ μὲν ἅπαντας μισθοφορεῖν] Controversia verbi, ut et initio dixi, *περὶ συντάξεως καὶ φόρων*. WOLF.

Μισθοφορεῖν] Interpretor *largitiones publicas facere*. AUGER.

Προσθεῖναι] Lego προθεῖναι a προτίθημι. WOLF.

Ὡς οὕτως ἔχει] Quasi dixisset οὕτω γὰρ ἔχει. AUGER.

έ. Τῶν διαῤῥηγνυμένων] *Rumpendorum*, ex eorum numero, quibus ilia rumpentur. Innuit divitem aliquem proditorem. WOLF.

Τηλικαῦτ' ἂν οἶμαι τὴν πόλιν πρᾶξαι ἀγαθὰ] Πότερον ὁ Δημοσθένης ἔπραξεν ἂν τὴν πόλιν ἀγαθά; ἢ ἡ πόλις ἔπραξεν ἀγαθά; Vide annotationes Panegyrici. Sequitur mox eodem, ut opinor, sensu, τὸν βουλόμενόν τι ποιῆσαι τὴν πόλιν ἀγαθόν. πράττω ἢ ποιῶ σέ τι ἀγαθὸν, τὸ εὖ ποιῶ σε. IDEM.

Τὸν ὀπισθόδομον] *Posticum, posteriorem*

233 ὀπισθόδομον. οὐκοῦν οἱ παριόντες ἅπαντες, τὸν δῆμον καταλελύσθαι, τοὺς νόμους οὐκ ἔτ' εἶναι, τοιαῦτα, ἔλεγον. καίτοι, ὦ ἄνδρες Ἀθηναῖοι,—καὶ σκοπεῖτε, ἂν ἀληθῆ λέγω—, οἱ μὲν ταῦτα ποιοῦντες ἄξια ἐποίουν θανάτου, ὁ δῆμος δ' οὐ διὰ τούτων καταλύεται. πάλιν, κώπας τις ὑφείλετο· μαστιγοῦν, στρεβλοῦν, πάντες ἐβόων, λέγοντες καταλύεσθαι τὸν δῆμον. ἐγὼ δὲ τί φημί; τὸν μὲν ὑφαιρούμενον θανάτου ποιεῖν ἄξια ὥσπερ ἐκεῖνοι, τὸν δῆμον δ' οὐ διὰ τούτων καταλύεσθαι. ἀλλὰ, πῶς καταλύεται, οὐδεὶς λέγει οὐδὲ παῤῥησιάζεται. ἐγὼ δὲ φράσω· ὅταν ὑμεῖς, ὦ ἄνδρες Ἀθηναῖοι, φαύλως ἠγμένοι πολλοὶ καὶ ἄποροι καὶ ἄοπλοι καὶ ἀσύντακτοι καὶ μὴ τὰ αὐτὰ γιγνώσκοντες ἦτε, καὶ μήτε στρατηγὸς μήτ' ἄλλος μηδεὶς ὧν ἂν ὑμεῖς ψηφίσησθε φροντίζῃ, καὶ ταῦτα μηδεὶς λέγειν ἐθέλῃ μηδ' ἐπανορθοῦν, μηδ' ὅπως παύσεται τοιαῦτα ὄντα πράττῃ, ὃ νυνὶ συμβαίνει.

ϛ'. Καὶ νὴ Δία, ὦ ἄνδρες Ἀθηναῖοι, ἕτεροί γε λόγοι παρεῤῥυήκασι πρὸς ὑμᾶς ψευδεῖς καὶ πολλὰ τὴν πολιτείαν βλάπτοντες, οἷον ἐν τοῖς δικαστηρίοις ὑμῖν ἐστὶν ἡ σωτηρία, καὶ δεῖ τῇ ψήφῳ τὴν πολιτείαν ὑμᾶς φυλάττειν.
ἐγὼ δὲ οἶδ', ὅτι ταῦτα μὲν ὑμῖν τὰ δικαστήρια τῶν πρὸς 171
ἀλλήλους δικαίων ἐστὶ κοινὰ, ἐν δὲ τοῖς ὅπλοις δεῖ κρατεῖν τῶν ἐχθρῶν, καὶ διὰ τούτων ἐστὶν ἡ σωτηρία τῆς πολιτείας· οὐ γὰρ τὸ ψηφίσασθαι τοῖς ἐν τοῖς ὅπλοις ποιήσει τὸ νικᾷν, ἀλλ' οἱ μετὰ τούτων κρατοῦντες τοὺς ἐχθροὺς

domum. Hanc Suidas partem fuisse dicit arcis Atheniensium, ubi fuerit ærarium, post Minervæ templum. et Aristophanes Pluto: [v. 1193.] Ἱδρυσόμεσθ' οὖν αὐτίκ', ἀλλὰ περίμενε, Τὸν Πλοῦτον, οὗπερ πρότερον ἦν ἱδρυμένος, Τὸν ὀπισθόδομον ἀεὶ φυλάττων τῆς θεοῦ. Locus hic de abrogatione status popularis habetur etiam in oratione Midiana. IDEM.

Ὥσπερ ἐκεῖνοι] Scilicet φασὶν, *ut illi aiunt.* IDEM.

Ὥσπερ ἐκεῖνοι] Nempe, qui ærarium expilarant, θανάτου ἄξια ἐποίουν. AUGER.

Φαύλως ἠγμένοι] Contra τὸ εὖ ἦχθαι. Proba educatio Platoni magnum habet momentum ad virtutem. WOLF.

Πολλοὶ] Legerem: οἱ πολλοί. AUGER.

ϛ'. Οὐ γὰρ τὸ ψηφίσασθαι τοὺς ἐν τοῖς ὅπλοις ποιήσει νικᾷν] Οὐ ποιήσει ὑμᾶς νικητὰς τῶν ἐνόπλων ἢ ὡπλισμένων πολεμίων. WOLF.

Κρατοῦντες τοὺς ἐχθροὺς] Supra ἐν τοῖς ὅπλοις δεῖ κρατεῖν τῶν ἐχθρῶν. Suidas ait: κρατῶ ἐπὶ τοῦ κυριεύω, γενικῇ: αἰτιατικῇ δὲ, ὅτε συμαίνει τὸ νικῶ. Varinus: κρατῶ, τὸ ἐξουσιάζω καὶ τὸ νικῶ γενικῇ: κρατῶ, τὸ ἅπτομαι καὶ φέρω αἰτιατικῇ. Exemplum Suidæ: μάχας ἐκράτησεν οὐκ ὀλίγας, id est, ἐκράτησε κατὰ τὰς μάχας, *prælia obtinuit non pauca*, est aliud, quam si dicas, πολεμίους ἐκράτησεν οὐκ ὀλίγους. In 2. (1.) Olynthiaca: πρὶν ἂν τῶν πραγμάτων κρατήσητε: et in epitaphio: καὶ γὰρ τῶν Ἀμαζόνων ἐλθόντα στρατὸν ἐκράτησαν, hic paulo post οἱ μετὰ τούτων (τῶν ὅπλων) κρατοῦντες τοὺς ἐχθρούς· ut videatur promiscua esse constructio: nisi forte ἡ ψευδογραφία τοῦ ων καὶ ους, ista permisceat. IDEM.

[1]καὶ ψηφίζεσθαι καὶ ἄλλο [2]ὅ τι βούλεσθε ποιεῖν ὑμῖν
ἐξουσίαν καὶ ἄδειαν [3]παρασκευάζουσι· δεῖ γὰρ ἐν μὲν τοῖς 234
ὅπλοις φοβεροὺς, ἐν δὲ τοῖς δικαστηρίοις φιλανθρώπους εἶναι.

ζʹ. Εἰ δέ τῳ δοκῶ μείζους ἢ κατ᾽ ἐμαυτὸν λέγειν λόγους, αὐτὸ τοῦτο ὀρθῶς ἔχειν αὐτῷ δοκῶ· τὸν γὰρ ὑπὲρ τηλικαύτης πόλεως ῥηθησόμενον λόγον καὶ τοιούτων πραγμάτων παντὸς ἑνὸς τοῦ λέγοντος ἀεὶ μείζω φαίνεσθαι δεῖ, καὶ τῆς ἀξίας τῆς ὑμετέρας ἐγγὺς εἶναι, μὴ τῆς τοῦ λέγοντος. ὅτι δ᾽ οὐδεὶς τῶν ὑφ᾽ ὑμῶν τιμωμένων [4]ταύτας λέγει τὰς προφάσεις, ἐγὼ διέξειμι ὑμῖν. οἱ μὲν πρὸς ἀρχαιρεσίας καὶ ταύτην τὴν τάξιν προσιόντες δοῦλοι τῆς ἐπὶ τῷ χειροτονεῖσθαι χάριτος περιέρχονται, τελεσθῆναι στρατηγὸς ἕκαστος σπουδάζων, οὐκ ἀνδρὸς ἔργον οὐδὲν πρᾶξαι. εἰ δέ τις καὶ τοιοῦτός ἐστιν οἷος ἐγχειρεῖν ἔργῳ τῳ, νῦν μὲν ἡγεῖται, τὴν τῆς πόλεως δόξαν ἀφορμὴν ἔχων καὶ τοὔνομα, τῆς τῶν ἐναντιωσομένων ἐρημίας [5]ἀπολαύων, τὰς ἐλπίδας ὑμῖν ὑποτείνων, ἄλλο δ᾽ οὐδὲν, κληρονομήσειν αὐτὸς τῶν ὑμετέρων ἀγαθῶν· ὅπερ ἐστίν· ἂν δ᾽ ὑμεῖς δι᾽ ὑμῶν αὐτῶν ἕκαστα πράττητε, τὸ ἴσον τοῖς ἄλλοις ὥσπερ τῶν ἔργων [6]αὐτῶν, οὕτω καὶ τῶν ἐκ τούτων ἕξειν. οἱ δὲ πολιτευόμενοι καὶ

[1] * τοῦ καὶ [2] ὅ] εἴ [3] παρασκευάσουσι [4] ταῦτα λέγει, τὰς προφάσεις ἐγὼ [5] * ἀπολαύσειν, τὰς δ᾽ ἐλπίδας [6] * αὐτὸν

ζʹ. Μείζους ἢ κατ᾽ ἐμαυτὸν] Οὐ φιλοσόφους καὶ ῥητορικοὺς, ἀλλὰ πολεμικοὺς καὶ στρατηγικοὺς λέγειν λόγους, οὐκ ὢν στρατηγός. Cavet scomma Hannibalis in Phormionem peripateticum de imperatoris officio disserentem. Idem.

Αὐτὸ τοῦτο ὀρθῶς ἔχειν αὐτῷ δοκῶ] Ὑπολαμβάνω αὐτὸν κρίνειν ὀρθῶς. Priore loco τὸ δοκῶ τὸ φαίνομαι significat. Possit fortassis legi αὐτὸ τοῦτο ὀρθῶς ἔχον αὐτῷ δοκεῖ. Idem.

Αὐτὸ τοῦτο etc.] *Recte ipsi videor secundum hunc ipsum modum me habere*, i. e. grandiora loqui quam pro fortuna mea. Auger.

Τὸν γὰρ ὑπὲρ τηλικαύτης] Sic et in oratione περὶ Στεφάνου. Wolf.

Ταύτας λέγει τὰς προφάσεις, ἐγὼ] Lego ταῦτα λέγει, τὰς προφάσεις ἐγὼ etc. et facilis est lapsus: et nisi corrigatur, inepta et constructio et sententia. Idem.

Οἱ μὲν πρὸς ἀρχαιρεσίαν] Sic Isocrates de pace: παρελήλυθα γὰρ οὐ χαριούμενος ὑμῖν, οὐδὲ χειροτονίαν μνηστεύσων· ἀλλ᾽ ἀποφανούμενος, ἃ τυγχάνω γινώσκων. Idem.

Ταύτην τὴν τάξιν] Ordinem eorum qui a vobis honorantur. Auger.

Τῆς τῶν ἐναντιωσομένων ἐρημίας ἀπολαύων] Utrum τῶν λεγόντων, ἢ τῶν πολεμίων. Wolf.

Τὰς ἐλπίδας ὑμῖν ὑποτείνων, ἄλλο δ᾽ οὐδὲν] Scilicet πράττων. Idem.

Ἄλλο δ᾽ οὐδὲν, κληρονομήσειν] Post οὐδὲν comma ponendum, ut habet Feliciani editio. Alioqui tota sententia erit inexplicabilis. Deinde pro καὶ τοῖς ἐκ τούτων (ut est in priore Hervagiana), legendum cum Aldo καὶ τῶν ἐκ τούτων. quanquam enim et Felicianus non male, καὶ τῆς ἐκ τούτων τιμῆς, illud tamen, καὶ τῶν ἐκ τούτων, puto esse verius: ut non tantum honos (tametsi eo quidem generosis animis non est aliud quicquam antiquius) sed omnia victoriæ præmia intelligantur. Pro ἕξειν, constructio postulat, ἕξετε, ut ad Athenienses referatur: esti non nego retineri posse, respectu τῶν στρατηγῶν. Idem.

Τὸ ἴσον τοῖς ἄλλοις] *Æquam cum cæteris partem*, ut laborum, sic et præmiorum habituros. οἱ ἄλλοι sunt, si τὸ ἕξειν ad στρατηγοὺς referas, οἱ πολῖται. Sin ἕξετε placeat, οἱ στρατηγοὶ καὶ ξένοι. Idem.

235 περὶ ταῦτ' ὄντες, τὸ τὰ βέλτιστα λέγειν [1]ὑμῖν ἀφέντες,
προσκεχωρήκασι πρὸς τούτους· καὶ πρότερον μὲν κατὰ 172
συμμορίας εἰσεφέρετε, νῦν δὲ πολιτεύεσθε κατὰ συμμορίας.
ῥήτωρ ἡγεμὼν, καὶ στρατηγὸς ὑπὸ τούτῳ, καὶ οἱ βοησόμενοι μεθ' ἑκατέρων τριακόσιοι· οἱ δ' ἄλλοι προσνενέμησθε, οἱ μὲν ὡς τούτους, οἱ δ' ὡς ἐκείνους. τοιγαροῦν ὑμῖν περίεστιν ἐκ τούτων ὁ δεῖνα χαλκοῦς καὶ ὁ δεῖνα εὐδαίμων, εἷς ἢ δύο, ὑπὲρ τὴν πόλιν· οἱ δ' ἄλλοι μάρτυρες τῆς τούτων εὐδαιμονίας κάθησθε, τῆς καθ' ἡμέραν ῥαθυμίας πολλὴν καὶ μεγάλην ὑπάρχουσαν ὑμῖν εὐδαιμονίαν τούτοις προέμενοι.

ή. Καίτοι σκέψασθε, ὅπως ἐπὶ τῶν προγόνων ταῦτ' εἶχεν· οὐ γὰρ ἀλλοτρίοις ὑμῖν παραδείγμασι χρησαμένοις, ἀλλ' οἰκείοις, ἔξεσθ' ἃ προσήκει πράττειν εἰδέναι. ἐκεῖνοι Θεμιστοκλέα τὸν τὴν ἐν Σαλαμῖνι ναυμαχίαν στρατηγήσαντα καὶ Μιλτιάδην τὸν ἡγούμενον Μαραθῶνι καὶ πολλοὺς ἄλλους, οὐκ ἴσα τοῖς νῦν στρατηγοῖς ἀγαθὰ εἰργασμένους, [2]μὰ Δί' οὐ χαλκοῦς ἵστασαν οὐδ' ὑπερηγάπων, ἀλλ' ὡς οὐδὲν αὑτῶν κρείττους ὄντας, οὕτως ἐτίμων. καὶ γάρ τοι τῶν ἔργων οὐδενὸς, ὦ ἄνδρες Ἀθηναῖοι, τῶν τότ' ἀπεστέρησαν ἑαυτούς· οὐδ' ἐστὶν οὐδεὶς ὅστις ἂν εἴποι τὴν ἐν Σαλαμῖνι ναυμαχίαν Θεμιστοκλέους ἀλλ' Ἀθηναίων, οὐδὲ τὴν ἐν Μαραθῶνι μάχην Μιλτιάδου ἀλλὰ τῆς πο-

[1] * ἡμῖν   [2] οὐ μὰ δί', οὐ

Ὑμῖν ἀφέντες] Sic ordinanda sunt verba: ἀφέντες τὸ λέγειν τὰ βέλτιστα ὑμῖν. Idem.

Ῥήτωρ ἡγεμὼν] Scilicet ἐστί. ἐξ ἑκατέρων, id est, *utriusque factionis*, necessario hic etiam legendum, ut in secunda (prima) Olynthiaca. Idem.

Βοησόμενοι] Imo βοηθησόμενοι, ut in secunda (prima §. θ'.) Olynthiaca. Auger.

Ὁ δεῖνα χαλκοῦς] Scilicet ἕστηκεν, ἢ ἵσταται, *ponitur illi ærea statua*, ut Evagoræ et Cononi. Nisi malis pro *invicto* accipere: sicut κλέπτης χαλκοῦς, quod non probo. Est enim usitata formula χαλκοῦν ἱστάναι, *æreum statuere*, pro *æream statuam ponere*. Wolf.

Χαλκοῦς] *Æreus*. i. e. statua ærea donatus. Auger.

Ὁ δεῖνα εὐδαίμων] Scilicet λέγεται, ἢ γίγνεται, εὐδαιμονεῖ, ἢ εὐδαιμονίζεται. Wolf.

Ὑπὲρ τὴν πόλιν] In altiore dignitatis gradu collocati, quam reipublicæ libertas patiatur: veluti tyranni quidam in republica: vel potius, major est illorum dignitas et auctoritas, quam ipsius reipublicæ. Idem.

Τῆς καθ' ἡμέραν ῥαθυμίας — προέμενοι] Ῥαθυμίας genitivus est pretii: *venditis socordia, abjicitis per ignaviam*, sicut dicunt μισθοῦ φιλεῖν, *mercede amare*. Idem.

Ῥαθυμίας] Subauditur ἕνεκα. Auger.

ή. Ἐκεῖνοι Θεμιστοκλέα] Sic et in Aristocratea [§. ν'.] et tertia (secunda) Olynthiac. et in oratione Æschinis κατὰ Κτησιφῶντος [§. ξά.] Wolf.

Οὐκ ἴσα] Id est, πολὺ μείζω, *multo majora*. Idem.

Ἀλλ' ὡς οὐδὲν] Pro ἀλλ' lego οὐδ': alioqui secum ipsa pugnabit oratio, cum ὑπερετίμων sequatur, quod majus est, quam ὑπερηγάπων. Quanquam si ante ὑπερετίμων negationem οὐχ addas, bene sententia constabit. Idem.

λεως. νῦν δὲ πολλοὶ τοῦτο λέγουσιν, ὡς Κέρκυραν εἷλε Τι- 236
μόθεος, καὶ τὴν μόραν κατέκοψεν Ἰφικράτης, καὶ τὴν περὶ
Νάξον ἐνίκα ναυμαχίαν Χαβρίας· δοκεῖτε γὰρ αὐτοὶ τῶν
ἔργων τούτων παραχωρεῖν τῶν τιμῶν ταῖς ὑπερβολαῖς, ἃς
173 δεδώκατε ἐπ' αὐτοῖς ἑκάστῳ τούτων.

θ'. Τὰς μὲν δὴ πολιτικὰς δωρεὰς οὕτως ἐκεῖνοί τε καλῶς ἔνεμον καὶ ὑμεῖς οὐκ ὀρθῶς, τὰς δὲ τῶν ξένων πῶς; ἐκεῖνοι Μένωνι τῷ Φαρσαλίῳ δώδεκα μὲν τάλαντα ἀργυρίου δόντι πρὸς τὸν ἐπ' Ἠϊόνι τῇ πρὸς Ἀμφιπόλει πόλεμον, διακοσίοις δ' ἱππεῦσι πενέσταις ἰδίοις βοηθήσαντι, οὐκ ἐψηφίσαντο πολιτείαν, ἀλλ' ἀτέλειαν ἔδωκαν μόνον. καὶ πρότερον τούτου Περδίκκᾳ τῷ κατὰ τὴν τοῦ βαρβάρου ποτὲ ἐπιστρατείαν βασιλεύοντι Μακεδονίας, τοὺς ἀναχωροῦντας ἐκ Πλαταιῶν τῶν βαρβάρων ἀπὸ τῆς ἥττης διαφθείραντι καὶ τέλειον τἀτύχημα ποιήσαντι τῷ βασιλεῖ, οὐκ ἐψηφίσαντο πολιτείαν, ἀλλ' ἀτέλειαν ἔδωκαν μόνον, μεγάλην, οἶμαι, καὶ τιμίαν καὶ σεμνὴν τὴν αὑτῶν πατρίδα ἡγούμενοι καὶ πάσης μείζονα εὐεργεσίας. νῦν δ', ὦ ἄνδρες Ἀθηναῖοι, φθόρους [1] ἀνθρώπους οἰκοτρίβων οἰκότριβας, τιμὴν ὥσπερ

[1] ἀνθρώπους οἰκότριβας, οἰκοτρίβων τιμὴν, ὥσπερ ἄλλου του τῶν ὠνίων,

Τὴν μόραν κατέκοψεν Ἰφικράτης] Partes quasdam exercitus, aut ordinem appellari μόραν scribit Hesychius, et addit, qui olim πατρίλοχοι (si modo pro πατρὶ non legendum est πρὶν ποτὲ, vel πάλαι λόχοι) dicerentur apud Lacedæmonios, postea mutato nomine μόραν fuisse dictos. Æmilius: 'Hoc exercitu moram Lacedæmoniorum intercepit, quod ipsum maxime tota celebratum est Græcia;' de mora loquitur, quasi esset oppidum aliquod. Xenophon lib. 4. Ἑλληνικῶν Phliasiorum meminit, quos occiderit Iphicrates: et postea de nuntio loquens, λέγει τὸ τῆς ἐν Λεχαίῳ μόρας πάθος, ubi 250. circiter sint occisi. IDEM.

Τὴν περὶ Νάξον] Νάξος insula maris Ægæi. IDEM.

Τὴν περὶ Νάξον] Delerem περὶ. AUGER.

θ'. Ἐπ' ἠϊόνι] Ἠϊὼν, ἀκτὴ, αἰγιαλὸς, ψάμμος, ὄχθη, id est, *litus, arena, ripa*. καὶ τὸ βάσιμον μέρος τῆς θαλάσσης, *vadum maris*. Item Ἠϊὼν urbs Chersonesia, et alia Strymonica. Utrum hic proprium sit, an appellativum, haud affirmare possum. WOLF.

Πενέσταις] Hi Thessalorum servi fuerunt, ut εἵλωτες Laconum, κλαρωταὶ et περίοικοι Cretensium. IDEM. Thessalus Menon *trecentis* penestis Athenienses adjuvisse dicitur in or. c. Aristocrat. §. νά: qui, utra genuina sit lectio, conjectando assequi valuerit, uæ is magnus oportet sit conjector. In or. π. Συνταξ. πενέστας non bene per *clientes* reddidit Wolfius, priorem locum tantum citat Harpocration. τοὺς δουλεύοντας τῶν ἐλευθέρων πενέστας καλεῖσθαι παρὰ Θεσσαλοῖς, ex Theopompo tradit Schol. Theocrit. ad Idyll. xvi. 35. *Valckenaer. Animadv. ad Ammon.* l. iii. c. 8. p. 192.

Ἐκ Πλαταιέων] *E Platæensibus*, id est, e finibus Platæensium: nisi forte Πλαταιῶν sit legendum, *Platæis*. WOLF.

Πάσης μείζονα εὐεργεσίας] Hoc est, nullum esse tantum beneficium, pro quo civitas Atheniensis dari debeat. IDEM.

Οἰκοτρίβων οἰκότριβας] Ὁ οἰκότριψ οἰκέτης. *Servos servis natos*. IDEM. Vim Wolfius non percepit, inquit Valckenaer, (in Anim. ad Ammon. l. I. c. 10.) et explicare pergit voces φθόρους ἀνθρώπους, οἰκοτρίβων οἰκότριβας, per, ἀνθρώπους οὐδ' ἐλευθέρους γε, ἀλλ' ὀλέθρους in or. c. Aristocrat. §. νβ'. *Nullius frugis homines*, et imprimis *exteros*, ὀλέθρους dictitabant Attici.

Τιμὴν ὥσπερ ἄλλου τινὸς] Hoc necessario

ἄλλου του τῶν ὠνίων λαμβάνοντες, ποιεῖσθε πολίτας.
ταῦτα δ' ὑμῖν ἐπελήλυθε πράττειν, οὐχ ὅτι τὰς φύσεις
χείρους ἐστὲ τῶν προγόνων, ἀλλ' ὅτι τοῖς μὲν ἐφ' ἑαυτοῖς
237 παρειστήκει μέγα φρονεῖν, ὑμῶν δ', ὦ ἄνδρες Ἀθηναῖοι,
περιήρηται τοῦτο. ἔστι δ' οὐδέποτ', οἶμαι, δυνατὸν μι-
κρὰ καὶ φαῦλα πράττοντας μέγα καὶ νεανικὸν φρόνημα
λαβεῖν, ὥσπερ οὐδὲ [1]λαμπρὰ καὶ καλὰ πράττοντας μι-
κρὸν καὶ ταπεινὸν φρονεῖν· ὁποῖ' ἄττα γὰρ ἂν τὰ ἐπι-
τηδεύματα τῶν ἀνθρώπων ᾖ, τοιοῦτον ἀνάγκη καὶ τὸ φρό-
νημ' ἔχειν.

ί. Σκέψασθε δὲ, ἅ τις κεφάλαια ἂν ἔχοι τῶν πραγμά-
των εἰπεῖν περὶ τῶν τε ἐκείνοις πεπραγμένων καὶ τῶν ὑμῖν,
ἂν ἄρ' ὑμῶν αὐτῶν ἐκ τούτων γε [2]δύνησθε γενέσθαι 174
κρείττους. πέντε μὲν τοίνυν καὶ τετταράκοντα ἔτη τῶν
Ἑλλήνων ἦρξαν ἑκόντων ἐκεῖνοι, πλείω δ' ἢ μύρια τάλαντα
εἰς τὴν ἀκρόπολιν συνήγαγον, πολλὰ δὲ καὶ καλὰ καὶ
πεζῇ καὶ ναυμαχοῦντες ἔστησαν τρόπαια, ἐφ' οἷς ἔτι καὶ
νῦν φιλοτιμούμεθα. καίτοι ταῦτα νομίζετε αὐτοὺς στῆσαι,
οὐχ ἵνα θαυμάζωμεν μόνον ἡμεῖς αὐτὰ θεωροῦντες, ἀλλ'
ἵνα καὶ μιμώμεθα τὰς τῶν ἀναθέντων ἀρετάς. ἐκεῖνοι μὲν
δὴ ταῦτα· ἡμεῖς δ', ὅσης ἅπαντες ὁρᾶτε ἐρημίας ἐπειλημ-
μένοι, σκέψασθε εἰ παραπλήσια. οὐ πλείω μὲν ἢ χίλια

[1] καλὰ καὶ λαμπρὰ

[2] δυνήσεσθε κρείττους γενέσθαι

pene fit in iis urbibus, ubi est opificum multitudo, ut possint elocari filiæ. Wolf.

Ὑμῶν δὲ περιήρηται τοῦτο] Πῶς τοίνυν οὐ χείρους τὴν φύσιν, οἷς οὐ παρέστηκε μέγα φρονεῖν ἐφ' ἑαυτοῖς; Sed orator ait, eos esse deteriores non natura, sed consuetudine, quæ naturam depresserit. Idem.

Ἔστι δ' οὐδέποτ' οἶμαι δυνατὸν] In tertia (secunda) Olynthiaca ἔστι δ' οὐδέποτ' οἶμαι μέγα, etc. omisso δυνατόν. Idem.

Ὥσπερ οὐδὲ καλὰ] Hæc antithesis in tertia (secunda) Olynthiaca prætermissa est. Idem.

ί. Πεπραμένων] Nostrum proculdubio rectius πεπραγμένων legit. Jubet enim Athenienses considerare facta majorum, et conferre cum suis ipsorum. Obsopœus.

Ἂν ἄρα ὑμῶν αὐτῶν ἐκ τούτων γε δυνήσεσθε κρείττους γενέσθαι] Malim ὑμῶν γενέσθαι, ut 1. Philip. omisso et κρείττους, et βελτίους. *an vos possitis asserere in libertatem:* desinatis pendere ab aliis. Videtur hujus loci quædam ex oratione περὶ εἰρήνης Isocratica Demosthenes mutuatus. Wolf.

Πέντε καὶ τετταράκοντα ἔτη] Isocrates in Panegyrico septuaginta, in Panathenaico sexaginta quinque annorum meminit, Demosthenes in Philippica tertia 73. Proinde pro XLV. legendum puto LXV. ξέ non μέ· nisi quis forte cavilletur, legitimum imperium 45. durasse annos: reliquis, in tyrannidem degenerasse. Sed et perpetua tyrannis illa fuit, aut certe πειθανάγκη: et hæc exceptio non decet laudatorem. Idem.

Πεζοῖ] Malim πεζῇ, ut in proverbio: πεζῇ βαδίζω· νεῖν γὰρ οὐκ ἐπίσταμαι. *eo pedes; natare namque nescio.* Nisi placeat ὀξυτόνως scribi πεζοὶ, *pedites terrestri prælio,* quod non placet. Wolf.

Ἐπειλημμένοι] Sensu activo *accipientes, nacti.* Auger.

καὶ πεντακόσια τάλαντα ἀνήλωται μάτην εἰς τοὺς τῶν
Ἑλλήνων ἀπόρους; ἐξανήλωνται δὲ οἵ τε ἴδιοι πάντες
οἶκοι καὶ τὰ κοινὰ τῇ πόλει καὶ τὰ παρὰ τῶν συμμάχων;
οὓς δ᾽ ἐν τῷ πολέμῳ συμμάχους ἐκτησάμεθα, οὗτοι νῦν ἐν
τῇ εἰρήνῃ ἀπολώλασιν; ἀλλά, νὴ Δία, ταῦτα μόνον τότ᾽ 238
εἶχε βέλτιον ἢ νῦν, τὰ δ᾽ ἄλλα χεῖρον; πολλοῦ γε καὶ δεῖ·
ἀλλ᾽, ὅ τι βούλεσθε, ἐξετάσωμεν. οἰκοδομήματα μέν γε
καὶ κόσμον τῆς πόλεως καὶ ἱερῶν καὶ λιμένων καὶ τῶν
ἀκολούθων τούτοις τοιοῦτον καὶ τοσοῦτον κατέλιπον ἐκεῖ-
νοι, ὥστε μηδενὶ τῶν [1] ἐπιγιγνομένων ὑπερβολὴν λελεῖφθαι,
προπύλαια [2] ταῦτα, νεώσοικοι, στοαί, τἆλλα, οἷς ἐκεῖνοι
κοσμήσαντες τὴν πόλιν ἡμῖν παρέδωκαν· τὰς δ᾽ ἰδίας
οἰκίας τῶν ἐν δυνάμει τότε γενομένων οὕτω μετρίας καὶ τῷ
τῆς πολιτείας ὀνόματι ἀκολούθους, ὥστε τὴν Θεμιστοκλέους
καὶ τὴν Κίμωνος καὶ τὴν Ἀριστείδου καὶ Μιλτιάδου καὶ
175 τῶν τότε λαμπρῶν οἰκίαν, εἴ τις ἄρ᾽ οἶδεν ὑμῶν ὁποία ποτ᾽
ἐστίν, ὁρᾷ τῆς τοῦ γείτονος οὐδὲν σεμνοτέραν οὖσαν. νῦν
δ᾽, ὦ ἄνδρες Ἀθηναῖοι, δημοσίᾳ μὲν ἡ πόλις ἡμῶν τὰς
ὁδοὺς ἀγαπᾷ κατασκευάζουσα καὶ κρήνας καὶ κονιάματα
καὶ λήρους—καὶ οὐ τοῖς εἰσηγησαμένοις ταῦτ᾽ ἐπιτιμῶ,
πολλοῦ γε καὶ δέω, ἀλλ᾽ ὑμῖν, εἰ ταῦτα ἱκανὰ ὑμῖν αὐτοῖς
ὑπολαμβάνετε εἶναι διοικεῖν—, ἰδίᾳ δ᾽ οἱ τῶν κοινῶν ἐπί
τῳ γεγενημένοι, οἱ μὲν τῶν δημοσίων οἰκοδομημάτων σε-
μνοτέρας τὰς ἰδίας οἰκίας κατεσκευάκασιν, οὐ μόνον τῶν
πολλῶν ὑπερηφανωτέρας, οἱ δὲ γῆν συνεωνημένοι γεωργοῦσιν
ὅσην οὐδ᾽ ὄναρ ἤλπισαν πώποτε. τούτων δ᾽ αἴτιον πάντων,
ὅτι τότε μὲν ὁ δῆμος ἦν δεσπότης καὶ κύριος ἁπάντων,
καὶ ἀγαπητὸν ἦν παρ᾽ ἐκείνου τῶν ἄλλων ἑκάστῳ καὶ
τιμῆς καὶ ἀρχῆς καὶ ἀγαθοῦ τινὸς μεταλαμβάνειν· [3] νῦν
δὲ τοὐναντίον κύριοι μὲν τῶν ἀγαθῶν οὗτοι, καὶ διὰ τούτων
ἅπαντα πράττεται, ὁ δὲ δῆμος ἐν ὑπηρέτου καὶ προσθήκης

[1] ἐπιγενομένων [2] ταῦτα, ὁ παρθενὼν, νεώσοικοι, [3] νυνὶ

Τῶν Ἑλλήνων ἀπόρους] *Græcos mendicos.* Sic appellat *mercenarios*, ut puto, *milites*, τοὺς μισθοφόρους, τοὺς ξένους. Wolf.

Οὓς δ᾽ ἐν τῷ πολέμῳ συμμάχους] Si hæc ad sociale bellum non pertinent, historiam mihi non liquere fateor. Isocrates in Areopagitico: τοὺς δ᾽ ἡμετέρους αὐτῶν συμμάχους ἀπολωλεκότες. Idem.

Τῷ τῆς πολιτείας ὀνόματι ἀκολούθους] Id est, δημοτικοὺς *plebeias*, minime tyrannicas. Idem.

Ὁ δὲ δῆμος ἐν προσθήκης μέρει] Id est,

μέρει, καὶ ὑμεῖς ἀγαπᾶτε [1] ἃ ἂν ὑμῖν οὗτοι μεταδιδῶσι
λαμβάνοντες.

ιά. Τοιγαροῦν ἐκ τούτων τοιαῦτα τὰ πράγματα τῆς
πόλεώς ἐστιν, ὥστε, εἴ τις ἀναγνοίη τὰ ψηφίσματα ὑμῶν
καὶ τὰς πράξεις ἐφεξῆς διέλθοι, οὐδ᾽ ἂν εἷς πιστεύσειε τῶν
230 αὐτῶν εἶναι ταῦτα κἀκεῖνα. οἷον, ἃ πρὸς τοὺς καταράτους
Μεγαρέας ἐψηφίσασθε ἀποτεμνομένους τὴν ὀργάδα, ἐξιέ-
ναι, κωλύειν, μὴ ἐπιτρέπειν· ἃ πρὸς Φλιασίους ὅτε
ἐξέπεσον τὸ ἔναγχος, βοηθεῖν, μὴ ἐπιτρέπειν τοῖς
σφαγεῦσι, τῶν ἐν Πελοποννήσῳ τοὺς βουλομέ-
νους παρακαλεῖν. ἅπαντα καλὰ, ὦ ἄνδρες Ἀθηναῖοι,
ταῦτα καὶ δίκαια καὶ τῆς πόλεως ἄξια, [2] τὰ ἔργα δὲ τὰ 176
ἀπὸ τούτων οὐδαμοῦ. οὐκοῦν τὴν μὲν ἀπέχθειαν διὰ τῶν
ψηφισμάτων ἐκφέρεσθε, τῶν δ᾽ ἔργων οὐδενὸς κύριοι γί-
γνεσθε· τὰ μὲν γὰρ ψηφίσματα πρὸς τὸ τῆς πόλεως
ἀξίωμα ψηφίζεσθε, τὴν δύναμιν δ᾽ οὐκ ἀκόλουθον ὧν ψη-
φίζεσθε ἔχετε. ἐγὼ δὲ παραινέσαιμι ἂν ὑμῖν—καί μοι
μηδεὶς ὀργισθῇ—[3] ἔλαττον φρονεῖν καὶ τὰ ὑμέτερα αὐτῶν
ἀγαπᾷν πράττοντας, ἢ μείζω δύναμιν παρασκευάζεσθαι.
εἰ μὲν οὖν Σιφνίοις ἢ Κυθνίοις ἢ τισὶν ἄλλοις τοιούτοις οὖσι
συνήδειν ὑμῖν, ἔλαττον φρονεῖν συνεβούλευον ἄν· ἐπειδὴ δ᾽
ἐστ᾽ Ἀθηναῖοι, τὸ τὴν δύναμιν παρασκευάζεσθαι παραινῶ.
αἰσχρὸν γὰρ, ὦ ἄνδρες Ἀθηναῖοι, αἰσχρὸν λιπεῖν τὴν τοῦ
φρονήματος τάξιν, ἣν ὑμῖν οἱ πρόγονοι παρέδωκαν. πρὸς δὲ
τούτοις οὐδ᾽ ἔστιν ἐφ᾽ ὑμῖν, οὐδ᾽ ἂν ἀποστῆναι τῶν Ἑλλη-
νικῶν βούλησθε· πολλὰ γὰρ ὑμῖν ἐκ παντὸς τοῦ χρόνου
πέπρακται, καὶ τοὺς μὲν φίλους τοὺς ὑπάρχοντας αἰσχρὸν
προέσθαι, τοῖς δ᾽ οὖσιν ἐχθροῖς οὐκ ἔνι πιστεῦσαι καὶ

[1] ἄν τι αὐτοὶ μεταδ. [2] τὰ δ᾽ ἔργα τὰ [3] * ἢ ἔλαττον

numerus est tantum, ut, *Nos numerus sumus, et fruges consumere nati.* vel, nulla ratio populi habetur, nullo loco habetur, nulloque numero. Sic etiam Plato προσθήκην et πρόσθημα pro *additamento* et *accessione* sive *appendice* posuit, quemadmodum et πρόσθεσιν, etc. *Ex edit.* HERVAG.

ιά. Τὴν ὀργάδα] Suidas ὀργάδα, *fecundam, consitam, pinguem, robustamque tellurem* interpretatur: et postea, nescio quo auctore, citat Periclem dedisse crimini Megarensibus, quod ὀργάδα, hoc est, *consecratum agrum* colerent. WOLF.

Μὴ ἐπιτρέπειν τοῖς σφαγεῦσι] Coercendos esse grassatores et homicidas. Sic odiose vocari puto Lacedæmonios. τὰς ἐν Ἤλιδι σφαγὰς in Philippicis commemoravit. Minuta ista et fere perpetua Græcorum latrocinia exquirere accuratius, non est operæ pretium. IDEM.

Σιφνίοις ἢ Κυθνίοις] Siphnos insula una ex Cycladibus in Ægæo mari, Cythnos item. IDEM.

Τὸ τὴν δύναμιν] Lego, μείζω τὴν δύναμιν. IDEM.

μεγάλους ἐᾶσαι γενέσθαι. ὅλως δ', ὅπερ οἱ πολιτευόμενοι πεπόνθασι πρὸς ὑμᾶς, [1] οὐκ ἔνεστ' αὐτοῖς ὅταν βούλωνται παύσασθαι, τοῦτο καὶ ὑμῖν περιέστηκε· πεπολίτευσθε γὰρ ἐν τοῖς Ἕλλησιν.

ιβ'. Ἔστι δ', ὦ ἄνδρες Ἀθηναῖοι, κεφάλαιον ἁπάντων τῶν εἰρημένων, οὐδέποθ' ὑμᾶς οἱ λέγοντες οὔτε πονηροὺς
οὔτε χρηστοὺς ποιήσουσιν, ἀλλ' ὑμεῖς τούτους ὁποίους ἂν 240
βούλησθε· οὐ γὰρ ὑμεῖς ὧν οὗτοι βούλονται στοχάζεσθε, ἀλλ' οὗτοι ὧν ἂν ὑμᾶς ἐπιθυμεῖν οἴωνται. ὑμᾶς οὖν ὑπάρ-
177 ξαι δεῖ χρηστὰ βουλομένους, καὶ πάνθ' ἕξει καλῶς· ἢ γὰρ οὐδεὶς ἐρεῖ φαῦλον οὐδὲν, ἢ οὐδὲν αὐτῷ πλέον ἔσται μὴ ἔχοντι τοὺς πεισομένους.

[1] * οἷς οὐκ

ιβ'. Βουλευομένους] Melius βουλομένους. Idem.

ΛΙΒΑΝΙΟΥ ΥΠΟΘΕΣΙΣ ΤΟΥ ΠΕΡΙ ΣΥΜΜΟΡΙΩΝ ΛΟΓΟΥ.

Pag. ed. aliq. cit. 191 — Pag. ed. Reisk. 177

ι'. Εἰ τοίνυν τις οἴεται Θηβαίους ἔσεσθαι μετ' ἐκείνου, ἔστι μὲν χαλεπὸς πρὸς ὑμᾶς ὁ περὶ τούτων λόγος· διὰ γὰρ τὸ μισεῖν αὐτοὺς οὐδ' ἂν ἀληθὲς οὐδὲν ἡδέως [3] οὐδ' ἀγαθὸν περὶ αὐτῶν ἀκούσαιτε· οὐ μὴν ἀλλὰ δεῖ τοὺς περὶ πραγμάτων μεγάλων σκοποῦντας μηδένα συμφέροντα λογισμὸν παραλιπεῖν διὰ μηδεμίαν πρόφασιν. ἐγὼ τοίνυν [4] οἶμαι τοσ-

[1] κρατήσαντες * ἂν, ἐκ. [2] εἰσὶ [3] οὐδ' ἂν ἀγαθόν τι περὶ [4] οἴομαι

Ἕως δ' ἂν κρατῶμεν] Quasi vero id exploratum sit: aut deorum quispiam spoponderit. Sed et hoc vulgi auribus datur, de quo Isocrates oratione de pace: λίαν τινές μοι δοκοῦσιν ὡρμῆσθαι πρὸς τὸν πόλεμον, καὶ τὰ λοιπά. Idem.

θ'. Ὀρρόντην] Vide Diodorum. Idem.

Ἐπὶ δὲ τὴν ἄλλην Ἑλλάδα] Artificiosa dehortatio ab oppugnanda patria: eas ratiocinationes militibus tribuendo, quæ viris cordatis et patriæ amantibus dignæ sunt. Idem.

Δουλεύσει] Malo, ut Felicianus, interrogative legere. Idem.

Οὕτω δυστυχὴς] Ἀντὶ τοῦ ἄφρων, et sane stultitia non in minima parte infelicitatis numeranda est: si modo recte finitur φρόνησις ἀρετὴ τοῦ λογιστικοῦ, παρασκευαστικὴ τῶν συντεινόντων πρὸς εὐδαιμονίαν. Comicus, ἄνοια δυστύχημ' αὐθαίρετον βροτοῖς. Sed calamitas hæc et de prœlio et de inopia potest intelligi. Idem.

Οἱ γὰρ ἡμῶν κρατήσαντες] Ὑποθετικῶς καὶ σοφιστικῶς. Græci enim illi mercenarii Persæ ἐν προσθήκης μέρει futuri erant, non soli rem gesturi. Idem.

οὗτον ἀπέχειν Θηβαίους τοῦ μετ᾽ ἐκείνου πότ᾽ ἂν ἐλθεῖν
ἐπὶ τοὺς Ἕλληνας, ὥστε πολλῶν ἂν χρημάτων, εἰ ἔχοιεν
δοῦναι, πρίασθαι γενέσθαι τινὰ αὐτοῖς καιρὸν δι᾽ οὗ τὰς
προτέρας [1] ἀναλύσονται πρὸς τοὺς Ἕλληνας ἁμαρτίας. εἰ
δ᾽ ἄρα παντάπασί τις οὕτως οἴεται φύσει δυστυχεῖς Θη-
βαίους εἶναι, ἐκεῖνό γε δήπουθεν ἅπαντες ἐπίστασθε, ὅτι,
Θηβαίων τὰ ἐκείνου φρονούντων, ἀνάγκη τοὺς τούτων ἐ-
188 χθροὺς τὰ τῶν Ἑλλήνων φρονεῖν. ἡγοῦμαι τοίνυν ἐγὼ ταύτην
τὴν τάξιν τοῦ δικαίου καὶ τοὺς μετ᾽ αὐτῆς ὄντας κρείττους
[2] τῶν προδοτῶν καὶ τοῦ βαρβάρου ἔσεσθαι πρὸς ἅπαντας.
ὥστ᾽ οὔτε φοβεῖσθαί φημι δεῖν πέρα τοῦ μετρίου, οὔθ᾽ ὑπα-
χθῆναι προτέρους ἐκφέρειν τὸν πόλεμον. καὶ μὴν οὐδὲ τῶν
ἄλλων οὐδένα ἂν εἰκότως Ἑλλήνων φοβηθέντα τὸν πόλεμον
τοῦτον ὁρῶ· τίς γὰρ οὐκ οἶδεν αὐτῶν, ὅτι τέως μὲν κοινὸν 204
ἐχθρὸν [3] ἐκεῖνον ὑπειληφότες ὡμονόουν ἀλλήλοις, πολλῶν
ἀγαθῶν ἦσαν κύριοι· ἐπειδὴ δὲ φίλον αὐτὸν νομίσαντες αὑ-
τοῖς ὑπάρχειν, περὶ τῶν πρὸς αὑτοὺς διηνέχθησαν διαφόρων,
ὅσ᾽ ἂν οὐδὲ καταρώμενος εὕροι τις αὐτοῖς, τοσαῦτα πεπόν-
θασι κακά;

ιά. Εἶθ᾽ ὃν ἡ τύχη καὶ τὸ δαιμόνιον φίλον μὲν ἀλυσιτελῆ, συμφέροντα δ᾽ ἐχθρὸν, ἐμφανίζει, τοῦτον ἡμεῖς φοβώμεθα; μηδαμῶς· ἀλλὰ μηδ᾽ ἀδικῶμεν ἡμῶν αὐτῶν ἕνεκα καὶ τῆς τῶν ἄλλων Ἑλλήνων ταραχῆς καὶ ἀπιστίας, ἐπεὶ εἴ γ᾽ ὁμοθυμαδὸν ἦν μετὰ πάντων ἐπιθέσθαι μόνῳ, οὐδ᾽ [4] ἀδικεῖν ἡμᾶς ἐκεῖνον ἀδίκημ᾽ ἂν ἔθηκα. ἐπειδὴ δὲ τοῦτ᾽ οὐχ οὕτως ἔχει, φυλάττεσθαί φημι δεῖν μὴ πρόφασιν δῶμεν βασιλεῖ τοῦ τὰ δίκαια ὑπὲρ τῶν ἄλλων Ἑλλήνων ζητεῖν· ἡσυχίαν μὲν γὰρ ἐχόντων ὑμῶν ὕποπτος ἂν εἴη τοιοῦτό τι

[1] ἀναλύσωνται [2] τῶν προδοτῶν κρείττους [3] ἐκεῖνον κοινὸν ἐχθρὸν [4] ἀδικεῖν ἂν ἡμᾶς

ί. Τὰς προτέρας ἀναλύσωνται] M. ἀπολύσωνται. Intelligenda est autem eorum cum Xerxe conspiratio: quæ sunt eorum πρὸς τοὺς Ἕλληνας ἁμαρτίαι: etsi et post Leuctricam victoriam satis insolenter se gesserunt. Vide τὸν περὶ εἰρήνης Isocratis. Idem.

Τοὺς τούτων ἐχθροὺς] Lacedæmonios opinor intelligendos, aut Phocenses. Idem.

Ὥστ᾽ οὔτε φοβεῖσθαι] Vide, ut concitationem populi timori tribuat, et confirmandis ejus animis a bello dehortetur. Idem.

Ὅσα ἂν οὐδὲ καταρώμενος] Hæc de bello Peloponnesiaco videntur intelligenda. Idem.

ιά. Οὐδ᾽ ἀδικεῖν ἂν ἡμᾶς ἔθηκα ἐκεῖνον] Sic et Isocrates in Panegyrico. Idem.

Τοῦ τὰ δίκαια — ζητεῖν] Hoc declarat mox, εἰκότως ἂν δοκείη τοῖς ἄλλοις Ἕλλησι φίλος εἶναι βούλεσθαι. Idem.

[1] πράττων, πόλεμον δὲ ποιησαμένων προτέρων εἰκότως ἂν δοκοίη διὰ τὴν πρὸς ὑμᾶς ἔχθραν τοῖς ἄλλοις φίλος εἶναι βούλεσθαι. μὴ οὖν ἐξελέγξητε ὡς κακῶς ἔχει τὰ Ἑλληνικά, συγκαλοῦντες ὅτ᾽ οὐ πείσετε, καὶ πολεμοῦντες ὅτ᾽ οὐ δυνήσεσθε· ἀλλ᾽ ἔχετε ἡσυχίαν θαῤῥοῦντες καὶ παρασκευαζόμενοι, καὶ βούλεσθε ἀπαγγέλλεσθαι περὶ ὑμῶν 189
πρὸς βασιλέα μή, μὰ Δία, ὡς ἀποροῦσιν ἢ φοβοῦνται ἢ θορυβοῦνται πάντες οἱ Ἕλληνες [2] καὶ Ἀθηναῖοι, πολλοῦ γε καὶ δεῖ, ἀλλ᾽ ὅτι, εἰ μὲν μὴ τοῖς Ἕλλησιν ὁμοίως αἰσχρὸν ἦν τὸ ψεύδεσθαι καὶ ἐπιορκεῖν, ὥσπερ ἐκείνῳ καλόν, πάλαι ἂν ὑμεῖς ἐπ᾽ ἐκεῖνον ἐπορεύεσθε, νῦν δὲ τοῦτο μὲν οὐκ ἂν ποιήσαιτε ὑμῶν ἕνεκ᾽ αὐτῶν, εὔχεσθε δὲ πᾶσι τοῖς θεοῖς τὴν αὐτὴν λαβεῖν παράνοιαν ἐκεῖνον ἥν πέρ ποτε τοὺς προγόνους αὐτοῦ. καὶ ταῦτ᾽ ἂν ἐπίῃ σκοπεῖν αὐτῷ, οὐκ ὀλιγώρως ὑμᾶς βουλευομένους εὑρήσει. ἐκ μέν γε τῶν πρὸς τοὺς ἑαυτοῦ προγόνους πολέμων σύνοιδε τὴν πόλιν εὐδαίμονα καὶ μεγάλην γεγενημένην, ἐκ δὲ τῆς ἡσυχίας ἣν ἦγε πρὸ τούτων, οὐδεμιᾶς τῶν ἄλλων Ἑλληνίδων πόλεων τοσοῦτον ὅσον νῦν ὑπεραίρουσαν. καὶ μὴν καὶ τοὺς Ἕλληνας ὁρᾷ δεομένους ἤτοι τινὸς ἑκουσίου ἢ [3] ἀκουσίου διαλλακτοῦ· τοῦτον δ᾽ [4] αὑτὸν ἂν οἶδε φανέντ᾽ αὐτοῖς, εἰ πόλεμον κινοίη. ὥστε καὶ γνώριμα καὶ πιστὰ αὐτῷ τὰ τῶν ἀπαγγελλόντων ἀκούειν ἔσται.

ιβ΄. Ἵνα δ᾽, ὦ ἄνδρες Ἀθηναῖοι, μὴ μακρὰ [5] λίαν λέγων ἐνοχλῶ, τὰ κεφάλαια ὧν συμβουλεύω φράσας ἄπειμι. παρασκευάζεσθαι μὲν πρὸς τοὺς ὑπάρχοντας ἐχθροὺς κελεύω, ἀμύνεσθαι δὲ καὶ βασιλέα καὶ πάντας, ἂν ἀδικεῖν ἐπιχειρῶσι, ταύτῃ τῇ δυνάμει φημὶ δεῖν, ἄρχειν δὲ μηδενὸς μήτε

[1] πράττειν [2] καὶ οἱ Ἀθην. [3] κἀκουσίου [4] αὐτὸν οἶδεν ἂν φαν. [5] λέγων λίαν

Ὅσον νῦν ὑπεραίρουσαν] M. ὑπεραίρει. Idem.

Ἄρχειν δὲ μηδενὸς μήτε λόγου μήτε ἔργου ἀδίκου] Ἄρχειν hic idem quod ἄρχεσθαι significat. Alibi idem est quod ὑπάρχειν, id est, *lacessere*, item *principium et originem esse*, et *priores partes occupare*, etiam in bonam partem. Item, *præesse*, et *imperium habere*, unde ἄρχων privato nomine peculiarique dicebatur ὁ ἡγεμὼν καὶ πρύτανις Ἀθήνησιν ἐπώνυμος τῶν ἀρχόντων, a cujus nomine fasti perscribebantur, ut a Consulum Romæ. Is ἄρχων ita præerat judicibus, judiciorumque moderator erat, ut Romæ Prætor. Demosthenes κατὰ Ὀλυμπιοδ. καὶ μετὰ ταῦθ᾽ ὁ ἄρχων ἀνέκρινε πᾶσιν ἡμῖν τοῖς ἀμφισβητοῦσι. Et sententias judicum numerabat, ut patet ex Isæo περὶ τοῦ δικαιογένους κλήρου, &c. *Ex edit.* Hervag.

Ἄρχειν δὲ μηδενὸς] F. ὑπάρχειν, ἢ ἄρχεσθαι. Sed et ἄρχειν χειρῶν ἀδίκων, est apud

λόγου μήτ᾽ ἔργου ἀδίκου, τὰ δ᾽ ἔργα [1] ὑμῶν ὅπως ἄξια τῶν προγόνων ἔσται [2] σκοπεῖν, μὴ τοὺς ἐπὶ τοῦ βήματος λόγους. κἂν ταῦτα ποιῆτε, καὶ ὑμῖν αὐτοῖς καὶ τοῖς τἀναντία πείθουσι συμφέροντα πράξετε· οὐ γὰρ [3] ὀργιεῖσθε αὐτοῖς ὕστερον, [4] νῦν ἁμαρτόντες.

[1] ἡμῶν [2] σκοπῶμεν [3] ὀργισθήσεσθε [4] νῦν * οὐχ ἁμ.

Isocratem et Demosthenem. Wolf.

Οὐ γὰρ ὀργισθήσεσθε αὐτοῖς ὕστερον, νῦν ἁμαρτόντες] Ὑποθετικῶς, εἰ νῦν ἁμάρτοιτε, πεισθέντες αὐτοῖς. Idem.

ΛΙΒΑΝΙΟΥ ΥΠΟΘΕΣΙΣ ΤΟΥ ΠΕΡΙ ΤΗΣ ΤΩΝ ΡΟΔΙΩΝ ΕΛΕΥΘΕΡΙΑΣ ΛΟΓΟΥ.

Pag. ed. aliq. cit. — Pag. ed. Reisk.

217 ΤΟΝ συμμαχικὸν κληθέντα πόλεμον ἤραντο πρὸς Ἀθηναίους Χῖοι καὶ Ῥόδιοι καὶ Βυζάντιοι, πρότερον μὲν αὐτῶν ὑπήκοοι γεγονότες, τότε δὲ ἀλλήλοις συμμαχίαν πεποιημένοι κατὰ τῶν Ἀθηναίων. γείτονες δὲ ὄντες οἱ Ῥόδιοι τῇ Καρίᾳ πρὸς τὸν ταύτης ὕπαρχον Μαύσωλον οἰκείως ἔχειν ἐδόκουν. ὁ δὲ κατ' ὀλίγον πιστευόμενος ὑπ' αὐτῶν ἐπιβουλὴν κατὰ τοῦ δήμου συνεστήσατο, καὶ τὴν δημοκρατίαν τῶν Ῥοδίων ἀφελόμενος ὀλίγοις τοῖς δυνατωτέροις τὴν πόλιν κατεδούλωσε. συμβουλεύει τοίνυν ὁ Δημοσθένης μὴ περιορᾶν ταῦτα, ἀλλὰ βοηθεῖν τῷ δήμῳ τῶν Ῥοδίων, συμφέρειν τοῖς Ἀθηναίοις τὸ δημοκρατεῖσθαι λέγων τὰς πόλεις. εἰ δὲ ἠδικήκασιν ἡμᾶς Ῥόδιοι, φησὶν, ἀλλὰ πρέπον ἐστὶν ἡμῖν καὶ σύνηθες τὸ καὶ τοὺς λυπήσαντάς τι τῶν Ἑλλήνων ἐλευθεροῦν καὶ μὴ μνησικακεῖν ἁμαρτάνουσιν εἰς τὴν πόλιν. 190

Πόλεμον πρὸς Ἀθηναίους] Lege cum Fel. πόλεμον ἤραντο πρός. Nam omnino hujus generis aliquod verbum deest. WOLF.

ΔΗΜΟΣΘΕΝΟΥΣ

Ο

ΠΕΡΙ ΤΗΣ ΤΩΝ ΡΟΔΙΩΝ ΕΛΕΥΘΕΡΙΑΣ

ΛΟΓΟΣ.

ά. [1]ΟΙΜΑΙ δεῖν ὑμᾶς, ὦ ἄνδρες Ἀθηναῖοι, περὶ τηλικούτων βουλευομένους διδόναι παρρησίαν ἑκάστῳ τῶν συμβουλευόντων. ἐγὼ δ' οὐδεπώποτε ἡγησάμην χαλεπὸν τὸ διδάξαι τὰ βέλτιστα ὑμᾶς — ὡς γὰρ εἰπεῖν [2]ἁπλῶς,
218 ἅπαντες ἐγνωκότες ὑπάρχειν μοι δοκεῖτε —, ἀλλὰ τὸ 191
πράττειν [3]πεῖσαι ταῦτα· ἐπειδὰν γάρ τι δόξῃ καὶ ψηφι-

[1] οἶομαι * μὲν δεῖν [2] ἁπλῶς εἰπεῖν [3] πεῖσαι πράττειν

ά. Ὡς γὰρ εἰπεῖν ἁπλῶς] Alias ὡς ἔπος εἰπεῖν, eodem sensu. WOLF.

Ἅπαντες ἐγνωκότες ὑπάρχειν μοι δοκεῖτε] Ὑπάρχω præter id quod *licere*, *contingere*, *evenire*, etc. significat, jungitur etiam cum aliis verbis, ut τυγχάνω et εἰμὶ, quemadmodum etiam hoc loco videre est. Græci enim, præsertim Attici, sunt φιλομέτοχοι, sæpius tamen τῷ εἶναι καὶ τῷ τυγχάνειν utuntur cum participio, quam τῷ ὑπάρχειν. *Ex edit.* HERVAG.

Ἀλλὰ τὸ πράττειν πεῖσαι ταῦτα] Supple: ἡγησάμην χαλεπόν. *D'Orville ad Char. Aphrod.* l. iii. c. iii. p. 257.

σθῇ, τότε τοσοῦτον τοῦ πραχθῆναι ἀπέχει, ὅσονπερ πρὶν δόξαι.

βʹ. Ἔστι μὲν οὖν ἓν ὧν ἐγὼ [1] νομίζω χάριν ὑμᾶς τοῖς θεοῖς [2] ὀφείλειν, τὸ, τοὺς διὰ τὴν αὑτῶν ὕβριν ὑμῖν πολεμήσαντας οὐ πάλαι, νῦν ἐν ὑμῖν μόνοις τῆς αὑτῶν σωτηρίας ἔχειν τὰς ἐλπίδας. ἄξιον δ' ἡσθῆναι τῷ παρόντι καιρῷ· συμβήσεται γὰρ ὑμῖν, ἐὰν ἃ χρὴ βουλεύσησθε [3] περὶ αὐτοῦ, τὰς παρὰ τῶν διαβαλλόντων τὴν πόλιν ἡμῶν βλασφημίας ἔργῳ μετὰ δόξης καλῆς ἀπολύσασθαι. ᾐτιάσαντο μὲν γὰρ ἡμᾶς ἐπιβουλεύειν αὐτοῖς Χῖοι καὶ Βυζάντιοι καὶ Ῥόδιοι, καὶ διὰ ταῦτα συνέστησαν ἐφ' ἡμᾶς τὸν τελευταῖον τουτονὶ πόλεμον· φανήσεται δ' ὁ μὲν πρυτανεύσας ταῦτα καὶ πείσας Μαύσωλος, φίλος εἶναι φάσκων Ῥοδίων, τὴν ἐλευθερίαν αὐτῶν ἀφῃρημένος, οἱ δ' ἀποδείξαντες αὑτοὺς συμμάχους Χῖοι καὶ Βυζάντιοι τοῖς ἀτυχήμασιν αὐτῶν οὐ βεβοηθηκότες, ὑμεῖς δὲ οὓς ἐφοβοῦντο μόνοι τῶν πάντων τῆς σωτηρίας αὐτοῖς αἴτιοι. ἐκ δὲ τοῦ ταῦθ' ὑπὸ πάντων ὀφθῆναι ποιήσετε τοὺς πολλοὺς ἐν ἁπάσαις ταῖς πόλεσι τοῦτο ποιεῖσθαι σύμβολον τῆς αὑτῶν σωτηρίας, ἐὰν ὑμῖν ὦσι φίλοι· οὗ μεῖζον οὐδὲν ἂν ὑμῖν γένοιτο ἀγαθὸν ἢ παρὰ πάντων ἑκόντων ἀνυπόπτου τυχεῖν εὐνοίας.

γʹ. Θαυμάζω δ' ὅτι τοὺς αὐτοὺς ὁρῶ ὑπὲρ μὲν Αἰγυ- 219
πτίων τἀναντία πράττειν βασιλεῖ τὴν πόλιν πείθοντας,

[1] νομίζω δεῖν χάριν [2] ὀφείλειν, ὁρῶντας, τοὺς [3] ὑπὲρ

βʹ. Βλασφημίας] *Convicia, maledicta.* Nam quod Suidas βλάσφημος ὁ εἰς θεὸν ἐξυβρίζων, id est, *blasphemum esse, qui probra in Deum congerat*, exponit, id non Demosthenicum, sed theologicum est. Fortasse fit ἀπὸ τοῦ βλάσκειν, quod Hesychio est λέγειν, καπνίζειν, ut sit, βλάσφημος ὁ βλάσκων τὴν φήμην, *qui famam alterius incessit, infuscat et denigrat:* aut quasi βλάπτων τὴν φήμην, *qui famæ nocet.* WOLF.

Φανήσεται δὲ ὁ μὲν πρυτανεύσας ταῦτα] Id est, *qui harum rerum transactor et summus administer fuit.* Sic supra in tertia Philippica, χορηγὸν ἔχοντες Φίλιππον, καὶ πρυτανευόμενοι παρ' ἐκείνου. Translatio ab iis qui publice in Prytaneo alebantur. Aristoph. Ἀχαρν. μὰ τὸν Ἀπόλλω ἐγὼ μὲν οὐ σιγήσω, εἰ μὴ περὶ εἰρήνης πρυτανεύητε, id est, *consultetis, consilia agitetis, et de pace agatis*, χρηματίζητε, πράττητε. ideo dictum, ὅτι πάντα διὰ τῶν πρυτανέων διεπράττοντο. *Ex edit.* HERVAG.

Τοῖς ἀτυχήμασιν αὐτῶν] Hoc malo, quam τοῖς ἀτυχήσασιν, etsi oligarchici felices videbantur. Sed fit hic mentio τοῦ δήμου τῶν Ῥοδίων. WOLF.

Τῆς σωτηρίας αὐτοῖς αἴτιοι γεγενημένοι] Hoc participium et sententia, et compositio, et priora duo, ἀφῃρημένος, βεβοηθηκότες, requirunt: ne tertium membrum sit mutilum et κακόφωνον. IDEM.

Τοὺς πολλοὺς ἐν ἁπάσαις] Id est, τοὺς δήμους, τοὺς δημοκρατουμένους, multitudinem liberam. IDEM.

Ἀνυπόπτου τυχεῖν εὐνοίας] S. τοῦ ἐπιβουλεύειν αὐτοῖς ἡμᾶς, ut nobis et bene cupiant, et nos suæ libertati insidiari minime suspicentur, omnique tyrannidis suspicione liberent. IDEM.

γʹ. Θαυμάζω δὲ] Perstringit oratores, ut qui sibi parum constent. IDEM.

ὑπὲρ δὲ τοῦ Ῥοδίων δήμου φοβουμένους τὸν αὐτὸν ἄνδρα
τοῦτον. καίτοι τοὺς μὲν Ἕλληνας ὄντας ἅπαντες ἴσασι,
τοὺς δ' ἐν τῇ ἀρχῇ τῇ ἐκείνου μεμερισμένους. 192

δ'. [1]Οἶμαι δ' ὑμῶν μνημονεύειν ἐνίους ὅτι, ἡνίκ' ἐβου-
λεύεσθε περὶ τῶν βασιλικῶν, παρελθὼν ἐγὼ πρῶτος παρ-
ήνεσα· οἶμαι δὲ καὶ μόνος ἢ δεύτερος εἰπεῖν, ὅτι μοι σωφρο-
νεῖν ἂν δοκοῖτε, εἰ [2]τὴν πρόφασιν τῆς παρασκευῆς μὴ τὴν
πρὸς ἐκεῖνον ἔχθραν ποιοῖσθε, ἀλλὰ παρασκευάζοισθε μὲν
πρὸς τοὺς ὑπάρχοντας ἐχθροὺς, ἀμύνοισθε δὲ κἀκεῖνον, ἐὰν
ὑμᾶς ἀδικεῖν ἐπιχειρῇ. καὶ οὐκ ἐγὼ μὲν ταῦτα εἶπον, ὑμῖν
δ' οὐκ ἐδόκουν ὀρθῶς λέγειν, ἀλλὰ καὶ ὑμῖν ἤρεσκε ταῦτα.
ἀκόλουθος τοίνυν ὁ νῦν λόγος ἐστί μοι τῷ τότε ῥηθέντι. ἐγὼ
γὰρ, εἰ βασιλεὺς παρ' αὑτὸν ὄντα με σύμβουλον ποιοῖτο,
ταῦτ' ἂν αὐτῷ παραινέσαιμι ἅπερ ὑμῖν, ὑπὲρ μὲν τῶν
ἑαυτοῦ πολεμεῖν, ἐάν τις ἐναντιῶται τῶν Ἑλλήνων, ὧν δὲ
μηδὲν αὐτῷ προσήκει, τούτων μηδ' ἀντιποιεῖσθαι τὴν ἀρ-
χήν. εἰ μὲν οὖν ὅλως ἐγνώκατε, ὦ ἄνδρες Ἀθηναῖοι, ὅσων
ἂν βασιλεὺς ἐγκρατὴς γένηται φθάσας [3]ἢ παρακρουσά-
μενός τινας τῶν ἐν ταῖς πόλεσι, παραχωρεῖν, οὐ καλῶς
ἐγνώκατε, ὡς ἐγὼ κρίνω· εἰ δ' ὑπέρ γε τῶν δικαίων καὶ
πολεμεῖν, ἂν τούτου δέῃ, καὶ πάσχειν [4]ὁτιοῦν οἴεσθε χρῆ-
220 ναι, πρῶτον μὲν ὑμῖν ἧττον δεήσει τούτων, ὅσῳ ἂν [5]μᾶλλον
ἐγνωκότες ἦτε ταῦτα, ἔπειθ' ἃ προσήκει φρονεῖν δόξετε.

[1] οἴομαι [2] [τὴν] [3] ἢ καὶ παρακρ. [4] ὁτιοῦν ἂν οἴεσθε [5] μᾶλλον ἂν

δ'. Εἰ τὴν πρόφασιν τῆς παρασκευῆς] Confer huc locum præcedentis orationis: Quod si alia copiarum esset ratio, qua ulcisci liceret Barbarum, alia, qua Græcos, fortasse palam fieret, nos adversus eum instrui, etc. Nam ibi vult instructionem ita fieri, ut de oppugnando Persa, fœdere intercedente, cogitare nihil videantur. Idem.

Πρὸς τοὺς ὑπάρχοντας ἐχθροὺς] Ὑπάρχοντες ἐχθροὶ et ὁμολογοῦντες ἐχθροὶ, sunt *haud dubii hostes*: quorum odia non provocanda, sed vindicanda sunt. Idem.

Καὶ οὐκ ἐγὼ μὲν ταῦτ' εἶπον] Id est: *Non ego modo hæc dixi: sed vobis et placuit, et probata mea fuit oratio.* Vel, *quemadmodum hæc ego dixi: sic vos probastis.* Idem.

Ἀκόλουθος τοίνυν] Ἀκόλουθος substantivum, *puerum pedissequum* significat: θεράπων, *servus, qui domini corpus tuetur.* ἀκόλουθος adjectivum, ὅμοιον, *similem, consentaneum.* ἀκολουθῆσαι, ὁμοίως διαπράξασθαι, *rem eodem modo gerere*: ἕπεσθαι, *sequi*: ἐνέχεσθαι, *in aliqua re contineri et inesse.* ἀκόλουθον ἀπέβη τὸ τέλος ταῖς προτέραις ἐνεργείαις, *consentaneus fuit exitus prioribus actionibus*, et Polybius: βουλόμενος ἀκόλουθον εἶναι τοῖς ἔργοις τὴν διὰ τῶν λόγων ἐπαγγελίαν, *ut res ipsæ verborum pollicitationi responderent.* Ex Hesychio et Suida. ἀνακόλουθον, τὸ μαχόμενον, *dissentaneum.* Idem.

Τούτων μηδ' ἀντιποιεῖσθαι τὴν ἀρχὴν] His verbis probare vult, non consentaneum esse, regem Persarum Rhodiorum magistratuum defensionem suscepturum. Idem.

Τινὰς τῶν ἐν ταῖς πόλεσι] *Quarundam civitatum magistratus.* Idem.

Δεήσει τούτου] Scilicet τοῦ πολεμεῖν. Idem.

Ἐγνωκότες ἦτε ταῦτα] *Statueritis hæc*, scilicet, ὅτι ὑπὲρ τῶν δικαίων πολεμεῖν χρὴ, jus bello tuendum. Idem.

έ. Ὅτι δ᾽ οὐδὲν καινὸν οὔτ᾽ ἐγὼ λέγω νῦν κελεύων Ῥο-
δίους ἐλευθεροῦν, οὔθ᾽ ὑμεῖς, ἂν πεισθῆτέ μοι, ποιήσετε,
τῶν γεγενημένων ὑμᾶς τι [1] καὶ συνενηνοχότων ὑπομνήσω.
ὑμεῖς ἐξεπέμψατε Τιμόθεόν ποτε, ὦ ἄνδρες Ἀθηναῖοι, βοη-
193 θήσοντα Ἀριοβαρζάνῃ, προσγράψαντες τῷ ψηφίσματι μὴ
λύοντα τὰς σπονδὰς τὰς πρὸς βασιλέα. ἰδὼν δ᾽
ἐκεῖνος τὸν μὲν Ἀριοβαρζάνην φανερῶς ἀφεστῶτα τοῦ βα-
σιλέως, Σάμον δὲ φρουρουμένην ὑπὸ Κυπροθέμιδος, ὃν κατέ-
στησε Τιγράνης ὁ βασιλέως ὕπαρχος, τῷ μὲν ἀπέγνω μὴ
βοηθεῖν, τὴν δὲ προσκαθεζόμενος καὶ βοηθήσας ἠλευθέρωσε·
καὶ μέχρι τῆς τήμερον ἡμέρας οὐ γέγονε πόλεμος διὰ ταῦθ᾽
ὑμῖν. οὐ γὰρ ὁμοίως οὐδεὶς ὑπέρ τε τοῦ πλεονεκτεῖν πολε-
μήσειεν ἂν καὶ [ὑπὲρ] τῶν ἑαυτοῦ· ἀλλ᾽ ὑπὲρ μὲν ὧν ἐλατ-
τοῦνται μέχρι τοῦ δυνατοῦ πάντες πολεμοῦσιν, ὑπὲρ δὲ
τοῦ πλεονεκτεῖν οὐχ οὕτως, ἀλλ᾽ ἐφίενται μέν, ἐάν τις ἐᾷ,
ἐὰν δὲ κωλυθῶσιν, οὐδὲν ἠδικηκέναι τοὺς ἐναντιωθέντας αὐ-
τοῖς ἡγοῦνται.

ϛ΄. Ὅτι δ᾽ οὐδ᾽ ἂν ἐναντιωθῆναί μοι δοκεῖ τῇ πράξει
ταύτῃ νῦν Ἀρτεμισία, τῆς πόλεως οὔσης ἐπὶ τῶν πραγμά-
των, μικρὰ ἀκούσαντες σκοπεῖτε, εἴτ᾽ ὀρθῶς ἐγὼ λογίζομαι
ταῦτ᾽ εἴτε καὶ μή. ἐγὼ νομίζω, πράττοντος μὲν ἐν Αἰγύπτῳ
πάνθ᾽ ὡς ὥρμηκε βασιλέως, σφόδρα ἂν Ἀρτεμισίαν πειρα- 221
θῆναι περιποιῆσαι Ῥόδον αὐτῷ, οὐ τῇ βασιλέως εὐνοίᾳ,

[1] καὶ [τῶν] συνεν.

έ. Τῶν συνενηνοχότων] Συμφέρειν alias *conferre*, id est, *prodesse*, quod ea ferat, quibus juvemur. *συμφορὰ casum* significat, sæpius adversum, nonnunquam tamen *eventum* simpliciter, sicut et τύχη. Possis igitur hic τὰ συνενηνοχότα, ἀντὶ τῶν συμβάντων, *pro his quæ evenerunt*, interpretari. Melius tamen est, ut ἀντὶ τῶν ὠφεληκότων, *pro his quæ profuerunt*, accipias. Idem.

Τῷ μὲν ἀπέγνω μὴ βοηθεῖν] Est Græca negationis geminatio, vehementius negans: Minime committendum censuit, ut Ariobarzanem adjuvaret. Hujus et in Aristocratea fit mentio, quem Ulpianus Persicum satrapam fuisse scribit. Alius est ille Ἀριοβαρζάνης ὁ εὐσεβὴς καὶ φιλορώμαιος βασιλεὺς τῶν Καππαδοκῶν, a Cicerone defensus. Idem.

Καὶ μέχρι τῆς τήμερον ἡμέρας οὐ γέγονε πόλεμος] Id est, *ad hodiernum usque diem.* Sic Cicero Philip. 4. *hodierno die* dixit pro *hodie*, quemadmodum Græci τὴν τήμερον ἡμέραν, ἀντὶ τοῦ σήμερον καὶ τήμερον. Dinarch. καὶ ἡ τήμερον ἡμέρα, καὶ ἡ ἡμετέρα ψῆφος πολλὴν ἀσφάλειαν τῇ πόλει καταστήσει. *Ex edit.* Hervag.

Ὑπέρ τε τοῦ πλεονεκτεῖν] *Pro amplificando imperio.* Wolf.

Ὑπὲρ τῶν ἑαυτῶν] Lege: ἑαυτοῦ. Idem.

ϛ΄. Ὅτι δ᾽ οὐδ᾽ ἐναντιωθῆναι] Pro ἐναντιωθήσεσθαι. sic paulo post, σφόδρα ἂν πειραθῆναι, ἀντὶ τοῦ πειράσεσθαι. Idem.

Ἐπὶ τῶν πραγμάτων εἶναι] *In rebus esse*, id est, ἀντιλαβέσθαι τῶν πραγμάτων, *rerum curam suscepisse.* Idem.

Πράττοντος ὅσα] Ὑποθετικῶς accipiendum: Si regi, quæ molitur, ex animi sententia succederent. Sequitur adversativa, πράττοντος δ᾽ ὡς λέγεται, cum vero ita, uti fertur, cum eo agatur, ejusque conatus sint irriti. Vide Panegyricum Isocratis. Idem.

ἀλλὰ τῷ βούλεσθαι, πλησίον αὐτῆς διατρίβοντος ἐκείνου,
μεγάλην εὐεργεσίαν καταθέσθαι πρὸς αὐτὸν, ἵν' ὡς οἰκει-
ότατ' αὐτὴν ἀποδέχοιτο· πράττοντος δ' ὡς λέγεται καὶ
διημαρτηκότος οἷς ἐπεχείρησεν, ἡγεῖσθαι τὴν νῆσον ταύτην,
ὅπερ ἐστὶν, ἄλλο μὲν οὐδὲν ἂν εἶναι βασιλεῖ χρησίμην ἐν
τῷ παρόντι, τῆς δ' αὑτῆς ἀρχῆς ἐπιτείχισμα πρὸς τὸ μηδ'
ὁτιοῦν παρακινεῖν. ὥστε μοι δοκεῖ μᾶλλον ἂν ὑμᾶς ἔχειν, μὴ
φανερῶς αὐτῆς ἐνδούσης, ἢ ἐκεῖνον λαβεῖν βούλεσθαι. [1]οἶμαι 194
μὲν οὖν οὐδὲ βοηθήσειν αὐτὴν, ἂν δ' ἄρα τοῦτο ποιῇ, φαύλως
καὶ κακῶς· ἐπεὶ καὶ βασιλέα γ' ὅ τι [2]μὲν ποιήσει, μὰ Δί'
οὐκ ἂν εἴποιμι ἔγωγ' ὡς οἶδα, ὅτι μέντοι συμφέρει τῇ πόλει
δῆλον ἤδη γενέσθαι πότερα ἀντιποιήσεται τῆς πόλεως τῆς
Ῥοδίων ἢ οὔ, ταῦτ' ἂν ἰσχυρισαίμην· οὐ γὰρ ὑπὲρ Ῥοδίων
βουλευτέον [3]ἂν ἀντιποιῆται μόνον, ἀλλ' ὑπὲρ ὑμῶν αὐτῶν
καὶ πάντων τῶν Ἑλλήνων.

ζ'. Οὐ μὴν οὐδ' ἂν εἰ δι' αὑτῶν εἶχον τὴν πόλιν οἱ νῦν ὄντες ἐν αὐτῇ Ῥόδιοι, παρῄνεσα ἂν ὑμῖν τούτους ἑλέσθαι, οὐδ' εἰ πάνθ' ὑπισχνοῦντο [4]ὑμῖν ποιήσειν. ὁρῶ γὰρ αὐτοὺς τὸ μὲν πρῶτον, ὅπως καταλύσωσι τὸν δῆμον, προσλαβόντας τινὰς τῶν πολιτῶν, ἐπειδὴ δὲ τοῦτ' ἔπραξαν, πάλιν ἐκβαλόντας τούτους· τοὺς οὖν μηδετέροις πιστῶς κεχρημένους οὐδ' ἂν ὑμῖν βεβαίους ἡγοῦμαι γενέσθαι συμμάχους. καὶ ταῦτ' οὐδέποτ' εἶπον ἂν, εἰ τῷ Ῥοδίων δήμῳ μόνον ἡγούμην συμφέρειν· οὔτε γὰρ προξενῶ τῶν ἀνδρῶν, οὔτ' ἰδίᾳ ξένος αὐτῶν οὐδείς ἐστί μοι. οὐ μὴν οὐδ' εἰ ταῦτ' ἀμφότερ' ἦν, εἰ μὴ συμφέρειν ὑμῖν ἡγούμην, εἶπον ἄν· ἐπεὶ Ῥοδίοις γ' — εἰ οἷόν τε τοῦτ' εἰπεῖν τῷ συναγορεύοντι τῇ σωτηρίᾳ αὐτῶν—

[1] οἴομαι [2] μέν [ποτε] ποιήσει [3] ἄν * γ' ἀντιποιῆται [4] ἡμῖν

ζ'. Πρόξενος] Ξένος, παρὰ τὸ ἔξω εἶναι τῆς πατρίδος, *quod extra patriam sit*, dicitur Latine *hospes*, tam is, qui excipit, quam qui excipitur, *peregrinus*. πρόξενος, *qui alicui rei cujuspiam, seu bonæ, seu malæ, est auctor*. πρόξενοι item dicebantur, qui publice in hoc constituti erant, ut exterarum civitatum legatos exciperent. Sed usitatissima et huic loco apta significatio vocabuli hæc est, ut is intelligatur, qui exteræ civitati est amicus, ejusque negotia curat: et sic accipiendum esse declarat id, quod sequitur, οὔτε ἰδίᾳ ξένος, quem alioqui composito vocabulo nominant ἰδιόξενον, cum quo propter privatas rationes amicitia, vel hospitium intercedit. δορύξενος, ὁ ἐκ τῆς κατὰ τὸν πόλεμον ἐπιμιξίας τὴν γνῶσιν πεποιημένος, *ein Spiessgesell [a comrade]*. Idem. Legendum puto: οὔτε γὰρ πρόξενός εἰμι τῶν ἀνδρῶν, οὔτε ἰδιόξενος αὐτῶν &c. quem locum non obscure imitatur Lucianus init. Phalar. II. t. i. p. 741. οὔτε Ἀκριγαντίνων πρόξενος ὢν, οὔτε ἰδιόξενος αὐτοῦ Φαλάριδος, quæ in Scholiis leguntur non sunt unius assis. *Valckenaer. Anim. ad Ammon.* l. iii. c. 10. fin.

συγχαίρω τῶν γεγενημένων, ὅτι τοῦ κομίσασθαι τὰ ὑμέ- 222
τερ᾽ ὑμῖν φθονήσαντες τὴν αὑτῶν ἐλευθερίαν ἀπολωλέκασι,
καὶ παρὸν αὐτοῖς Ἕλλησί τε καὶ βελτίοσιν αὑτῶν [1] ὑμῖν ἐξ
ἴσου συμμαχεῖν, βαρβάροις καὶ δούλοις, οὓς εἰς τὰς ἀκρο-
πόλεις παρεῖνται, δουλεύουσιν. ὀλίγου δὲ δέω λέγειν, ἂν
ὑμεῖς αὐτοῖς ἐθελήσητε βοηθῆσαι, ὡς καὶ συνενήνοχε ταῦτ᾽
195 αὐτοῖς· εὖ μὲν γὰρ πράττοντες οὐκ οἶδ᾽ εἴποτ᾽ ἂν εὖ φρονῆ-
σαι ἠθέλησαν, ὄντες Ῥόδιοι· ἔργῳ δὲ πειραθέντες καὶ διδα-
χθέντες ὅτι πολλῶν κακῶν ἡ ἄνοια πολλοῖς αἰτία γίγνεται,
τάχ᾽ ἂν εἰ τύχοιεν σωφρονέστεροι πρὸς τὸν λοιπὸν τοῦ χρό-
νου γένοιντο. τοῦτο δ᾽ οὐ μικρὸν αὐτοῖς ὠφέλημα ἡγοῦμαι.
φημὶ δὴ χρῆναι πειρᾶσθαι σώζειν τοὺς ἄνδρας καὶ μὴ μνη-
σικακεῖν, ἐνθυμουμένους ὅτι πολλὰ καὶ ὑμεῖς ὑπὸ τῶν ἐπι-
βουλευσάντων ἐξηπάτησθε, ὧν οὐδενὸς αὐτοὶ δοῦναι [2] δίκην
δίκαιον ἂν εἶναι φήσαιτε.

η΄. Ὁρᾶτε δὲ κἀκεῖνο, ὦ ἄνδρες Ἀθηναῖοι, ὅτι πολλοὺς ὑμεῖς πολέμους [3] πεπολεμήκατε καὶ πρὸς δημοκρατίας καὶ πρὸς ὀλιγαρχίας. καὶ τοῦτο μὲν ἴστε καὶ αὐτοί· ἀλλ᾽ ὑπὲρ ὧν πρὸς ἑκατέρους ἔσθ᾽ ὑμῖν ὁ πόλεμος, τοῦτ᾽ ἴσως ὑμῶν οὐδεὶς λογίζεται. ὑπὲρ τίνων οὖν ἐστί; πρὸς μὲν τοὺς δήμους ἢ περὶ τῶν ἰδίων ἐγκλημάτων, οὐ δυνηθέντων δη-

[1] ὑμῖν αὐτῶν [2] δίκην δοῦναι * δίκαιοι [3] πεπολεμήκατε πολέμους

Τοῦ κομίσασθαι τὰ ὑμέτερα] S. qui pendere tributa detrectarunt, nostramque societatem repudiarunt: vel, qui nostras opes nobis restituere noluerunt. Isocrates in oratione de pace: ὅτι τὰς ἐν ταῖς πόλεσι κτήσεις κομιούμεθα. Wolf.

Βελτίοσιν ὑμῖν αὐτῶν] *Vobis, qui dignitate illos antecellitis.* Idem.

Οὓς εἰς τὰς ἀκροπόλεις παρεῖνται] Passiva voce usus est verbo παρεῖνται, id est, παρῆκαν, παρείκασι, *admiserunt*. Sunt enim non pauca ejus generis, quæ vel Atticorum more dicuntur, vel auctoritate constant, ut κολάζομαι ἀντὶ τοῦ κολάζω, ἐγκαλεῖσθαι pro ἐγκαλεῖν, παρεῖμαι ἀντὶ τοῦ πάρεικα ut hoc loco, συνίσταμαι ἀντὶ τοῦ συνίστημι, ἀνίεσθαι ἀντὶ τοῦ ἀνεῖναι. Atque his plura, quæ collegit Bud. in Comment. *Ex edit.* Hervag.

Παρεῖνται] Pro παρείκασιν, *admiserunt, receperunt*, a παρίημι, παρεῖμαι, παρεῖσαι, παρεῖται, παρεῖνται. Wolf.

Ὄντες Ῥόδιοι] Id est, homines pertinaces et superbi. Homerus Ῥοδίους ἀγερώχους cognominat. et Livius Decad. v. lib. 5. 'Tradidere quidam, legatos Rhodios nondum missos, post victoriam nunciatam, velut ad ludibrium stolidæ superbiæ, in Senatum vocatos esse.' Isocrates Plataico: ἀλλὰ τολμῶσιν ὄντες Θηβαῖοι λακωνισμὸν ἑτέροις ὀνειδίζειν· et noster auctor paulo post Ἀθηναῖοι ὄντες. Idem.

Τάχ᾽ ἂν εἰ τύχοιεν] *Fortasse, si ita ceciderit, si fors ita tulerit.* εἰ τύχοιμι, τύχοις, τύχοι, τύχοιτον, τυχοίτην, τύχοιμεν, τύχοιτε, τύχοιεν, per omnes personas et numeros, adverbialiter accipitur, pro *fortasse*: ut τελευτῶν participium. τάχα, *fortasse*, εἰ τύχοιεν, *si fors Rhodiorum ita tulerit*. Est fere pleonasmus. Sic in 2. (1.) Olynthiaca. καὶ σφόδρα γε ἤνθησεν ἐπὶ ταῖς ἐλπίσιν, ἂν τύχῃ, id est, *fieri potest, ut res bona spe floreant.* ἂν τύχῃ τὰ πράγματα, *si fors negotiorum ita tulerit*, id est, *fortasse*, vel, *fieri potest*, ut, ἐνδέχεται. Idem.

η΄. Οὐ δυνηθέντων δημοσίᾳ διαλύσασθαι ταῦτα] S. τῶν δήμων, etsi fortasse rectius, οὐ βουληθέντων. *cum non possent aut vellent* (S.

223 μοσίᾳ διαλύσασθαι ταῦτα, ἢ περὶ γῆς μέρους ἢ ὅρων ἢ [1]φιλονεικίας ἢ τῆς ἡγεμονίας· πρὸς δὲ τὰς ὀλιγαρχίας ὑπὲρ μὲν τούτων οὐδενός, ὑπὲρ δὲ τῆς πολιτείας καὶ τῆς ἐλευθερίας· ὥστ' ἔγωγ' οὐκ ἂν ὀκνήσαιμι εἰπεῖν μᾶλλον ἡγεῖσθαι συμφέρειν δημοκρατουμένους τοὺς Ἕλληνας ἅπαντας πολεμεῖν ἡμῖν ἢ ὀλιγαρχουμένους φίλους εἶναι. πρὸς μὲν γὰρ ἐλευθέρους ὄντας οὐ χαλεπῶς ἂν ὑμᾶς εἰρήνην ποιήσασθαι νομίζω, ὁπότε βουληθείητε, πρὸς δὲ ὀλιγαρχουμένους οὐδὲ τὴν φιλίαν ἀσφαλῆ νομίζω· οὐ γὰρ ἔσθ' ὅπως ὀλίγοι πολλοῖς καὶ ζητοῦντες ἄρχειν τοῖς μετ' ἰσηγορίας ζῆν ᾑρημένοις εὖνοι γένοιντ' ἄν.

θ'. Θαυμάζω δ', εἰ μηδεὶς ὑμῶν ἡγεῖται, Χίων ὀλιγαρ- 196
χουμένων καὶ Μιτυληναίων, καὶ νυνὶ Ῥοδίων καὶ πάντων ἀνθρώπων ὀλίγου δέω λέγειν εἰς ταύτην τὴν δουλείαν ὑπαγομένων, συγκινδυνεύειν τι τὴν παρ' ἡμῖν πολιτείαν, μηδὲ λογίζεται τοῦθ', ὅτι οὐκ ἔστιν ὅπως, εἰ δι' [2]ὀλιγαρχίας ἅπαντα συστήσεται, τὸν παρ' ὑμῖν δῆμον ἐάσουσιν. ἴσασι γὰρ οὐδένας ἄλλους πάλιν εἰς ἐλευθερίαν τὰ πράγματ' ἂν ἐπανάξοντας· ὅθεν δὴ κακὸν αὐτοῖς ἄν τι γενέσθαι προσδοκῶσι, τούτους ἀνελεῖν βουλήσονται. τοὺς μὲν οὖν ἄλλους τοὺς ἀδικοῦντάς τινας αὐτῶν τῶν κακῶς πεπονθότων ἐχθροὺς ἡγεῖσθαι χρή· τοὺς δὲ τὰς πολιτείας καταλύοντας καὶ μεθιστάντας εἰς ὀλιγαρχίαν κοινοὺς ἐχθροὺς παραινῶ νομίζειν πάντων τῶν ἐλευθερίας ἐπιθυμούντων. ἔπειτα καὶ δίκαιον, ὦ ἄνδρες Ἀθηναῖοι, δημοκρατουμένους αὐτοὺς τοιαῦτα φρονοῦντας φαίνεσθαι περὶ τῶν ἀτυχούντων δήμων, οἷάπερ ἂν τοὺς ἄλλους ἀξιώσαιτε φρονεῖν περὶ ὑμῶν, εἴ ποθ', ὃ μὴ γένοιτο, τοιοῦτό τι συμβαίη. καὶ γάρ, [3]εἰ δίκαιά τις ἂν φήσειε Ῥοδίους πεπονθέναι, οὐκ ἐπιτήδειος ὁ καιρὸς ἐφησθῆναι· δεῖ γὰρ τοὺς εὐτυχοῦντας περὶ τῶν ἀτυχούντων ἀεὶ φαίνεσθαι βουλευομένους τὰ βέλτιστα, ἐπειδήπερ ἄδηλον τὸ μέλλον ἅπασιν ἀνθρώποις.

224 ι'. Ἀκούω δ' ἔγωγε πολλάκις ἐνταυθὶ παρ' ὑμῖν τινῶν

[1] φιλοτιμίας [2] ὀλιγαρχιῶν [3] οὐδ' εἰ

οἱ δῆμοι) *ea publice diluere*, aut *pro iis satisfacere*. ἴδια ἐγκλήματα utrum ea vocat, quæ a privatis hominibus sunt commissa: an quæ ad solos Athenienses pertinuerunt? Idem.

θ'. Εἰ δι' ὀλιγαρχίας ἅπαντα συστήσεται] Id est, si paucorum dominatus passim invalescet. Idem.

λεγόντων ὡς, ὅτε ἠτύχησεν ὁ δῆμος ἡμῶν, συνεβουλεύθησάν τινες αὐτὸν σωθῆναι· ὧν ἐγὼ μόνων Ἀργείων ἐν τῷ παρόντι μνησθήσομαι βραχύ τι. οὐ γὰρ ἂν ὑμᾶς βουλοίμην, δόξαν ἔχοντας τοῦ σώζειν τοὺς [1] ἀτυχοῦντας ἀεὶ, χεί-
197 ρους Ἀργείων ἐν ταύτῃ τῇ πράξει φανῆναι, οἳ χώραν ὅμορον τῇ Λακεδαιμονίων οἰκοῦντες, ὁρῶντες ἐκείνους γῆς καὶ θαλάττης ἄρχοντας, οὐκ ἀπώκνησαν οὐδ' ἐφοβήθησαν εὐνοϊκῶς ὑμῖν ἔχοντες φανῆναι, ἀλλὰ καὶ πρέσβεις ἐλθόντας ἐκ Λακεδαίμονος, ὥς φασιν, ἐξαιτήσοντάς τινας τῶν φυγάδων τῶν ὑμετέρων ἐψηφίσαντο, ἐὰν μὴ πρὸ ἡλίου δύνοντος ἀπαλλάττωνται, πολεμίους κρίνειν. εἶτ' οὐκ αἰσχρὸν, ὦ ἄνδρες Ἀθηναῖοι, εἰ τὸ μὲν Ἀργείων πλῆθος οὐκ ἐφοβήθη τὴν Λακεδαιμονίων ἀρχὴν ἐν ἐκείνοις τοῖς καιροῖς οὐδὲ τὴν ῥώμην, ὑμεῖς δ' ὄντες Ἀθηναῖοι βάρβαρον ἄνθρωπον, καὶ ταῦτα γυναῖκα, φοβηθήσεσθε; καὶ μὴν οἱ μὲν ἔχοιεν ἂν εἰπεῖν ὅτι πολλάκις ἥττηνται ὑπὸ Λακεδαιμονίων, ὑμεῖς δὲ νενικήκατε μὲν πολλάκις βασιλέα, ἥττησθε δ' οὐδ' ἅπαξ οὔθ' ὑπὸ τῶν δούλων τῶν βασιλέως οὔθ' ὑπ' αὐτοῦ ἐκείνου· εἰ γάρ τί που καὶ κεκράτηκε τῆς πόλεως βασιλεὺς, ἢ τοὺς πονηροτάτους τῶν Ἑλλήνων καὶ προδότας αὐτῶν χρήμασι πείσας ἢ οὐδαμῶς ἄλλως κεκράτηκε. καὶ οὐδὲ τοῦτο αὐτῷ συνενήνοχεν· ἀλλ' ἅμα εὑρήσετε αὐτὸν τήν τε πόλιν διὰ Λακεδαιμονίων ἀσθενῆ ποιήσαντα καὶ περὶ τῆς αὑτοῦ βασιλείας κινδυνεύσαντα πρὸς Κλέαρχον καὶ Κῦρον. οὔτ' οὖν ἐκ τοῦ φανεροῦ κεκράτηκεν, οὔτ' ἐπιβουλεῦσαι συνενήνοχεν αὐτῷ.

ιά. Ὁρῶ δ' ὑμῶν ἐνίους Φιλίππου μὲν ὡς ἄρ' οὐδενὸς ἀξίου πολλάκις ὀλιγωροῦντας, βασιλέα δ' ὡς ἰσχυρὸν ἐχθρὸν οἷς ἂν προέληται φοβουμένους. εἰ δὲ τὸν μὲν ὡς

[1] ἀτυχήσαντας

ί. Οὔθ' ὑπὸ τῶν δούλων τῶν τοῦ βασιλέως, οὔθ' ὑπ' αὐτοῦ] *Neque a ministris regiis, neque ab ipso rege.* Idem.

Εἰ γάρ τοί που καὶ κεκράτηκε τῆς πόλεως] Hoc non ad excidium Athenarum bello Xerxis, sed ad alias clades bello Peloponnesiaco acceptas pertinet. Idem.

Τήν τε πόλιν Λακεδαιμονίων] Lego cum Feliciano διὰ Λακεδαιμονιων: ut intelligas τὴν πόλιν τὴν τῶν Ἀθηναίων. quam satis constat a Lacedæmoniis subactam, etsi eosdem et Conon, regis Persarum opibus, principatu evertit. Idem.

Πρὸς Κλέαρχον καὶ Κῦρον] Vide Ἀνάβασιν Xenophontis, et Isocratis Panegyricum et Symmachicum. Idem.

Οὔτ' ἐπιβουλεῦσαι συνενήνοχεν αὐτῷ] Potuisset et per participium dicere: οὔτ' ἐπιβουλεύσαντι συνενήνοχεν αὐτῷ. Idem.

ιά. Οἷς ἂν προέληται] S. ἐχθρὸς εἶναι, ἢ πολεμεῖν. Idem.

225 φαῦλον οὐκ ἀμυνούμεθα, τῷ δὲ ὡς φοβερῷ πάνθ' ὑπείξομεν, πρὸς τίνας, ὦ ἄνδρες Ἀθηναῖοι, παραταξόμεθα; 198

ιβ'. Εἰσὶ δέ τινες, ὦ ἄνδρες Ἀθηναῖοι, παρ' ὑμῖν δεινότατοι τὰ δίκαια λέγειν ὑπὲρ τῶν ἄλλων πρὸς ὑμᾶς, οἷς παραινέσαιμ' ἂν ἔγωγε τοσοῦτον μόνον, ὑπὲρ ὑμῶν πρὸς τοὺς ἄλλους ζητεῖν τὰ δίκαια λέγειν, ἵν' αὐτοὶ τὰ προσήκοντα πρῶτοι φαίνωνται ποιοῦντες· ὡς ἔστιν ἄτοπον περὶ τῶν δικαίων ὑμᾶς διδάσκειν αὐτὸν οὐ δίκαια ποιοῦντα· οὐ γάρ ἐστι δίκαιον ὄντα πολίτην τοὺς καθ' ὑμῶν λόγους, ἀλλὰ μὴ τοὺς ὑπὲρ ὑμῶν ἐσκέφθαι. φέρε γὰρ πρὸς θεῶν σκοπεῖτε, τί δήποτ' ἐν Βυζαντίῳ οὐδείς ἐσθ' ὁ διδάξων ἐκείνους μὴ καταλαμβάνειν Χαλκηδόνα, ἣ βασιλέως μέν ἐστιν, εἴχετε δ' ὑμεῖς αὐτήν, ἐκείνοις δ' οὐδαμόθεν προσήκει· μηδὲ Σηλυμβρίαν, πόλιν ὑμετέραν ποτὲ σύμμαχον οὖσαν, ὡς αὑτοὺς συντελῆ ποιεῖν καὶ Βυζάντιον ὁρίζειν τὴν τούτων χώραν παρὰ τοὺς ὅρκους καὶ τὰς συνθήκας, ἐν αἷς αὐτονόμους τὰς πόλεις εἶναι γέγραπται; οὐδὲ [1] Μαύσωλον ζῶντα, οὐδὲ τελευτήσαντος ἐκείνου τὴν Ἀρτεμισίαν οὐδείς ἐσθ' ὁ διδάξων μὴ καταλαμβάνειν Κῶν καὶ Ῥόδον καὶ ἄλλας πόλεις ἑτέρας Ἑλληνίδας, ὧν καὶ βασιλεὺς ὁ ἐκείνων δεσπότης ἐν ταῖς συνθήκαις ἀπέστη τοῖς Ἕλλησι, καὶ περὶ ὧν πολλοὺς κινδύνους καὶ καλοὺς ἀγῶνας οἱ κατ' ἐκείνους τοὺς χρόνους Ἕλληνες ἐποιήσαντο. εἰ δ' ἄρα καὶ λέγει τις ἀμφοτέροις αὐτοῖς, ἀλλ' οἵ γε πεισόμενοι τούτοις, ὡς ἔοικεν, οὐκ εἰσίν. ἐγὼ δὲ δίκαιον μὲν εἶναι νομίζω κατάγειν τὸν Ῥοδίων δῆμον· οὐ μὴν ἀλλὰ καὶ εἰ μὴ δίκαιον ἦν, ὅταν εἰς ἃ ποιοῦσιν οὗτοι

[1] Μαυσώλου ζῶντος

ιβ'. Τί δήποτε ἐν Βυζαντίῳ] Sententia est, impunitate proditorum confirmari audaciam. Idem.

Ἐκείνους] Nempe Βυζαντίους. Auger.

Ὡς αὑτοὺς συντελῆ ποιεῖν] Pro πρὸς, *sibi vendicare, obnoxiam facere*, συνεδρεύειν παρ' αὑτοῖς ἀναγκάζειν. Vide Plataicum Isocratis. Wolf.

Ὡς αὑτοὺς συντελῆ ποιεῖν] *Ad se ipsos attrahere vectigalem.* Auger.

Βυζάντιον ὁρίζειν] Significat, *Byzantii finibus addere.* Idem.

Αὐτονόμους] S. ἐκείνους, ὧν τὴν χώραν ὁρίζουσιν οἱ Βυζάντιοι. Wolf.

Οὐδὲ Μαυσώλου ζῶντος] Lego: οὐδὲ Μαύσωλον ζῶντα, *qui vel Mausolum viventem, vel, eo defuncto, Artemisiam docuerit.* Nisi forte γυναικοκρατούμενος fuerit. Sed et tum nomen saltem imperii penes ipsum fuit, ut nunc penes maritos, quamvis hi ipsi fere mulieribus pareant. Idem.

Ὁ ἐκείνων δεσπότης] Τοῦ τε Μαυσώλου καὶ τῆς Ἀρτεμισίας. Idem.

Ἀμφοτέροις αὐτοῖς] Tam Artemisiæ, quam Byzantiis. Fuit et alia Artemisia antiquior, de qua Xerxes navali prœlio sibi mulieres viros, viros e contrario mulieres esse factos, dixisse fertur. Idem.

Οὗτοι] Nempe, Byzantii, Artemisia et alii. Auger.

199 βλέψω, προσήκειν [1] οἶμαι παραινέσαι κατάγειν. διὰ τί; ὅτι,
πάντων μὲν, ὦ ἄνδρες Ἀθηναῖοι, τὰ δίκαια ποιεῖν ὡρμηκό- 226
των, αἰσχρὸν ἡμᾶς μόνους μὴ ἐθέλειν· ἁπάντων δὲ τῶν ἄλλων ὅπως ἀδικεῖν δυνήσονται παρασκευαζομένων, μόνους ἡμᾶς τὰ δίκαια προτείνεσθαι, μηδενὸς ἀντιλαμβανομένους, οὐ δικαιοσύνην ἀλλ᾽ ἀνανδρίαν ἡγοῦμαι.

ιγ′. Ὁρῶ γὰρ ἅπαντας πρὸς τὴν παροῦσαν δύναμιν καὶ τῶν δικαίων ἀξιουμένους. καὶ παράδειγμα τούτου λέγειν ἔχω πᾶσιν ὑμῖν γνώριμον. εἰσὶ συνθῆκαι διτταὶ τοῖς Ἕλλησι πρὸς βασιλέα, ἃς ἐποιήσατο ἡ πόλις ἡ ἡμετέρα, ἃς ἅπαντες ἐγκωμιάζουσι, καὶ μετὰ [2] ταῦθ᾽ ὕστερον Λακεδαιμόνιοι, ταύτας ὧν δὴ κατηγοροῦσι· κἂν ταύταις οὐχὶ ταὐτὰ δίκαια ἀμφοτέραις ὥρισται. τῶν μὲν γὰρ ἰδίων δικαίων τῶν ἐν ταῖς πολιτείαις οἱ νόμοι κοινὴν τὴν μετουσίαν ἔδοσαν καὶ ἴσην καὶ τοῖς ἀσθενέσι καὶ τοῖς ἰσχυροῖς· τῶν δ᾽ Ἑλληνικῶν δικαίων οἱ κρατοῦντες ὁρισταὶ τοῖς ἥττοσι γίνονται. ἐπειδὴ τοίνυν ὑμῖν ἐγνωκέναι τὰ δίκαια ποιεῖν ὑπάρχει, ὅπως καὶ πρᾶξαι ταῦτ᾽ ἐφ᾽ ὑμῖν ἔσται, δεῖ σκοπεῖν. ἔσται δὲ ταῦτ᾽, ἐὰν ὑποληφθῆτε κοινοὶ προστάται τῆς ἁπάντων ἐλευθερίας εἶναι.

ιδ′. Εἰκότως δέ μοι δοκεῖ χαλεπώτατον ὑμῖν εἶναι πρᾶξαι τὰ δέοντα. τοῖς μὲν γὰρ ἄλλοις ἅπασιν ἀνθρώποις εἷς ἀγών ἐστιν ὁ πρὸς τοὺς προδήλους ἐχθροὺς, ὧν ἐὰν κρατήσωσιν, οὐδὲν ἐμποδὼν αὐτοῖς ἔσται κυρίοις τῶν ἀγαθῶν εἶναι· ὑμῖν δ᾽, ὦ ἄνδρες Ἀθηναῖοι, δύο, οὗτός θ᾽ ὁ καὶ τοῖς ἄλλοις, καὶ προσέθ᾽ ἕτερος τούτου πρότερος καὶ μείζων· δεῖ γὰρ ὑμᾶς βουλευομένους κρατῆσαι τῶν τἀναντία τῇ πόλει
200 παρ᾽ ὑμῖν πράττειν προῃρημένων. ὅταν οὖν μηδὲν ᾖ διὰ τούτους ἀκονιτὶ τῶν δεόντων γενέσθαι, πολλῶν διαμαρτάνειν ὑμᾶς εἰκότως συμβαίνει. τοῦ μέντοι πολλοὺς ἀδεῶς ταύτην

[1] οἴομαι

[2] ταῦθ᾽ * ἃς ὕστερον

Τὰ δίκαια ποιεῖν ὡρμηκότων] Ὑποθετικῶς accipiendum, εἰ ἦσαν ὡρμηκότες: *Si omnes magnum studium haberent justitiæ.* Wolf.

ιγ′. Πρὸς τὴν παροῦσαν δύναμιν] Vi geritur res: jus est in armis: prout quisque potest, ita jus adipiscitur. Idem.

Ἀμφοτέροις ὥρισται] Si nihil deest, ex iis, quæ sequuntur, intelligendum: τοῖς τε Ἕλλησι κοινῇ, καὶ ταῖς πόλεσιν ἰδίᾳ: aut τοῖς ἀσθενέσι καὶ τοῖς ἰσχυροῖς. Idem.

Ἀμφοτέραις] Nempe συνθήκαις: vel, si ἀμφοτέροις, significat, *utrisque partibus fœdus contrahentibus.* Auger.

Ποιεῖν τὰ δίκαια — καὶ πρᾶξαι] Prius significat, abstinere injuria, et præstare, quod debeas: posterius efficere, ut et alii justa faciant. malim tamen pro ποιεῖν legere εἰπεῖν. Wolf.

Ὑποληφθῆτε] *Existimemini*, ab ὑπολαμβάνομαι. Idem.

227 τὴν τάξιν αἱρεῖσθαι τῆς πολιτείας, ἴσως μὲν αἱ παρὰ τῶν μισθοδοτούντων αὐταῖς ὠφέλειαι μάλιστ᾽ αἴτιαι, οὐ μὴν ἀλλὰ καὶ ὑμᾶς ἄν τις ἔχοι δικαίως αἰτιᾶσθαι. ἐχρῆν γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, τὴν αὐτὴν ἔχειν διάνοιαν ὑμᾶς περὶ τῆς ἐν τῇ πολιτείᾳ τάξεως, ἥνπερ περὶ τῆς [1] ἐν ταῖς στρατείαις ἔχετε. τίς οὖν ἐστιν αὕτη; ὑμεῖς τὸν λείποντα τὴν ὑπὸ τοῦ στρατηγοῦ τάξιν ταχθεῖσαν ἄτιμον οἴεσθε προσήκειν εἶναι καὶ μηδενὸς τῶν κοινῶν μετέχειν. χρὴ τοίνυν καὶ τοὺς τὴν ὑπὸ τῶν προγόνων τάξιν ἐν τῇ πολιτείᾳ παραδεδομένην λείποντας καὶ πολιτευομένους ὀλιγαρχικῶς ἀτίμους τοῦ συμβουλεύειν ὑμῖν [2] αὐτοῖς ποιεῖσθαι· νῦν δὲ τῶν μὲν συμμάχων τοὺς τὸν αὐτὸν ἐχθρὸν καὶ φίλον ὑμῖν ἕξειν ὀμωμοκότας νομίζετε εὐνουστάτους, τῶν δὲ πολιτευομένων οὓς ἴστε σαφῶς τοὺς τῆς πόλεως ἐχθροὺς ᾑρημένους, τούτους πιστοτάτους ἡγεῖσθε.

ιέ. Ἀλλὰ γὰρ οὐχ, ὅ τι τις κατηγορήσει τούτων ἢ τοῖς ἄλλοις ὑμῖν ἐπιπλήξει, χαλεπὸν εὑρεῖν· ἀλλ᾽, ἀφ᾽ ὁποίων λόγων ἢ ποίας πράξεως ἐπανορθώσεταί τις ἃ νῦν οὐκ ὀρθῶς ἔχει, τοῦτ᾽ ἔργον εὑρεῖν. ἴσως μὲν οὖν οὐδὲ τοῦ παρόντος καιροῦ περὶ πάντων λέγειν· ἀλλ᾽ ἐὰν ἃ προῄρησθε [3] δυνηθῆτε ἐπικυρῶσαι συμφερούσῃ τινὶ πράξει, καὶ τἆλλ᾽ ἂν ἴσως καθ᾽ ἓν ἀεὶ βέλτιον σχοίη. ἐγὼ μὲν οὖν [4] οἶμαι δεῖν ὑμᾶς ἀντιλαμβάνεσθαι τούτων τῶν πραγμάτων ἐρρωμένως καὶ πράττειν ἄξια τῆς πόλεως, ἐνθυμουμένους ὅτι χαίρετ᾽ 201
ἀκούοντες, ὅταν τις ἐπαινῇ τοὺς προγόνους ὑμῶν καὶ τὰ πεπραγμένα ἐκείνοις διεξίῃ καὶ τὰ τρόπαια λέγῃ. νομίζετε τοίνυν ταῦτ᾽ ἀναθεῖναι τοὺς προγόνους ὑμῶν, οὐχ ἵνα θαυμάζητ᾽ αὐτὰ θεωροῦντες μόνον, ἀλλ᾽ ἵνα καὶ μιμῆσθε τὰς τῶν ἀναθέντων ἀρετάς.

[1] ἐν τῇ στρατείᾳ [τάξεως] ἔχετε   [2] [αὐτοῖς]   [3] δυνήσεσθε   [4] οἴομαι

ιδ΄. Ἀτίμους τοῦ συμβουλεύειν] Ἀκύρους, μὴ ἀνέχεσθαι συμβουλευόντων. Idem.

Τοὺς αὐτοὺς] M. τοὺς τοὺς αὐτούς. et postea φίλους ὑμῖν, M. φίλους ἔχειν ἢ ἕξειν ὑμῖν. [*In farrag.* Malim, τῶν μὲν συμμάχων τῶν τοὺς &c.] Idem.

Τοὺς τῆς πόλεως ἐχθροὺς ᾑρημένους] S. ἀντὶ ὑμῶν, προτιμῶντας τῆς πατρίδος. Idem.

ιέ. Κατηγορήσει] M. κατηγορήσειε, ἐπιπλήξειε. Idem.

Ἀλλ᾽ ἐὰν, ἃ προῄρησθε] S. τὸ ἀναλαβεῖν τὴν ἡγεμονίαν. Idem.

Ἂν βέλτιον] Malim: καθ᾽ ἓν ἂν ἀεὶ βέλτιον. Idem.

ΛΙΒΑΝΙΟΥ ΥΠΟΘΕΣΙΣ ΛΟΓΟΥ ΤΟΥ ΥΠΕΡ ΜΕΓΑΛΟΠΟΛΙΤΩΝ.

Pag. ed. Reisk. — Pag. ed. aliq. cit.

201 ΟΤΕ Λακεδαιμόνιοι νικηθέντες ὑπὸ Θηβαίων ἐν Λεύκτροις τῆς Βοιωτίας εἰς κίνδυνον μέγαν 206
κατέστησαν, ἀποστάντων Ἀρκάδων καὶ προσθεμένων τοῖς Θηβαίοις, Ἀθηναῖοι σύμμαχοι Λακεδαιμονίοις γενόμενοι διέσωσαν αὐτούς. ὕστερον δὲ Λακεδαιμόνιοι, τῶν κινδύνων ἀπαλλαγέντες καὶ προϊόντες πάλιν εἰς δύναμιν, ἐπὶ Μεγάλην πόλιν τῆς Ἀρκαδίας ἤρχοντο, καὶ τοὺς Ἀθηναίους παρεκάλουν διὰ πρεσβείας κοινωνεῖν αὐτοῖς τοῦ πολέμου. πεπόμφασι δὲ καὶ οἱ Μεγαλοπολῖται πρέσβεις Ἀθήναζε παρακαλοῦντες ὑπὲρ ἑαυτῶν. ὁ τοίνυν Δημοσθένης συμβουλεύει μὴ περιορᾷν αἱρεθεῖσαν Μεγάλην πόλιν μηδὲ εἰς ἰσχὺν προελθόντας Λακεδαιμονίους, συμφέρειν λέγων τοῖς Ἀθηναίοις τὸ μὴ φοβερὰν εἶναι τὴν Λακεδαίμονα.

Παρακαλοῦντες ὑπὲρ ἑαυτῶν] Id est, petitum auxilium. Potest etiam παρακαλοῦντας legi ut ad legatos, non ad Megalopolitanos oratio referatur. Xenophon ζ΄. Ἑλληνικῶν, tradit: Ἀρκάδας Ἀθηναίων ξυμμάχους γενέσθαι, et, ὅτι Ἀθηναῖοι ἐβοήθουν Μαντινεῦσι. Wolf.

Μὴ περιορᾷν αἱρεθεῖσαν] *Non despicere captam.* Atqui capta non erat, sed in obsidionis metu. Expones igitur αἱρεθεῖσαν pro ὅπως αἱρεθείη, προελθόντας pro ὅπως προέλθοιεν: μὴ περιορᾷν ὥστε αἱρεθήσεσθαι καὶ προελεύσεσθαι. Usurpantur enim hi aoristi loco futurorum. περιορᾷν autem, quanquam si vocem spectes, *circumspicere* significat. Unde Phavorinus περιορᾶσθαι *exspectare, prospicere, circumspicere, curare,* interpretatur: tamen pro ὑπερορᾷν vel παρορᾷν, id est, *negligere et despicere,* crebro accipitur. παρορᾶσθαι tamen Suidas ὑποτοπεῖσθαι (F. ὑποτοπῆσαι) καὶ ὑφορᾶσθαι *existimare* vel *existimari et suspectum esse* vel *suspicari* interpretatur. Latinis περιορᾷν est *committere, pati, non prohibere, connivere, destituere.* Idem.

ΔΗΜΟΣΘΕΝΟΥΣ

ΛΟΓΟΣ ΥΠΕΡ ΜΕΓΑΛΟΠΟΛΙΤΩΝ.

202 ά. ΑΜΦΟΤΕΡΟΙ μοι δοκοῦσιν ἁμαρτάνειν, ὦ ἄνδρες 207
Ἀθηναῖοι, καὶ οἱ τοῖς Ἀρκάσι καὶ οἱ τοῖς Λακεδαιμονίοις συνειρηκότες· ὥσπερ γὰρ ἀφ᾽ ἑκατέρων ἥκοντες, οὐχ ὑμῶν ὄντες πολῖται, πρὸς οὓς ἀμφότεροι πρεσβεύονται, κατηγοροῦσι καὶ διαβάλλουσιν ἀλλήλους. ἦν δὲ τοῦτο μὲν τῶν ἀφιγμένων ἔργον, τὸ δὲ κοινῶς ὑπὲρ τῶν πραγμάτων λέγειν καὶ

ά. Ἀφ᾽ ἑκατέρων] Alii a Lacedæmoniis, alii ab Arcadibus missi. Wolf.

Πρὸς οὓς] Scilicet ἡμᾶς, cum apud nos illi utrique, tam Arcades, quam Lacedæmonii, legatos agant. Idem.

τὰ βέλτιστα ὑπὲρ ὑμῶν σκοπεῖν ἄνευ φιλονεικίας τῶν ἐνθάδε συμβουλεύειν ἀξιούντων. νῦν δ' ἔγωγε, εἴ τις αὐτῶν ἀφέλοι τὸ γιγνώσκεσθαι καὶ τὸ τῇ φωνῇ λέγειν Ἀττικῶς, πολλοὺς ἂν [1]οἶμαι τοὺς μὲν Ἀρκάδας τοὺς δὲ Λάκωνας αὐτῶν εἶναι νομίσαι. ἐγὼ δ' ὁρῶ μὲν ὡς χαλεπὸν τὸ τὰ βέλτιστα λέγειν ἐστί· συνεξηπατημένων γὰρ ὑμῶν, καὶ τῶν μὲν ταυτὶ βουλομένων τῶν δὲ ταυτὶ, ἐὰν τὰ μεταξύ τις ἐγχειρῇ λέγειν καὶ ὑμεῖς μὴ περιμένητε μαθεῖν, χαριεῖται μὲν οὐδετέροις, διαβεβλήσεται δὲ πρὸς ἀμφοτέρους· οὐ μὴν
208 ἀλλ' αἱρήσομαι μᾶλλον αὐτὸς, ἂν ἄρα τοῦτο πάθω, δοκεῖν φλυαρεῖν, ἢ παρ' ἃ βέλτιστα νομίζω τῇ πόλει, προέσθαι τισὶν ὑμᾶς ἐξαπατῆσαι. τὰ μὲν οὖν ἄλλα ὕστερον, ἂν ὑμῖν βουλομένοις ᾖ, λέξω· ἀπὸ δὲ τῶν ὁμολογουμένων ὑφ' ἁπάντων ἄρξομαι ἃ κράτιστα νομίζω διδάσκειν.

β'. Οὐκοῦν οὐδ' ἂν εἷς ἀντείποι ὡς οὐ συμφέρει τῇ πόλει καὶ Λακεδαιμονίους ἀσθενεῖς εἶναι καὶ Θηβαίους του- 203
τουσί. ἔστι τοίνυν ἔν τινι τοιούτῳ καιρῷ τὰ πράγματα νῦν, εἴ τι δεῖ τοῖς εἰρημένοις πολλάκις παρ' ὑμῖν λόγοις τεκμήρασθαι, ὥστε Θηβαίους μὲν Ὀρχομενοῦ καὶ Θεσπιῶν καὶ Πλαταιῶν οἰκισθεισῶν ἀσθενεῖς γενέσθαι· Λακεδαιμονίους

[1] οἴομαι

Εἴ τις αὐτῶν ἀφέλοι τὸ γιγνώσκεσθαι] *Si quis eis ademerit cognosci et voce Attice dicere.* Hæc, obscuritatis vitandæ causa, liberius mihi vertenda fuerunt. Idem.

Τὰ βέλτιστα λέγειν] *Optima dicere*, id est, suadere salutaria. χαλεπὸν hic non tam *difficile* significat, quam ἐπικίνδυνον, *periculosum.* Nam vir sapiens quid in re non perplexa dici expediat, facile perspicit. Pertinet igitur τὸ χαλεπὸν non ad facultatem oratoris, sed ad approbationem auditoris, optimique consilii eventum. Sic Isocrates in Trapezitico: ἔστι δὲ, ὦ ἄνδρες δικασταὶ, πάντων χαλεπώτατον, τοιούτων ἀντιδίκων τυχεῖν. Ubi certe significat, non esse difficile invenire adversarium, qui multum sit molestus, (nam vel ille adolescens in Pasionem incidit, minime quidem litigandi causa quæsitum) sed hoc dicit, ejusmodi adversarios difficillime convinci et superari posse. quare nos ibi vertimus: *Est autem, judices, omnium molestissimum in tales adversarios incidere.* Idem.

Συνεξηπατημένων] S. τοῖς ῥήτορσι. Cum una cum oratoribus decepti sitis, alii cum his, alii cum illis conjuncti. Idem.

Τὰ μεταξὺ] *Ea, quæ in medio sunt*, quæ intersunt inter oratorum sententias, id est, quæ cum neutrius factionis sententia congruunt. Idem.

Ἧπερ ἃ] Malo παρ' ἃ, *præter* vel *contra ea, quæ*, etc. Idem.

Προέσθαι τισὶν ὑμᾶς ἐξαπατῆσαι] *Objicere quibusdam vos decipiendos*, id est, committere, ut vos aliqui decipiant. Idem.

Ὀρχομενοῦ καὶ Θεσπιῶν καὶ Πλαταιῶν] Sic legendum est. Nam Θεσπιέων, Πλαταιέων, Thespiensium et Platæensium significat, a nominativis Θεσπιεὺς, Πλαταιεύς. Ipsæ vero urbes, ad quas participium οἰκισθεισῶν refertur, Θεσπιαὶ, Πλαταιαί· quas nondum fuisse instauratas, sed instaurandas, illud declarat, quod sequitur, τὰς μὲν Θεσπιὰς, καὶ τὸν Ὀρχομενὸν καὶ τὰς Πλαταιὰς κατοικίζεσθαι φαμὲν δεῖν. οἰκισθεισῶν igitur, ut supra in argumento monuimus, ὑποθετικῶς est accipiendum, *si instaurentur.* Cautus igitur eris in hujusmodi participiis interpretandis, et sententiam imprimis spectabis, a qua vera verborum intelligentia pendet. Idem.

δὲ, εἰ ποιήσονται Ἀρκαδίαν ὑφ᾽ ἑαυτοῖς καὶ Μεγάλην πόλιν
αἱρήσουσι, πάλιν ἰσχυροὺς γενήσεσθαι. σκεπτέον τοίνυν, μὴ
πρότερον τούσδε γενέσθαι φοβεροὺς καὶ μεγάλους ἐάσωμεν
ἢ ἐκεῖνοι μικροὶ γενήσονται, καὶ λάθωσιν ἡμᾶς πλείονι μεί-
ζους οἱ Λακεδαιμόνιοι γενόμενοι ἢ ὅσῳ τοὺς Θηβαίους ἐλάτ-
τους συμφέρει γενέσθαι. οὐ γὰρ ἐκεῖνό γ᾽ ἂν εἴποιμεν, ὡς
ἀνταλλάξασθαι βουλοίμεθα ἀντιπάλους Λακεδαιμονίους
ἀντὶ Θηβαίων, οὐδὲ τοῦτ᾽ ἔσθ᾽ ὃ σπουδάζομεν, ἀλλ᾽ ὅπως
μηδέτεροι δυνήσονται μηδὲν ἡμᾶς ἀδικεῖν· οὕτω γὰρ ἂν ἡμεῖς
μετὰ πλείστης ἀδείας εἴημεν. ἀλλὰ νὴ Δία ταῦτα μὲν
οὕτω δεῖν ἔχειν φήσομεν, δεινὸν δ᾽ εἰ, πρὸς οὓς παρεταττό-
μεθα ἐν Μαντινείᾳ, τούτους συμμάχους αἱρησόμεθα· εἶτα
βοηθήσομεν τούτοις ἐναντία ἐκείνων, μεθ᾽ ὧν τότ᾽ ἐκινδυ- 209
νεύομεν. κἀμοὶ ταῦτα δοκεῖ, προσδεῖσθαι δ᾽ ἔτι τοῦ τὰ
δίκαια ποιεῖν ἐθελόντων τῶν ἑτέρων.

γ΄. Εἰ μὲν τοίνυν ἐθελήσουσι πάντες εἰρήνην ἄγειν, οὐ βοηθήσομεν τοῖς Μεγαλοπολίταις· οὐδὲν γὰρ δεήσει· ὥστ᾽ οὐδοτιοῦν ὑπεναντίον [1]ἡμῖν ἔσται πρὸς τοὺς συμπαραταξαμένους, σύμμαχοι δ᾽ ἡμῖν οἱ μὲν ὑπάρχουσιν, ὥς φασιν, οἱ δὲ προσγενήσονται νυνί. καὶ τί ἂν ἄλλο βουλοίμεθα; ἐὰν δ᾽ ἀδικῶσι καὶ πολεμεῖν οἴωνται δεῖν, εἰ μὲν ὑπὲρ τούτου μόνου βουλευτέον, εἰ χρὴ Μεγάλην πόλιν ἡμᾶς προέσθαι

[1] ὑμῖν

Πλείονι μείζους ἢ ὅσῳ ἐλάττους] *Multo majores, quam quanto minores*, id est, ne longe major accessio ad potentiam Lacedæmoniorum, quam utilis decessio et diminutio de viribus Thebanorum fiat. Idem.

Δεινὸν δὲ εἰ, πρὸς οὓς ἐν Μαντινείᾳ παρεταττόμεθα, τούτους συμμάχους αἱρησόμεθα] Eleganter usus est verbo παρατάττεσθαι, quod est *in acie stare*. Unde παραταξάμενος πρός τινα dicitur, *qui contra eum in acie stat*, et *ei ex adverso stat*. Idem Demosthenes [ὑπὲρ Μεγαλοπολ. γ΄.] καὶ τὴν εἰρήνην δόξετε σπουδάζειν εἶναι βεβαίαν, ὑπὲρ ἧς ἐκινδυνεύσατε καὶ παρετάξασθε. Est etiam παρατάττεσθαι *opponere se ut repugnaturum*, etc. *Ex edit.* Hervag.

Ἐν Μαντινείᾳ] Vide ζ΄. Ἑλληνικῶν, et argumentum Isocratici Archidami. Wolf.

Ἐναντία ἐκείνοις] *Contraria illis*, id est, κατ᾽ ἐκείνων, *contra illos*. Idem.

Προσδεῖσθαι δέ τι τὸ] Malim δ᾽ ἔτι τῶν, ut referatur (quanquam id quoque durius est) ad ἐθελόντων. τοῦ enim (quod in diversis lectionibus annotatur) locum non habet, nisi legas aut τοῦ τὰ δίκαια ποιεῖν ἐθέλειν τοὺς ἑτέρους, *alteros*, scilicet Lacedæmonios. Nec enim puto esse causam, cur ἑταίρους per αι, id est, *socios* legere malis: (quod ea vox ἀντὶ συμμάχων satis accipi commode nequit) aut τεχνικῶς accipias, τοῦ, τουτέστι τῆς προσθήκης ταύτης. Nec incommodum fuerit interpretari προσδεῖσθαι δ᾽ ἔτι του, id est, τινὸς, τὰ δίκαια etc. Idem.

γ΄. Ἀντιταξαμένους] Parum refert, utrum sic, an συμπαραταξαμένους legas, intelligendi certe sunt Arcades, qui Thebanis conjuncti, Atheniensibus restiterunt. Idem.

Ὥς φασι] S. Lacedæmonii. Idem.

Ἀδικῶσι] Nempe Λακεδαιμόνιοι. Auger.

Εἰ χρὴ Μεγάλην πόλιν ὑμᾶς προέσθαι Λακεδαιμονίοις] Id est, *prodere et condonare*, vel *evertendam objicere*, quod ipsum καθυφιέναι quoque dicitur. Idem, ἐγὼ δὲ νομίζω τὴν πόλιν πρῶτον μὲν καὶ χωρὶς τοῦ καθυφεῖναι

Λακεδαιμονίοις, ἢ μὴ, δίκαιον μὲν οὔ, συγχωρῶ δ᾽ ἔγωγ᾽ 204
ἐᾶσαι καὶ μηδὲν ἐναντιωθῆναι τοῖς τότε τῶν αὐτῶν μετα-
σχοῦσι κινδύνων· εἰ δ᾽ ἅπαντες ἐπίστασθε ὅτι, ταύτην ἂν
ἕλωσιν, ἴασιν ἐπὶ Μεσσήνην, φρασάτω τις ἐμοὶ τῶν νῦν χα-
λεπῶν τοῖς Μεγαλοπολίταις, τί τόθ᾽ ἡμῖν συμβουλεύσει
ποιεῖν. ἀλλ᾽ οὐδεὶς ἐρεῖ. καὶ μὴν πάντες ἐπίστασθε ὡς, καὶ
παραινούντων τούτων καὶ μὴ, βοηθητέον, καὶ διὰ τοὺς ὅρ-
κους οὓς ὀμωμόκαμεν Μεσσηνίοις, καὶ διὰ τὸ συμφέρον εἶναι
κατοικεῖσθαι ταύτην τὴν πόλιν. σκοπεῖσθε δὴ πρὸς ὑμᾶς
αὐτοὺς, ποτέραν τὴν ἀρχὴν καλλίονα καὶ φιλανθρωποτέραν
ποιήσεσθε τοῦ μὴ ἐπιτρέπειν ἀδικεῖν Λακεδαιμονίοις, τὴν
ὑπὲρ Μεγάλης πόλεως ἢ τὴν ὑπὲρ Μεσσήνης; νῦν μέν γε
βοηθεῖν δόξετε Ἀρκάσι, καὶ τὴν εἰρήνην σπουδάζειν εἶναι
βεβαίαν ὑπὲρ ἧς ἐκινδυνεύσατε καὶ παρετάξασθε· τότε δ᾽
εὔδηλοι πᾶσιν ἔσεσθε οὐ τοῦ δικαίου μᾶλλον ἕνεκα Μεσσήνην
εἶναι βουλόμενοι ἢ τοῦ πρὸς Λακεδαιμονίους φόβου. δεῖ δὲ
σκοπεῖν μὲν ἀεὶ καὶ πράττειν τὰ δίκαια, συμπαρατηρεῖν δ᾽
ὅπως ἅμα καὶ συμφέροντα ἔσται ταῦτα.

δ'. Ἔστι τοίνυν καὶ τοιοῦτός τις λόγος παρὰ τῶν ἀντι-
λεγόντων, ὡς κομίσασθαι τὸν Ὠρωπὸν ἡμᾶς ἐγχειρεῖν δεῖ·
εἰ δὲ τοὺς βοηθήσοντας ἂν ἡμῖν ἐπ᾽ αὐτὸν ἐχθροὺς [1] νῦν
κτησόμεθα, οὐχ ἕξομεν συμμάχους. ἐγὼ δὲ τὸ μὲν κομί-
σασθαι Ὠρωπὸν πειρᾶσθαι φημὶ δεῖν καὶ αὐτός· τὸ δ᾽
ἐχθροὺς ἡμῖν ἔσεσθαι Λακεδαιμονίους, νῦν ἐὰν [2] ποιώμεθα
συμμάχους Ἀρκάδων τοὺς βουλομένους ἡμῖν εἶναι φίλους,
μόνοις οὐδ᾽ εἰπεῖν ἐξεῖναι νομίζω τοῖς πείσασιν ὑμᾶς, ὅτ᾽
ἐκινδύνευον Λακεδαιμόνιοι, βοηθεῖν αὐτοῖς. οἱ γὰρ ταῦτα 205
λέγοντες ἔπεισαν ὑμᾶς, πάντων Πελοποννησίων ἐλθόντων
ὡς ὑμᾶς καὶ μεθ᾽ ὑμῶν ἀξιούντων ἐπὶ τοὺς Λακεδαιμονίους

[1] [νῦν]   [2] ποιησώμεθα

Λακεδαιμονίοις τινὰς Ἀρκάδων Ὠρωπὸν ἂν κομίσασθαι. *Ex edit.* HERVAG.

Δίκαιον μὲν οὔ] S. προέσθαι Μεγάλην πόλιν. WOLF.

Ἐᾶσαι] S. ὑμᾶς. ut vos missam faciatis. IDEM.

Τῶν νῦν χαλεπῶν τοῖς Μεγαλοπολίταις] Fortassis addendum ὄντων, τί τόθ᾽. IDEM.

Ἀλλ᾽ οὐδεὶς ἐρεῖ] *Sed nemo dicet.* quid? utrum non defendendos esse Megalopolitanos? vel potius, Messenios? an vero: nemo de re nota verba facturus est: sed vos ultro bellum suscipietis. IDEM.

Κατοικεῖσθαι ταύτην τὴν πόλιν] Messenam potius, quam Μεγάλην πόλιν. IDEM.

Ἀρχὴν τοῦ μὴ ἐπιτρέπειν ὑμᾶς] *Principium non concedendi vos*, id est, ut vos non concedatis. IDEM.

ἰέναι, τούτους μὲν μὴ προσδέξασθαι—καὶ διὰ τοῦθ᾽, ὅπερ ἦν ὑπόλοιπον αὐτοῖς, ἐπὶ Θηβαίους ἦλθον—, ὑπὲρ δὲ τῆς Λακεδαιμονίων σωτηρίας καὶ χρήματα εἰσφέρειν καὶ τοῖς σώμασι κινδυνεύειν. καίτοι οὐδ᾽ ἂν ὑμεῖς ἠθελήσατε δήπου σώζειν αὐτοὺς, εἰ τοῦτο προὔλεγον ὑμῖν, ὅτι σωθέντες, ἐὰν μὴ ποιεῖν ὅ τι [1] βούλονται πάλιν αὐτοὺς ἐᾶτε καὶ ἀδικεῖν, οὐδεμίαν χάριν ὑμῖν ἕξουσι τῆς σωτηρίας. καὶ μὴν εἰ καὶ σφόδρα ἐναντίον ἐστὶ τοῖς Λακεδαιμονίων ἐπιχειρήμασι τὸ τοὺς Ἀρκάδας ἡμᾶς συμμάχους ποιήσασθαι, προσήκει δήπου πλείω χάριν αὐτοὺς ἔχειν ὧν ἐσώθησαν ὑφ᾽ ἡμῶν εἰς τοὺς ἐσχάτους ἐλθόντες κινδύνους ἢ ὧν ἀδικεῖν κωλύονται νῦν ὀργίζεσθαι. ὥστε πῶς οὐ βοηθήσουσιν ὑμῖν ἐπ᾽ Ὠρωπὸν, [2] ἢ κάκιστοι πάντων ἀνθρώπων δόξουσιν εἶναι; μὰ τοὺς θεοὺς ἔγωγε οὐχ ὁρῶ.

έ. Θαυμάζω τοίνυν τῶν λεγόντων τὸν λόγον τοῦτον, ὡς, 211
